Digitized by Google

BIBL. NAZ.
VITT. EMANUELE III
XLIII
D
72
NAPOLI

Digitized by Google

Digitized by Google

ΜΕΣΑΙΩΝΙΚΗ
ΒΙΒΛΙΟΘΗΚΗ

ΕΠΙΣΤΑΣΙΑ

Κ. Ν. ΣΑΘΑ.

Ἐρευνᾶτε τὰς γραφάς (Ἰωάννης).

ΤΟΜΟΣ Α.

ΒΥΖΑΝΤΙΝΑ ΑΝΕΚΔΟΤΑ.

ΜΙΧΑΗΛ ΑΤΤΑΛΕΙΑΤΗΣ — ΝΙΚΗΤΑΣ ΧΩΝΙΑΤΗΣ. ΘΕΟΔΩΡΟΣ ΜΕΤΟΧΙΤΗΣ — ΘΕΟΔΩΡΟΣ ΠΟΤΑΚΙΟΣ — ΧΡΥΣΟΒΟΥΛΛΟΙ ΛΟΓΟΙ — ΙΕΡΑΚΟΣ ΧΡΟΝΙΚΟΝ — ΚΑΤΑΛΟΓΟΙ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ ΤΟΥ ΑΘΩΝΟΣ ΚΑΙ ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΜΕΤΟΧΙΟΥ ΤΟΥ ΠΑΝ. ΤΑΦΟΥ ΧΕΙΡΟΓΡΑΦΩΝ.

ΕΝ ΒΕΝΕΤΙΑ·
ΤΥΠΟΙΣ ΤΟΥ ΧΡΟΝΟΥ.
1872.

ΓΕΩΡΓΙΩι ΑΛ. ΜΑΥΡΟΚΟΡΔΑΤΩι

ἐνθέρμῳ ζηλωτῇ τῶν περὶ τὰς ἱστορικὰς
παραδόσεις τοῦ Πανελληνίου ἐρευνῶν,

ΕΥΓΝΩΜΟΝΩΣ ΑΝΑΤΙΘΕΤΑΙ.

Digitized by Google

ΠΡΟΛΟΓΟΣ

Ἐκδιδοὺς συλλογὴν ἀνεκδότων μνημείων διαλευκαινόντων τὴν κατὰ τοὺς μέσους αἰῶνας πολιτικὴν, ἐκκλησιαστικὴν καὶ φιλολογικὴν ἱστορίαν τοῦ Ἑλληνικοῦ ἔθνους, περὶ τὴν ἐξερεύνησιν τῆς ὁποίας μετὰ ζήλου ὁσημέραι ἐπιτεινομένου ἀσχολοῦνται τοσοῦτοι ἀλλογενεῖς σοφοί, μάταιον κρίνω νὰ περιττολογήσω συνηγορῶν ὑπὲρ τοῦ ἐθνικοῦ τούτου διαβήματος. Ἁπλῶς δὲ γνωστοποιῶ, ὅτι ἐντὸς τοῦ ἔτους 1872 ἐκδοθήσονται πρὸς τῷ παρόντι καὶ οἱ ἑξῆς τόμοι τῆς Μεσαιωνικῆς Βιβλιοθήκης.

Τόμος Β'. Χρονογράφοι τοῦ βασιλείου τῆς Κύπρου. Νεόφυτος Ἔγκλειστος. Λεόντιος Μαχαιρᾶς. Γεώργιος Βουστρώνιος. Νεόφυτος Ροδινός. Ἀνέκδοτα νομίσματα ὑπὸ Π. Λάμπρου.

Τόμος Γ'. Χρονογράφοι τῆς Τουρκοκρατουμένης Ἑλλάδος. Καισάριος Δαπόντες. Σέργιος Μακραῖος. Ἱστορικὴ καταγραφὴ τῶν ἐν τοῖς κώδηξι τοῦ οἰκουμενικοῦ πατριαρχείου ἐγγράφων, κατὰ τὴν Συλλογὴν τοῦ πατριάρχου Δοσιθέου. Μαυρογένης, περὶ τῆς καταστάσεως καὶ τῶν δοσιμάτων τῶν ὑπὸ τὸν καπιτὰν πασᾶν νήσων.

Τόμος Δ'. Ἱστορικαὶ εἰδήσεις περὶ Ἑλλάδος (1495-1533) ἐξηγμέναι ἐκ τῶν ἀνεκδότων 59 τόμων τῶν Ἡμερολογίων (Diarii Storici) τοῦ Μαρίνου Σανούτου. Ἐνετικαὶ ἐκθέσεις περὶ Πελοποννήσου καὶ ἄλλων τῆς Ἑλλάδος με-

Digitized by Google

ρῶν. Κατάλογος τῶν ἐν τῇ Μαρκιανῇ βιβλιοθήκῃ χειρογράφων περὶ τῆς ἱστορίας τῆς Ἑλλάδος. (Ἰταλιστί).

Τόμος Ε'. Βυζαντινὰ Ἀνέκδοτα. Μιχαὴλ Ψελλοῦ ἱστορία ἀπὸ Βασιλείου τοῦ Μακεδόνος μέχρι Κωνσταντίνου τοῦ Δούκα. Θεοδώρου Πτωχοπροδρόμου ἱστορικὰ ποιήματα.

Τόμος ΣΤ'. Βυζαντινὰ Ἀνέκδοτα. Νικήτα Χωνιάτου λόγοι ἱστορικοὶ καὶ ἐπιστολαί. Γρηγορίου Κυπρίου πατριάρχου Κωνσταντινουπόλεως αὐτοβιογραφία (ἐκ τοῦ Rubeis). Φιλοθέου πατριάρχου, περὶ τῆς ἁλώσεως τῆς Ἡρακλείας λόγοι ἱστορικοὶ δύο.

Κατ' ὀφειλόμενον χρέος ἀπονέμω τὴν διάπυρον εὐγνωμοσύνην μου πρὸς τοὺς φιλοπάτριδας ἐκείνους ἄνδρας, οἵτινες κατανοοῦντες τὴν σπουδαιότητα τῶν τοιούτων ἐρευνῶν ἐπροθυμοποιήθησαν νὰ μὲ σύρωσιν ἐκ τῶν βάθρων τῆς ἰατρικῆς σχολῆς καὶ μοὶ ὑποδείξωσι τὸ τοιοῦτον στάδιον, συνενώσαντες τῇ ἠθικῇ συνδρομῇ καὶ τὰ πρὸς τοῦτο ἀπαιτούμενα ὑλικὰ μέσα. Τοιοῦτοι δ' εἰσὶν οἱ κατὰ καιροὺς ὑπουργήσαντες, Κ. Λομβάρδος, ὁ μακαρίτης Χαρ. Χριστόπουλος, Δημ. Σαράβας, Ἀνδρ. Αὐγερινὸς καὶ Ἀθ. Πετμεζᾶς, οἱ μετὰ ζήλου ἀνωτέρου τῶν ἀσθενῶν ἐπαίνων μου συντελέσαντες ὅπως υἱοθετήσῃ, οὕτως εἰπεῖν, τὸ ἔθνος τὰς τοιαύτας μελέτας, ὡς ἀλλαχοῦ διὰ μακρῶν θέλω ἐκθέσει· οἱ φιλογενεῖς Κύριοι Γεώργιος Α. Μαυροκορδάτος, καὶ βαρὼν Σίμων Σίνας, ἐν μέρει δὲ καὶ τὸ Ἐθνικὸν Πανεπιστήμιον. Οὐχ ἧττον δὲ χάριτας ὁμολογῶ καὶ πρὸς τοὺς χορηγήσαντάς μοι ἔνθερμον συνδρομὴν πρὸς ἀνάδίφησιν καὶ ἀντιγραφὴν τῶν ἐν ταῖς ὑπ' ἐμοῦ ἐπισκεφθείσαις βιβλιοθήκαις ἀποτεθησαυρισμένων κωδήκων, οἷον τοῖς ἐν Κωνσταντινουπόλει Κυρίοις Γ. Χ. Κωνσταντινίδῃ, Παύλῳ Νεοκλεῖ καὶ Γαβριὴλ Σοφοκλεῖ, τοῖς ἐν Βιέννῃ καθηγηταῖς βαρῶνι Θεοδώρῳ Καραγιάννῃ τῷ Σιατιστεῖ, καὶ Adolfo Mussafia, τῷ ἐν Βενετίᾳ ὁμογενεῖ ὑποβιβλιοθηκαρίῳ τῆς Μαρκιανῆς Κ. Ἰωάννῃ Βελούδῳ, ὡς καὶ πρὸς τοὺς

Digitized by Google

εὐαρίθμους συνδρομητὰς τῆς Μεσαιωνικῆς ταύτης Βιβλιοθήκης φιλομούσους Κυρίους Μενέλαον Νεγροπόντην ἐν Γαλατζίῳ, Θεόδωρον Δούμπαν καὶ Γρηγόριον Ὑψηλάντην ἐν Βιέννῃ.

Συντελεστικωτάτην πρὸς τὸν ἐπιδιωκόμενον σκοπὸν τῶν ἱστορικῶν τούτων ἐρευνῶν θεωρῶν τὴν βιογραφίαν τῶν ἐκδιδομένων συγγραφέων, ὁσάκις μάλιστα αἱ περὶ τούτων εἰδήσεις εἰσὶν ἐλάχισται ἢ συγκεχυμέναι, ἢ καὶ πάντῃ ἐλλείπουσιν, ἄρχομαι ἀπὸ τῆς τοῦ Ἀτταλειάτου (1).

ΜΙΧΑΗΛ ΑΤΤΑΛΕΙΑΤΗΣ υἱὸς Εἰρηνικοῦ καὶ Καλῆς (2), πατρίδα ἔσχε κατὰ πᾶσαν βεβαιότητα τὴν Κωνσταντινούπολιν (3), καὶ ἤκμαζεν ἤδη ἐπὶ τῆς βασιλείας Εὐδοκίας χήρας Κων-

(1) Περὶ τοῦ περιφανοῦς τούτου νομοδιδασκάλου καὶ ἱστορικοῦ ἐλάχιστα καὶ συγκεχυμένα ἀναφέρουσιν οἵ τε Montreuil (Histoire du droit byzantin, 3, σελ. 218) ὁ Ζαχαρίας Λιγγενθὰλ (Historiae juris Graecoromani delineatio, σελ. 71), καὶ ὁ Heimbach (Griechisch-römisches Recht in Mittelalter. Ersch und Gruber, Algem. Encyklöp. B. 86, σελ. 388), ὡς καὶ ἡ Biographie Nouvelle τοῦ Didot (tom. I. Attal.) καὶ ὁ Nicolai (Geschichte der Griechisch. Literatur, II, σελ. 651).

(2) Διάταξις σελ. 20, 33. Τὸ ταπεινὸν τῆς καταγωγῆς τῶν γονέων αὐτοῦ ὁμολογεῖ (σελ. 5).

(3) Τοῦτο τοὐλάχιστον εἰκάζεται ἐκ τῆς ἐν τῇ Διατάξει (σελ. 4) ῥήσεως «κτῆσιν οὐδ' ἡντινοῦν κατὰ τὴν τῶν λόγων μητρόπολιν καὶ βασιλίδα τῶν πόλεων ἔκ τινος τῶν ἀνιόντων κληρονομίας ἐδεξάμην». Τὰ δ' ἐν Ραιδεστῷ κτήματα τὰ ὑπὲρ τοῦ πτωχοτροφείου ἀφιερούμενα δὲν προῆλθον αὐτῷ ἐκ πατρογονικῆς κληρονομίας, ἀλλ' ὡς προὶξ μιᾶς τῶν ἐν τῇ Διατάξει (σελ. 8, 10, 20, 33,) μνημονευομένων δύο γυναικῶν αὐτοῦ Σοφίας καὶ Εἰρήνης, ἐκεῖθεν καταγομένης. Ὁ δ' ἰσχυρισμὸς τοῦ Heimbach, ὅτι ὁ Μιχαὴλ εἶχε πατρίδα τὴν Ἀττάλειαν εἶναι ἀνυπόστατος.

Digitized by Google

σταντίνου τοῦ Δούκα (1067), εἷς ὢν τῶν πρώτων τῆς συγκλήτου βουλῆς· ὡς τοιοῦτος δ' ἔλαβε μέρος ἐν τῇ δίκῃ Ρωμανοῦ τοῦ Διογένους, τοῦ φιλοτίμου ἐκείνου στρατηγοῦ, ὅστις καθορῶν τὴν ὁσημέραι φθίνουσαν στρατιωτικὴν δόξαν τοῦ Βυζαντίου, διενοήθη νὰ ἐπαναγάγῃ αὐτὴν ἐν τῇ προτέρα ἀκμῇ, διὰ τῆς ἀνατροπῆς τῶν καθεστώτων (1).

Ἀλλὰ καὶ ὁ μετ' οὐ πολὺ καταλαβὼν τὴν ἀρχὴν Ρωμανὸς οὗτος περὶ πολλοῦ ἐποιήσατο τὸν Ἀτταλειάτην, ὃν καὶ συμπαρέλαβε μετ' αὐτοῦ ἐν τῇ κατὰ τῶν Σαρακηνῶν (2) ἐκστρατείᾳ, ὡς ἕνα τῶν κριτῶν τοῦ στρατοπέδου (3).

Λεπτομερῶς ἐξιστορῶν τὰ κατὰ τὴν ἐκστρατείαν ταύτην συμβάντα ὁ Μιχαὴλ, παρενείρει που καὶ περὶ ἑαυτοῦ ἐπεισόδιά τινα, καταδεικνύοντα, ὅτι καὶ γενναίως συνηγωνίσθη τῷ ἀριστεῖ βασιλεῖ, καὶ πολλοὺς κινδύνους ὑπέστη, καὶ συνετὰς γνώμας ὑπέβαλλε μαρτυρούσας καὶ τὴν περὶ τὰ στρατηγικὰ εὐθυκρισίαν αὐτοῦ.

Ἐν ταῖς περὶ τὴν Ἱεράπολιν δύο κατὰ τοῦ σουλτάνου τοῦ Χαλεπίου μάχαις (1068) φιλοτίμως προκινδυνεύων, οὐ τοσοῦτον, λέγει, ἀπέγνω τὴν ἑαυτοῦ σωτηρίαν, ὅσην τὴν τῶν Ρωμαίων κατέγνω δειλίαν ἢ ἀπειροκαλίαν ἢ ταπεινότητα (4). Κακίζων δὲ τὸν στρατὸν, ὡς μὴ ἐπωφε-

(1) Ἱστορία αὐτοῦ σελ. 98.

(2) « Τῶν ἐκ προκρίσεως αὐτῷ συνεπομένων » Ἱστορ. σελ. 102.

(3) Περὶ τοῦ ἀξιώματος τοῦ κριτοῦ τοῦ στρατοπέδου, ἢ τοῦ φοσσάτου, λέγει Γεώργιος ὁ Κωδινὸς (σελ. 40, ἔκδ. Βόννης)· « Τοῦ βασιλέως εἰς τὸ φωσσάτον εὑρισκομένου, τὰς παρεμπιπτούσας ὑποθέσεις τοῖς στρατιώταις, εἴτε περὶ ἀλόγων, εἴτε ἁρμάτων, εἴτε καὶ κούρσων, ἢ περὶ τοιούτου τινὸς καθιστᾷ καὶ ἐξετάζει ». Ἀλλ' ὡς παρ' αὐτοῦ τοῦ Ἀτταλειάτου μαρτυρεῖται (Ἱστορ. σελ. 128) οἱ κριταὶ οὗτοι ἐπεῖχον παρὰ τῷ βασιλεῖ καὶ τὴν νῦν θέσιν τῶν ἐπιτελῶν.

(4) Ἱστορ. σελ. 113.

ληθέντα τῆς μετ' οὐ πολὺ προσμειδιασάσης αὐτῷ νίκης, ἧς μέγας καρπὸς ἐπέκειτο αὐτὴ τοῦ Χαλεπίου ἡ ἅλωσις, ἐπιφέρει βαρυαλγῶν· «οὕτως εἶδον ἐγὼ τοὺς νῦν Ῥωμαίους μήτε καιρὸν ἁρπάσαι δεδυνημένους, μήτε λόχους καθίσαι, μήτε πολέμῳ δριμεῖ κρῖναι τὸ πᾶν εὐθυφρονοῦντας, μήτε δυνάμεις τῶν ἐναντίων αὐτοῖς διακρίναντας, ἀλλ' ἑνὶ κανόνι χρωμένους πρὸς ἅπαντας, τούς τε δυνατωτάτους τῶν ἐναντίων καὶ τοὺς γλίσχρως καὶ ἡγεμονικῶς εἴτ' οὖν τοπαρχικῶς ἔχοντας» (1).

Κατὰ τὴν διὰ τῶν δυσχωριῶν τοῦ Ταύρου ἐπικίνδυνον πορείαν, ἀφηνιάσαντος τοῦ ἵππου πρὸ βαράθρου, ὁ Ἀτταλειάτης διέφυγε βέβαιον θάνατον διὰ τῆς διακρινούσης αὐτὸν πρὸ τῶν κινδύνων ἀταραξίας καὶ ἑτοιμότητος πνεύματος (2).

Ἐν τῇ κατὰ τὸ ἔαρ τοῦ ἑπομένου ἔτους (1069) ἀνανεωθείσῃ ἐπὶ τὴν Μικρὰν Ἀσίαν ἐκστρατείᾳ, συμπαρηκολούθησεν ὁμοίως τῷ βασιλεῖ ὁ Μιχαὴλ ὡς κριτὴς τοῦ στρατοπέδου, τιμηθεὶς καὶ τῷ ἀξιώματι τοῦ πατρικίου (3).

Μετὰ μίαν πρὸς τοὺς Ἄραβας συμπλοκήν, ὁ Ῥωμανὸς προχωρήσας μέχρι Κιλικίας, καὶ βλέπων τὴν ὀπισθοχώρησιν τῶν ἐχθρῶν, συνεβουλεύθη μετὰ τῶν κριτῶν τοῦ στρατοπέδου νὰ ἐπαναστρέψῃ, ἀφεὶς δύναμίν τινα ἐν τοῖς μεθορίοις πρὸς ἀπόκρουσιν ἐνδεχομένης ἐπιθέσεως. Σιωπῶν ὁ συνετὸς Ἀτταλειάτης ἠκροᾶτο τῆς συζητήσεως· ὅταν ὅμως ἤκουσε πάντας ἀναντιρρήτως ἀπεκδεχομένους τὴν περὶ φυγῆς πρότασιν, εἶπε μετὰ παρρησίας εἰς τὸν περὶ τῆς σιωπῆς αὐτοῦ ἐρωτήσαντα ἡγεμόνα· «Τίς ἡ ἀνάγκη, ὦ βασιλεῦ, ἔτι τοῦ ἔτους περὶ ἀκμὰς τοῦ θέρους ὄντος καταλιπεῖν τοὺς ἐναντίους εἰς τὴν Ῥωμαίων, καὶ πρὸς ἀνέσεις καὶ ἀπολαύσεις ἑαυτοὺς ἐκδοῦναι, καὶ μὴ νῦν κακοπαθῆσαι, ἵν' εἰς τὸ μέλλον εὐπαθῆσαι δυναίμεθα; διὰ τί δὲ καὶ μὴ ἐκ πολιορκίας αἱρήσομεν τό τε ἄστυ τὸ Χλίατ καὶ τὰ

(1) σελ. 114. — (2) σελ. 120. — (3) σελ. 124.

ὑπὸ τούτου πολίχνια, ἵνα καὶ οἱ στρατιῶται τῆς ἐκ τῶν λαφύρων ὠφελείας πλησθῶσι καὶ προθυμότεροι γένωνται, καὶ τοῖς ἐναντίοις ἐπέλθῃ δέος, καὶ ἀντὶ πολεμίων αἱ τοιαῦται πόλεις Ῥωμαϊκὴν ἡγεμονίαν πλουτήσωσι, καὶ δυνάμεις ἐφιστάμεναι τὸ ἀντίπαλον ἰσχυρῶς ἀποκρούσωνται, καὶ ἡ τῶν Τούρκων πάροδος ἐκ διαστημάτων κατὰ μοίρας ἐρχομένων βραχείας ἀνασταλῇ, καὶ μὴ ὁρμητήριον μᾶλλον καὶ ὀψωνιασμὸν ἐν τούτοις εὑρίσκῃ, ἀλλὰ πολεμητήριον ἀτεχνῶς, καὶ ἡ διὰ τῆς Μεσοποταμίας ὁδὸς τούτοις ἀνεπίβατος γένηται » (1).

Οἱ συνετοὶ οὗτοι λόγοι ἠνάγκασαν τὸν Ῥωμανὸν νὰ μεταβάλλῃ γνώμην καὶ ἐξακολουθήσῃ αὐτοπροσώπως ὁδηγῶν τὸν στρατὸν ἐπὶ τὰ πρόσω. Τὴν δὲ συμβουλὴν τοῦ Ἀτταλειάτου ἔτι μᾶλλον ἐξετίμησεν, ὅταν ἕως τὸν Εὐφράτην διαπεραιωθεὶς εἶδε τοὺς ἐχθροὺς ἐστρατοπεδευμένους περὶ τὰς ὄχθας τοῦ ποταμοῦ καὶ καραδοκοῦντας τὴν ἀποχώρησιν τοῦ βασιλέως, ἵνα ἐξορμήσωσιν εἰς τὰς χριστιανικὰς ἐπαρχίας. Δυστυχῶς ὅμως ἐπὶ πολὺ δὲν εἰσηκούσθη ἡ προτροπὴ τοῦ φιλοκινδύνου κριτοῦ· διότι ὁ βασιλεὺς τὴν πρώτην βουλὴν ἐπὶ κακῷ τῶν Ῥωμαίων ἀκλεῶς ἀνανεωσάμενος, διῄρεσε τὸν στρατόν, παραδοὺς τὸ ἰσχυρότερον σῶμα αὐτοῦ εἰς τὸν ἀνίκανον στρατηγὸν Φιλάρετον. Καὶ πάλιν δὲ περὶ τὴν Κελεσίνην λόγου γενομένου περὶ ἐπιστροφῆς, ὁ Ἀτταλειάτης ἐπέμεινε συνιστῶν τὴν ἐπὶ τὰ πρόσω πορείαν αὐτοῦ τοῦ βασιλέως, οὗ ἡ φήμη τοὺς πολεμίους περιδεεῖς ἀπειργάζετο (2).

Ἀλλὰ καὶ καθ' ἑτέρας ἀποφάσεως τοῦ Ῥωμανοῦ εὐθαρσῶς ἀντέστη ὁ Ἀτταλειάτης, παριστῶν τὸ ὀλέθριον αὐτῆς. « Μέλλοντος οὖν τοῦ βασιλέως διὰ τοῦ καλουμένου πολιχνίου Κεράμου πρὸς τὰς ὄχθας τοῦ Εὐφράτου μέχρι Μελιτηνῆς τὸν οἰκεῖον διαβιβάζειν στρατόν, ἀσύμφορον πάλιν τοῦτο αὐτὸς πρό-

(1) Ἱστρ. σελ. 130 — (2) Αὐτ. 135.

πετευσάμενος ἐξεφώνησα, ὡς μὴ ἀναγκαῖον ὂν τῶν τοιούτων μερῶν φροντίζειν ἡμᾶς προηρημωμένων ὄντων καὶ περιηρημένων πᾶσαν τὴν εὐκοσμίαν αὐτῶν ἐκ διαφόρων ἐπιδρομῶν, ἀφ' ὧν καὶ σπάνις ὀλεθρία συναντήσει καὶ κατατήξει τὸ στράτευμα· καὶ ἅμα χρονίσει διὰ στενωπῶν τοσούτων βαδίσαι μέλλον, καθ' ἓν τῶν ὑποζυγίων ἠναγκασμένων καὶ τῶν ἀνθρώπων διέρχεσθαι· καὶ τούτου μελήσειν ἐξεῖπον εἰκός, ὅπως ὡς τάχιστα τοῖς ἀπαθέσι καὶ ἔτι τὴν σύστασιν ἔχουσι θέμασιν ἐπιστῶμεν, κἀκεῖνα τῆς τῶν ἐναντίων διατηρήσωμεν λώβης. Ταύτης οὖν τῆς γνώμης κεκρατηκυίας, διὰ τῆς Κολωνείας καὶ τῶν Ἀρμενιακῶν θεμάτων μέχρι Σεβαστείας ὁ βασιλεὺς σὺν τῷ στρατεύματι διελήλυθεν » (1).

Οὕτω περὶ τὰ τέλη τοῦ ἔτους 1069 διὰ τῆς μέχρι Χαλεπίου ἀποδιώξεως τῶν Τούρκων ἐπεραιώθη καὶ ἡ δευτέρα ἐκστρατεία, τῆς ὁποίας τά τε ἐπεισόδια καὶ τὸ ὁδοιπορικὸν περιγράφει λεπτομερῶς ὁ Ἀτταλειάτης (2).

Ἀλλὰ καὶ κατὰ τὴν τρίτην ἐπὶ τοὺς Ἄραβας ἐκστρατείαν (1071) συνείπετο τῷ Ρωμανῷ καὶ ὁ πεπειραμένος κριτής, συμμεριζόμενος τοὺς κινδύνους τοῦ γενναίου ἐκείνου μονάρχου καὶ ἑκάστοτε ὑποβάλλων αὐτῷ συνετὰς συμβουλάς, προθύμως παρ' ἐκείνου ἀπεκδεχομένας (3). Γενναίως δὲ προκινδυνεύσας καὶ ἐν τῇ περὶ τὸν Ἄλυν ὀδυνηρᾷ καταστροφῇ, καὶ διὰ λόγου καὶ τοῦ ἰδίου παραδείγματος σὺν τῷ ἀτυχεῖ βασιλεῖ προσπαθῶν ν' ἀναχαιτίσῃ τοὺς τραπέντας στρατιώτας, ὁ Ἀτταλειάτης ἐσώθη εἰς Τραπεζοῦντα, ὅθεν ἄπελπις ἐπανέκαμψεν εἰς Βυζάντιον (4).

Πιθανῶς συμπαρηκολούθησεν ὁ Μιχαὴλ καὶ τοῖς κατὰ τοῦ Ρωμανοῦ σταλεῖσι στρατεύμασιν ὑπὸ τοῦ κατασχόντος τὴν ἀρχὴν Μιχαὴλ Ζ' τοῦ Παραπινακίου· ἐν τῷ στρατοπέδῳ δὲ μαθὼν καὶ τὴν διαταχθεῖσαν τύφλωσιν τοῦ δυστυχοῦς ἡγε-

(1) Ἱστορ. σελ. 136 — (2) Αὐτ. σελ. 124-138 — (3) σελ. 152, 159, 152 — (4) σελ. 167.

μόνος τοῦ ὁποίου καὶ τὸν πατριωτισμὸν καὶ τὰς στρατιωτικὰς ἀρετὰς εἴπερ τις καὶ ἄλλος ἐξετίμα ὁ εὐσυνείδητος ἱστορικός, ὡσεὶ πρὸς τὸν ἐκδόντα τὸ παγκάκιστον καὶ ἀνόσιον ἐκεῖνο πρόσταγμα κατὰ τοῦ ἰδίου μητρυιοῦ ἄθλιον βασιλέα ἀποτεινόμενος, περιπαθῶς τραγῳδεῖ. « Τί φής, ὦ βασιλεῦ, καὶ οἱ σὺν σοὶ τὴν ἀνοσίαν βουλὴν κατασκευασάμενοι! ἀνδρὸς ὀφθαλμοὺς μηδὲν ἀδικήσαντος, ἀλλὰ τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ πάσης τῆς Ρωμαίων εὐετηρίας, καὶ τοῖς πολεμικωτάτοις ἔθνεσιν ἀντιταξαμένου μετὰ καρτεροῦ τοῦ συντάγματος, ἐξὸν ὂν αὐτῷ ἀκινδύνως τοῖς βασιλείοις προσμένειν καὶ στρατιωτικοὺς πόνους καὶ φόβους ἀποτινάσσεσθαι; ἐκείνου οὗ καὶ τὴν ἀρετὴν πολέμιος αἰδεσθεὶς ἠσπάσατό τε γνησίως καὶ λόγων καὶ ἁλῶν ὡς ἀδελφῷ μεταδέδωκε, καὶ σύνθρονον τὸν αἰχμάλωτον ἐποιήσατο, καὶ ὡς ἀγαθὸς ἰατρὸς φάρμακον ἀκεσώδυνον τὰς τοιαύτας παρηγορίας τῷ φλεγμαίνοντι τῆς λύπης ἐπέθηκεν, ὥστε δικαίως τὴν νίκην ὑπ' ἀθλοθέτῃ θεῷ λαβεῖν ὁ σουλτάνος διαγινώσκεται, τοιοῦτος ἀποδειχθεὶς ἄνθρωπος τοσοῦτον ὄγκον φρονήσεως καὶ ἀνεξικακίας ἐπιδειξάμενος! σὺ δὲ τί προστάττεις, ὦ βασιλεῦ; ἀποστερηθῆναι καὶ αὐτοῦ τοῦ φωτὸς καὶ τῆς δεδομένης αὐτῷ θεόθεν τῶν ὁρωμένων κατανοήσεως, τίνα τοῦτον; τὸν πατρὸς ἐπὶ σοὶ πρᾶξιν εἰληφότα καὶ νόμῳ καὶ πράγματι, τὸν ἀποβεβληκότα τὴν βασιλείαν καὶ σοὶ ταύτην προέμενον, τὸν ἐκ πορφυρίδος ῥακοδυτήσαντα, τὸν εἰς βίον μονήρη μεταλλαξάμενον καὶ τοῖς γηΐνοις πᾶσιν ἀποταξάμενον, τὸν ἀσθενῆ καὶ παρειμένον καὶ ἀκεσωδύνου μᾶλλον θεραπείας καὶ ψυχαγωγίας ἐπιδεόμενον, τὸν ἀπειρηκότα τοῖς ὅλοις, ἀσθενοῦντα καὶ κακουχούμενον, τὸν ὡς κάλαμον συντετριμμένον καὶ ὄμβροις δακρύων ἐκτετηκότα τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόσωπον! Ἀλλ' εἰ ταῦτα, τοιαῦτα καὶ τοσαῦτα πρὸς πειθὼ παρακλήσεως, μᾶλλον δὲ πλείω τούτων, ὅσῳ καὶ τὸ ἀγγελικὸν σχῆμα σιωπηρῶς σοι παρίσταται πρὸς παράκλησιν, ἀλλὰ σὺ πάντως τῷ

θυμῷ καὶ τῇ ἐπιθυμίᾳ τοῦ βασιλεύειν ἐπιμανῶς καὶ ἀκορέστως τὸ πλεῖον τῆς ῥοπῆς ἐπιδώσειας, μήτε τὸ σχῆμα αἰδούμενος, μήτε τὴν μητρῴαν θηλὴν, ἧς οἱ παῖδες ἐκείνου καὶ σοὶ ἀδελφοὶ κοινῶς μετεσχήκατε. Ὄψεται δὲ πάντως καὶ σέ ποτε ὄμμα τιτανῶδες καὶ κρόνιον, καὶ τὰς τύχας σοι πρὸς τὴν ὁμοίαν παραστήσει κακότητα » (1).

Μετὰ συντετριμμένης δὲ καρδίας περιγράφει καὶ τὰς βασάνους ὅσας ὑπέστη ἐν τῇ σκληρᾷ τυφλώσει ὁ πολύτλας βασιλεύς, μνήμην καταλιπὼν τοῖς μετέπειτα τῶν τοῦ Γὼβ ἐκείνου δυστυχημάτων ὑπερβαίνουσαν τὴν ἀκρόασιν.

Ἀλλὰ καὶ ἐπὶ τοῦ διαδεχθέντος τὸν Ῥωμανὸν δὲν παρεγνωρίσθη ἡ ἔξοχος ἱκανότης τοῦ Ἀτταλειάτου. Ὁ Μιχαὴλ Ζ΄ προαγαγὼν αὐτὸν εἰς τὸ ἀξίωμα τοῦ ἀνθυπάτου, κριτοῦ ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου, ἐπεχορηγήσατο πλήρη ἀσυδοσίαν (ἐξκουσείαν) τῆς ἐν Ῥαιδεστῷ οἰκίας καὶ τῶν κατὰ τὸ θέμα Θρᾴκης καὶ Μακεδονίας ἄλλων αὐτοῦ κτημάτων, διὰ χρυσοβούλλου λόγου (1075), ἐν ᾧ ἀποκαλεῖ τοῦτον ἄνδρα τῷ μὲν γεραρῷ τοῦ εἴδους αἰδέσιμον, τῷ χρηστῷ δὲ τοῦ ἤθους καὶ μάλα ὑπέρσεμνον, τὴν πεῖραν θαυμάσιον. Πρὸ δύο δ' ἐτῶν (1073) ἀνέθετο αὐτῷ καὶ τὴν σύνταξιν τῆς Πραγματικῆς, περὶ ἧς κατωτέρω.

Ἀλλ' αἱ γενναιοδώρως ἐπιδαψιλευθεῖσαι τῷ Ἀτταλειάτῃ τιμαὶ πρὸς οὐδὲν φαίνονται κλονίσασαι τὰς περὶ τῆς ἀθλίας βασιλείας τοῦ σχολαστικοῦ καὶ φιλάρπαγος Παραπινακίου πεποιθήσεις τοῦ εὐσυνειδήτου ἱστορικοῦ· ἐκ τοῦ σύνεγγυς γνωρίσας τὰ αἴσχη αὐτῆς (2), ῥίπτει κατ' αὐτῆς τὸν λίθον τοῦ ἀνα-

(1) Ἱστορ. σελ. 176.

(2) « Ἔγωγε οὖν ἐν πολλοῖς συνεκστρατευσάμενος, κἂν τοῖς βασιλείοις συνεχῶς συναναστρεφόμενος, οὐδέπω ἔγνων ἐν πᾶσι βουλὴν θεῷ ἀρέσκουσαν » . σελ. 196.

Digitized by Google

θέματος καὶ καταντᾷ μέχρι τοῦ διανοήματος νὰ θεωρήσῃ τὴν βασιλοκτονίαν ὡς γενναιότητος τεκμήριον, ἱκετεύων μετὰ τῶν ἄλλων τεθλιμμένων πατριωτῶν τὸν θεὸν ἐπιβλέψαι πρὸς τὴν αὐτοῦ κληρονομίαν καὶ προχειρίσασθαι ἄνδρα ἅμα μὲν καὶ τοὺς τυράννους αὐτοὺς δυνάμενον καθελεῖν, ἅμα δὲ καὶ τὰς τύχας τῶν Ρωμαίων πρὸς τὸ εὐθυμότερον ἐπαναγαγεῖν φρονήσει καὶ γενναιότητι καὶ φιλοτίμῳ καὶ φιλοίκτῳ ψυχῇ (1).

Κατὰ Μάρτιον τοῦ 1077 ἱδρύσατο τό τε πτωχοτροφεῖον καὶ τὸ μοναστήριον, περὶ ὧν συνέταξε τὴν νῦν δημοσιευομένην διάταξιν.

Κατὰ δὲ τὴν συγχρόνως ἐκραγεῖσαν μετ' οὐ πολὺ ἔν τε τῇ Εὐρώπῃ καὶ τῇ Ἀσίᾳ στρατιωτικὴν ἐπανάστασιν Νικηφόρου τοῦ Βοτανειάτου καὶ Νικηφόρου τοῦ Βρυεννίου, ὁ Ἀτταλειάτης παρεπιδημῶν ἐν Ραιδεστῷ, πρὸς ἐπίσκεψιν, ὡς λέγει, τῶν κτημάτων αὐτοῦ, ἅμα εἶδε τὰς ἐν τῇ πόλει ταύτῃ ἐνερ-

(1) Ἱστορ. σελ. 188, 212 — Ἵνα μὴ ὑπεννοηθῇ, ὅτι ἐξ ἄλλων ἐλατηρίων ὡρμήθη ὁ εὐσυνείδητος ἱστορικὸς εἰς τὰς περὶ τῆς βασιλείας τοῦ Μιχαὴλ αὐστηρὰς κρίσεις αὐτοῦ, ἐπάγει. «Καὶ μή μοί τις ἐπιτιμήσῃ τῆς τοιαύτης τῶν ἡμετέρων καταδρομῆς· οὐ γὰρ ἐπὶ λοιδορίᾳ τούτων ἁπλῶς καὶ ἀτιμίᾳ ψευδόμενος γέγραφα, ἀλλ' ἐπ' ἐλέγχῳ τῶν κακῶς πραττομένων, μή πού ποτε ἄρα αἰδὼς καὶ φόβος ἐπέλθῃ τοῦ θείου τοὺς ἡγεμόνας καὶ στρατηγοὺς καὶ αὐτοὺς τοὺς ὑπηκόους αὐτῶν, καὶ μεταβαλόντες ἐπὶ τὰ κρείττονα τῆς ἄνωθεν εὐμενείας καὶ ἀντιλήψεως τύχωσι, καὶ τὰς οἰκτρὰς ἐπανορθώσονται τύχας· περιέσχον γὰρ ἡμᾶς ὠδῖνες θανάτου, κατά τε πᾶσαν ἑώαν καὶ τὴν ἑσπέραν τῶν Γοτθικῶν καὶ μιαρωτάτων ἐπικρατησάντων ἐθνῶν, καὶ κατατρυφησάντων τῆς ἡμῶν εὐηθείας ἢ ἀμελείας, ἢ τό γε ἀληθέστερον εἰπεῖν θεοβλαβείας καὶ μανίας, ὅτι κατ' ἀλλήλων λυττῶντες καὶ ἀκρατῶς τοῖς ὁμοφύλοις μαχόμενοι καὶ θανάτου καταφρονοῦντες, ἐν τοῖς ἀλλοφύλοις πολέμοις δειλοὶ καὶ ἀνάλκιδες καὶ πρὸ πολέμου νῶτα διδοῦντες φαινόμεθα». σελ. 198.

γείας τῶν ὀπαδῶν τοῦ Βρυεννίου, ἔσπευσεν εἰς τὴν βασιλεύουσαν, καὶ ἐκθέμενος τῷ ἀθλίῳ βασιλεῖ τὰ διατρέχοντα συνεβούλευσεν αὐτῷ καὶ τὰ πρὸς ἀποσόβησιν τοῦ κινδύνου ληπτέα μέτρα. Ἀλλ' αἱ συνεταὶ αὐτοῦ συμβουλαὶ δὲν ἐλήφθησαν ὑπ' ὄψιν· ὁ δὲ Βρυέννιος ἀπροσκόπτως προβαίνων κατέλαβε καὶ τὴν Ἀδριανούπολιν· μετ' οὐ πολὺ δὲ καὶ ἡ Ραιδεστὸς ἐκηρύχθη ὑπὲρ τοῦ ἀντάρτου, τοῦ ὁποίου οἱ ὀπαδοὶ διήρπασαν τὰ κτήματα τοῦ ἀντιφρονήσαντος αὐτοῖς ἀνθυπάτου.

Ἀλλ' ἐν ᾧ φαίνεται τοσοῦτον δυσμενῶς πρὸς τὸν Βρυέννιον διακείμενος ὁ Μιχαήλ, ἐξαιρετικὴν ἀπ' ἐναντίας δεικνύει συμπάθειαν πρὸς τὸν ἐπίσης ἀντάρτην Βοτανειάτην, εἴτε χαριζόμενος τῇ πρὸς αὐτὸν παλαιᾷ φιλίᾳ, εἴτ' ἐν συνειδήσει θεωρῶν τοῦτον ὡς τὸν μόνον σωτῆρα τῆς ἐπὶ τοῦ Παραπινακίου ἀμαυρωθείσης δόξης τοῦ Βυζαντίου (1). Μ' ὅλας ὅμως τὰς περὶ ἀμεροληψίας ἐπανειλημμένας διακηρύξεις αὐτοῦ, κλίνομεν νὰ πιστεύσωμεν, ὅτι ἔθυσε τῇ φιλίᾳ τὴν ἀμεροληψίαν τοῦ ἱστορικοῦ, ἥτις διαλάμπει ἐν τῇ ἐξιστορήσει τῶν κατὰ τοὺς προγενεστέρους βασιλεῖς συμβάντων· διότι, ἂν πραγματικῶς εἶχεν ἀνάγκην τὸ Βυζάντιον καλοῦ στρατιωτικοῦ ἡγεμόνος, τοιοῦτος παρίστατο μᾶλλον ὁ ἀποτυχὼν Βρυέννιος, ὑπὲρ συγχωρήσεως τοῦ ὁποίου καὶ αὐτὸς ὁ Ἀτταλειάτης εἰς μάτην ὕστερον ἐμεσίτευσε παρὰ τῷ σκληροκαρδίῳ ἥρωϊ αὐτοῦ.

Ἂν οἱ προβεβασιλευκότες ἐτίμησαν τὴν ἱκανότητα τοῦ Μιχαήλ, κατὰ φυσικὸν λόγον προθυμότερον ἔπρεπε νὰ πράξῃ τοῦτο ὁ βασιλεύσας Βοτανειάτης, καὶ χάριν τῆς ὁμολογουμένης τοῦ ἀνδρὸς ἀξίας, καὶ χάριν τῆς φιλίας μεθ' ἧς πρὸς αὐτὸν ἀπὸ

(1) Ἀξιοπερίεργοι αἱ γενεαλογικαὶ καὶ ἄλλαι εἰδήσεις περὶ τῶν προγόνων τοῦ Βοτανειάτου Φωκάδων, ὧν τὸ γένος ἀνάγει ὁ Ἀτταλειάτης εἰς τὸν περίπυστον Ρωμαϊκὸν οἶκον τῶν Φαβίων, ὡς διὰ βίβλου παλαιᾶς ἐγειραγωγήθη. Ἱστ. σελ. 218.

Digitized by Google


πολλοῦ συνεδέετο, καὶ χάριν τῶν ὑπὲρ τῆς βασιλείας αὐτοῦ πιθανῶς ἐν Κωνσταντινουπόλει γενομένων ἐνεργειῶν τοῦ ἀνθυπάτου. Ὅθεν προαγαγὼν τοῦτον εἰς τὰ ἀξιώματα μαγίστρου, βέστου, προέδρου κριτοῦ ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου, ἐπεκύρωσε τὸν περὶ ἀσυδοσίας τῶν κτημάτων ἐπιβραβευθέντα αὐτῷ ὑπὸ τοῦ προβεβασιλευκότος χρυσόβουλλον λόγον, ἀνεγνώρισε τὸ ὑπ' αὐτοῦ ἱδρυμένον πτωχοτροφεῖον, καὶ ἐθέσπισεν ἵνα χορηγῆται τῇ ὑπ' αὐτοῦ ὁμοίως ἱδρυθείσῃ μονῇ βασιλικὸν ἐπίδομα ἐκ δώδεκα νομισμάτων ἐν καιρῷ τῆς πληρωμῆς τῶν μισθῶν τῶν σπαθαροκανδιδάτων. Οὐχ ἧττον δὲ καὶ τὸν μονογενῆ υἱὸν αὐτοῦ Θεόδωρον, βασιλικὸν ὄντα νοτάριον, ἐτίμησε τῷ τίτλῳ τοῦ δισυπάτου (1).


Ἐν ἔτει 1080 περαιώσας τὴν ἱστορίαν αὐτοῦ ὁ Ἀτταλειάτης προσεφώνησεν εἰς τὸν φίλον αὐτοκράτορα, ὑποσχόμενος νὰ ἐξακολουθήσῃ τὴν συγγραφὴν καὶ τῶν μετὰ ταῦτα συμβησομένων. Ἄδηλον ὅμως, ἐὰν ἐπιζήσας ἐξεπλήρωσε τὴν ὑπόσχεσιν αὐτοῦ, εἰ καὶ πολλοὶ λόγοι πείθουσιν, ὅτι τοιαύτην συνέχειαν δὲν ἔγραψεν, εἴτε πληρώσας τὸ κοινὸν χρέος μετ' οὐ πολύ, εἴτε καὶ μὴ θελήσας νὰ ἐπαινέσῃ τὸν μετὰ ἓν ἔτος καταλαβόντα τὴν ἀρχὴν Ἀλέξιον Κομνηνὸν τὸν μέγαν.

Συγγράμματα.

Μιχαὴλ ἀνθυπάτου καὶ κριτοῦ τοῦ Ἀτταλειάτου, ποίημα νομικὸν εἴτε Πραγματική, πονηθεῖσα κατὰ κέλευσιν τοῦ βασιλέως Μιχαὴλ τοῦ Δούκα· (ἐν τῇ προτασσομένῃ πρὸς τὸν βασιλέα προσφωνήσει συνοπτικῶς ἐκτιθέμενος τὴν ἱστορίαν τῆς ρωμαϊκῆς νομοθεσίας, προσεπιτίθησιν, ὅτι προσεπάθησε νὰ ἐκθέσῃ τοὺς νόμους εὐσυνόπτως καὶ εὐκρινῶς «ὥστε καὶ ὀλιγογραμμάτοις τὴν τῶν προκειμένων γνῶσιν καὶ τὴν τῶν ἀναγινωσκομένων διάληψιν παραλαμ-

(1) Βοτανειάτου χρυσόβουλλος λόγος ὑπὲρ Ἀτταλειάτου, σελ. 62.





βάνεσθαι ». Τῆς Πραγματικῆς προτάσσεται καὶ ἐπίγραμμα ποιηθέν, κατὰ πᾶσαν πιθανότητα, ὑπὸ τοῦ πολυγραφωτάτου καὶ τότε παντοδυνάμου Μιχαὴλ Ψελλοῦ, τοῦ καὶ προσθέντος ἐν αὐτῇ σχόλιά τινα, ἐν ᾧ ἐπιγράμματι κατὰ κόρον μὲν ἐγκωμιάζεται ὁ Παραπινάκιος καὶ ὡς συγγραφεὺς τοῦ πονήματος, παρίσταται δὲ ὁ Ἀτταλειάτης ὡς ἁπλοῦς ἀντιγραφεὺς τοῦ βασιλικοῦ συντάγματος. Τὸ πόνημα τοῦτο τοῦ Μιχαὴλ ἐδημοσιεύθη μετὰ λατινικῆς μεταφράσεως ὑπὸ Λεουγκλαβίου (1).

Μιχαὴλ κριτοῦ τοῦ Ἀτταλιώτου (sic) Πρόχειρον νόμων. (Τοῦτο καταγράφει ὁ Χρύσανθος ἐν τοῖς χειρογράφοις τῆς ἐν Ἄθωνι μονῆς τοῦ Βατοπεδίου (2). Πιθανὸν ὅμως αὐτὴ ἡ ἀνωτέρω Πραγματικὴ νὰ ἐπιγράφηται καὶ οὕτω, ὡς καὶ ἐν ἄλλοις κώδηξι, κατὰ τὸν Heimbach, φέρει τὸν τίτλον Πραγματεία τῶν συνοψισθέντων νόμων).

Διάταξις ἐπὶ τῷ παρ' αὐτοῦ συστάντι πτωχοτροφείῳ καὶ τῷ μοναστηρίῳ. (Ἐκδίδοται νῦν ἀντιγραφεῖσα ἐκ τοῦ πρωτοτύπου κώδηκος, ὅστις περιελθών ποτε εἰς κατοχὴν τῆς μονῆς τοῦ Προδρόμου, ὡς δηλοῦται ἐκ μεταγενεστέρου σημειώματος, ἀποτεθησαύρισται νῦν ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει μετοχίου τοῦ Παναγίου Τάφου, καταγεγραμμένος ὑπ' ἀριθμὸν 444. Τὸ πολύτιμον τοῦτο χειρόγραφον ἀποτελεῖται ἐκ πεντήκοντα ἐννέα ὀκταδίων καὶ ἑνὸς τετραδίου μεμβράνης ὀγδόου σχήματος, ἢ σελίδων ἐν συνόλῳ 200. Ἐκ τοῦ δεκάτου ὀκταδίου ἐλλείπουσι σελίδες δώδεκα, πιθανῶς ὡς ἄγραφοι ἀποκοπεῖσαι, διότι ἡ συνέχεια τοῦ κειμένου δὲν φαίνεται διακοπτομένη. Ἐκ τοῦ εἰκοστοῦ ἐλλείπουσι δύο φύλλα, ἐξ ὧν τὸ ἓν ἴσως ἄγραφον, τὸ δ' ἕτερον γεγραμμένον, ὡς ἐπερχομένου τοῦ χάσματος τοῦ ἐν τῇ παρούσῃ ἐκ-

(1) Jus Graecoromanum, Francofurti 1596, tom. II, 1-79.
(2) Σελ. 277 τοῦ παρόντος.

Digitized by Google

δόσει (σελ. 47) σημειουμένου. Καὶ ἐκ τοῦ τριακοστοῦ δὲ ἀφηρέθησαν δύο φύλλα, ἴσως ἄγραφα. Τῷ δὲ τελευταίῳ ἑξηκοστῷ, τετραδίῳ ὄντι, ἐπισυνάπτονται δύο φύλλα ἄγραφα. Ὁ κώδηξ γέγραπται διὰ τῆς αὐτῆς χειρὸς καὶ φέρει δύο προσεπικυρώσεις αὐτογράφους τοῦ Ἀτταλειάτου, ἐξ ὧν μιᾶς σὺν τῷ τέλει τοῦ κειμένου παρατιθέμεθα πανομοιότυπον λιθογράφημα. Αἱ δὲ μετὰ τὴν καταγραφὴν τῶν ἀφιερωμάτων προσθῆκαι, τὰς ὁποίας ὁμοίως λιθογραφοῦμεν, ἐγράφησαν ὀλίγον μετὰ τὴν θανὴν τοῦ Ἀτταλειάτου).

Ἱστορία ἐκτεθεῖσα παρὰ Μιχαὴλ αἰδεσιμωτάτου κριτοῦ ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου τοῦ Ἀτταλειάτου. (Τὸ σπουδαῖον τοῦτο σύγγραμμα, ἐν ᾧ λεπτομερῶς καὶ ὁπωσοῦν ἀμερολήπτως ἐξιστοροῦνται τὰ συμβάντα ἐπὶ τῶν βασιλειῶν Μιχαὴλ τοῦ Παφλαγόνος, Κωνσταντίνου τοῦ Μονομάχου, Μιχαὴλ τοῦ Στρατιωτικοῦ, Ἰσαακίου τοῦ Κομνηνοῦ, Κωνσταντίνου τοῦ Δούκα, Ρωμανοῦ τοῦ Διογένους, Μιχαὴλ τοῦ Παραπινακίου καὶ Νικηφόρου τοῦ Βοτανειάτου, ἐξεδόθη τὸ πρῶτον ἐν τῇ σειρᾷ τῆς Βυζαντίδος τῆς Βόννης μετὰ λατινικῆς μεταφράσεως (1853) ὑπὸ τοῦ σοφοῦ γάλλου Brunet de Presle, τοῦ τοσοῦτον ἐντριβοῦς περί τε τὴν ἀρχαίαν καὶ τὴν νεωτέραν ἑλληνικὴν διάλεκτον. Ἄπορον δὲ πῶς διέφυγε τὴν προσοχὴν τοῦ τε πολυμαθοῦς καθηγητοῦ Κ. Παπαρρηγοπούλου καὶ ἄλλων, θεωρησάντων ὡς μόνας πηγὰς τῆς περιόδου ταύτης τὴν χρονογραφίαν τοῦ Κεδρηνοῦ καὶ ἰδίως τὴν τοῦ Σκυλίτση, ἁπλῆν ἐπιτομὴν οὖσαν τῆς ἱστορίας τοῦ Ἀτταλειάτου).

Περὶ τοῦ μετὰ τὸν Ἀτταλειάτην ἐκδιδομένου Νικήτα τοῦ Χωνιάτου ἐπιφυλαττόμενος νὰ λαλήσω κατ' ἔκτασιν ἐν προλεγομένοις τῶν μετ' οὐ πολὺ δημοσιευθησομένων καὶ ἄλλων ἀνεκδότων ἱστορικῶν λόγων καὶ ἐπιστολῶν αὐτοῦ, σημειῶ ἤδη,

Digitized by Google

ὅτι οἱ νῦν ἐκδιδόμενοι λόγοι ἀντεγράφησαν ἐκ χειρογράφου τῆς Μαρκιανῆς βιβλιοθήκης (cl. XI, cod. XXII) περιγραφομένου ὑπὸ τοῦ Μιγγαρέλη (1) καὶ τοῦ περὶ τὴν βυζαντινὴν παλαιογραφίαν τρίβωνος καθηγητοῦ Κ. Ἰωσὴφ Μύλλερ (2).

Μετὰ τοῦτον ἕπεται Θεόδωρος ὁ Μετοχίτης· ἐπειδὴ δὲ ὀλίγιστα, καὶ ταῦτα συγκεχυμένα, γινώσκονται περὶ τοῦ περιφανοῦς τούτου φιλοσόφου, ἀστρονόμου καὶ πολιτικοῦ, θέλω διὰ μακρῶν λαλήσει.

Ἐν τῇ κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα πολιτικῇ, ἐκκλησιαστικῇ καὶ φιλολογικῇ ἱστορίᾳ τοῦ Βυζαντίου ἐπίσημον κατέχει θέσιν ὁ οἶκος τῶν Μετοχιτῶν. Ταὐτοχρόνως σχεδὸν ἀκμάζοντες οἱ Γεώργιος καὶ Θεόδωρος Μετοχῖται οὐδὲν ἕτερον κοινὸν ἔχουσιν, ἢ ἁπλῶς τὸ ὁμώνυμον. Διάφοροι καὶ τὴν κοινωνικὴν θέσιν καὶ τὸν βαθμὸν τῆς ἐκπαιδεύσεως, μᾶλλον πρὸς ἀλλήλους ἀντίκεινται κατὰ τὰς θρησκευτικὰς δοξασίας· ἐξωμότης ὁ πρῶτος τοῦ πατρίου δόγματος, δίκην ἀλήτου ἐτελεύτησεν ἐν δεσμωτηρίῳ· ὁ δὲ Θεόδωρος εἰς τὰ ὕπατα προαχθεὶς τῆς πολιτείας ἀξιώματα καὶ αὐτῷ τῷ βασιλείῳ οἴκῳ κηδεύσας, ἀνεδείχθη ὑπέρμαχος τῆς ὀρθοδόξου ἐκκλησίας, εἰς τοὺς κόλπους τῆς ὁποίας ἐζήτησε καὶ παρηγορίαν τῶν θλίψεων, δι' ὧν ἡ ἄστατος τύχη κατεπίκρανε τὸ γῆρας αὐτοῦ.

Ὁ Γεώργιος Μετοχίτης ἀναφαίνεται πρῶτον ἐπὶ τῶν χρόνων τῶν σκανδαλωδῶν διαπραγματεύσεων Μιχαὴλ Η' τοῦ Παλαιολόγου πρὸ τὴν Ρωμάναν ἐκκλησίαν. Διάκονος ὢν τοῦ ἐν Κωνσταντινουπόλει πατριαρχείου καὶ ἀρχιδιάκονος τῆς αὐλῆς, ἐστάλη εἰς τὸν πάπαν (1277) κομιστὴς τῶν γραμμάτων τοῦ τε πατριάρχου Βέκκου καὶ τοῦ αὐτοκράτορος, ἀπεκδεχομένων τὴν

(1) Codices Naniani, σελ. 472-74.

(2) Byzantinische Analekten (Sitzungsberichte der Akademie der Wissensch. Wien, 1853 IX B. σελ. 338).

ἐν τῇ συνόδῳ τοῦ Λουγδούνου προδιωμολογημένην ὑποταγὴν τῆς ἑλληνικῆς ἐκκλησίας. Φανατικὸς δὲ ἀναδειχθεὶς παπολάτρης ἐνέμεινε μετά τε τοῦ Βέκκου καὶ τοῦ χαρτοφύλακος Κωνσταντίνου Μελιτηνιώτου ἐν τῇ ἐξωμοσίᾳ, οὐ μόνον ἐπὶ τοῦ Μιχαὴλ Η' ἀλλὰ καὶ ἐπὶ τοῦ διαδεχθέντος τοῦτον Ἀνδρονίκου τοῦ Β', ὅτε καὶ αὐτὴ ἡ Ῥώμη ἀπέβαλε πᾶσαν ἐλπίδα περὶ πραγματοποιήσεως τῆς ἑνώσεως. Παραδόξως δὲ ἡ τριὰς τῶν δραπετίδων τούτων, καί τοι πολλοὺς ὑποστάντες διωγμούς, μετὰ τοῦ διακρίνοντος τοὺς ἐξωμότας πείσματος ἐνεκαρτέρησαν συγγράφοντες ὑπὲρ τῆς Ῥωμάνας ἐκκλησίας καὶ ἀπ' αὐτῆς τῆς εἱρκτῆς, ἐν ᾗ ὥσπερ κύνες ἐτελεύτησαν (1).

Συγγενὴς τῷ Γεωργίῳ τούτῳ ἦν ὁ Θεόδωρος Μετοχίτης γεννηθεὶς ἐν Νικαίᾳ τῆς Βιθυνίας (2). Δεκακαιτριέτης ἀπορφανισθεὶς πατρός, καὶ καλῶς τὴν τότε ἐγκύκλιον μάθησιν ἐκπαιδευθείς, κατ' ἰδίαν ὕστερον ἐμβριθῶς ἐνέκυψεν ἐν τῇ μελέτῃ τῶν συγγραφέων τῆς ἑλληνικῆς ἀρχαιότητος. Μόλις δ' ὑπερβὰς τὸ εἰκοστὸν τῆς ἡλικίας ἔτος, καταλλήλως ἐκτιμηθεὶς ὑπὸ τοῦ Ἀνδρονίκου προσελήφθη εἰς Βυζάντιον τὸ μὲν πρῶτον ἐν τοῖς ἀρχείοις, εἶτα δὲ καὶ εἰς ἀνώτερα προαχθεὶς ἀξιώματα [illegible]) Τεσσαρακοντακαιτριέτης δ' ἤδη προσέλαβεν ὡς οἰκοδιδάσκαλον Μανουὴλ τὸν Βρυέννιον, ὑφ' οὗ ἐδιδάχθη τὰς ἀρχὰς τῆς ἀστρονομίας, ἣν καὶ εἰς ἀληθῆ προήγαγεν ἐπιστήμην, ἀνακαθάρας ἐκ τῶν ἐν αὐτῇ ἐπικρατουσῶν τότε ἀνατολικῶν τερατολογιῶν (3).

(1) Τινὰ τῶν συγγραμμάτων τοῦ Γεωργίου ἐδημοσίευσεν ὁ Ἀλλάτιος (Graecia Orthodoxa tom. II, σελ. 922-1074). Παρ. Fabricii Bibliotheca Graeca, X, σελ. 412 (Harles).

(2) Νικαεὺς σελ. 140.

(3) Μετοχίτου, προοίμιον εἰς τὴν Ἀστρονομίαν. — « Τὴν γὰρ ἀστρονομίαν ἀπό τινος Βρυεννίου φαύλας τινὰς καὶ οὐκ ἀκριβεῖς πάνυ παραλαβὼν ἀρχάς, αὐτὸς ἰδίοις πόνοις ἐξηκριβώσατο, ὡς καὶ μετὰ ταῦτα πολλοὺς ἐν ἐπιστήμῃ τοῦ μαθήματος σὺν ἀκριβείᾳ γενέσθαι παρ αὐ-

Πρῶτον ἱστορικῶς ἀναδείκνυται ἐπὶ τῆς πολιτικῆς σκηνῆς ὁ Θεόδωρος ἐπὶ τῶν διαπραγματεύσεων τοῦ Ἀνδρονίκου περὶ γάμου τοῦ υἱοῦ καὶ συνάρχοντος αὐτῷ Μιχαήλ. Μετὰ τὴν ἀποτυχίαν τῆς ἐπὶ τούτῳ πρεσβείας τοῦ ἱερομονάχου Σοφονίου παρὰ Καρόλῳ τῷ ἐξ Ἀνδηγαυῶν, ὁ βασιλεὺς ἀπέστειλε πρὸς τοὺς βασιλεῖς τῆς Κύπρου καὶ τῆς Ἀρμενίας τὸν τότ' ἐν Βυζαντίῳ παρεπιδημοῦντα πατριάρχην Ἀλεξανδρείας Ἀθανάσιον, ὅπως διαπραγματευθῇ πρὸς ἕνα ἐκ τούτων περὶ τοῦ προτεινομένου κήδους. Συλληφθέντος ὅμως τοῦ πρεσβευτοῦ περὶ Φώκαιαν ὑπὸ πειρατῶν, ὁ Ἀνδρόνικος στέλλει ἀντ' ἐκείνου τὸν Ἰωάννην Γλυκύν, λογοθέτην τοῦ δρόμου, καὶ Θεόδωρον τὸν Μετοχίτην, λογοθέτην τοῦ γενικοῦ, ἤ, ὡς ἡμεῖς νῦν λέγομεν, κεντρικὸν ταμίαν· ἐκλέγονται δὲ οὗτοι, μὴ μόνον δι' ἣν τῶν πραγμάτων ἐτύγχανον ἔχοντες πεῖραν, ἀλλὰ καὶ διὰ τὸ πολλῷ τῶν ἄλλων προέχειν συνέσεως ἐμβριθείᾳ καὶ σοφίας περιουσίᾳ, ὅση τε περὶ τὰ θεῖα καὶ ἡμέτερα δόγματα καὶ ὅση περὶ τὸν ἑλληνα λόγον ἠσχόληται (1).

Καταπλεύσαντες τὸ πρῶτον εἰς Κύπρον συνδιελέχθησαν περὶ τοῦ προτεινομένου συνοικεσίου πρὸς τὸν βασιλεύοντα Ἐνρίκον Β΄ τὸν Λουζινιάν· ἀλλ' ἐπειδὴ καὶ οὗτος ἀπήτησε νὰ λάβῃ πρότερον τὴν περὶ τούτου ἄδειαν τοῦ πάπα, οἱ πρεσβευ-

τοῦ διδαχθέντας· ὃ καὶ θαυμάζοντος βασιλέως, καὶ πρός τινα τῶν ἐκείνῳ φοιτησάντων ἐρομένου, ὁ Γρηγορᾶς οὗτος ἦν, πῶς ὁ Μετοχίτης ἐκ φαύλων τῶν ἀρχῶν ὡρμημένος, οὕτως ἠδυνήθη πρὸς τελείαν ἐξεύρεσιν τοῦ μαθήματος ἐλθεῖν, «οὐ θαυμαστὸν, φάναι, βασιλεῦ, τὸν ἐρωτηθέντα, ἐκ λαμπάδος μικρᾶς πυρσὸν ἀναφθῆναι μέγαν», ἐπαινέσαι τε τοῦτον τῆς ἀγχινοίας τὸν βασιλέα καὶ τὸ οἰκεῖον τῆς εἰκόνος θαυμάσαι». Κανταχουζηνοῦ Ἱστορία τόμ. Α΄, σελ. 55, ἐκδ. Βόννης.

(1) Γρηγορᾶς Α΄, σελ. 193 — Ὁ Παχυμέρης (II, 202) λέγει τὸν μὲν Μετοχίτην λογοθέτην τῶν ἀγελῶν, τὸν δὲ Γλυκὺν λογοθέτην ἐπὶ τῶν δεήσεων.

Digitized by Google

ταί, μὴ δυνάμενοι νὰ χρονοτριβῶσιν ἀναμένοντες τὴν συγκατάθεσιν τῆς ἥκιστα εὐνοϊκῶς πρὸς τὸ Βυζάντιον διατεθειμένης Ρωμάνας ἐκκλησίας, ἀπάραντες ἐκεῖθεν κατέπλευσαν εἰς Αἰγὰς καὶ ἀποβάντες διὰ συντόνου ὁδοιπορίας ἀφίχθησαν παρὰ τῷ βασιλεῖ τῆς Ἀρμενίας, ὅστις προθύμως παρέδωκεν αὐτοῖς οὐ μόνον τὴν ἀδελφὴν Μαρίαν, ὡς σύζυγον τοῦ Μιχαὴλ, ἀλλὰ καὶ τὴν ἑτέραν ἀδελφὴν αὐτοῦ Θεοδώραν, διὰ νὰ φροντίσῃ ἡ βασιλεία καὶ εὕρῃ καὶ ταύτῃ νυμφίον ἀντάξιον. Ἕνεκα δὲ τῆς καθ' ὁδὸν ἀσθενείας μιᾶς τῶν συνεπαγομένων ἡγεμονίδων, ἀναγκασθέντες νὰ παραμείνωσιν ἐπ' ὀλίγον εἰς Ῥόδον, μετὰ τὴν ἀνάρρωσιν ἀποπλέουσιν ἐκεῖθεν, καὶ τῇ 16 Ἰανουαρίου 1296 ἐν λαμπρᾷ καὶ πολυτελεῖ πομπῇ εἰσδέχονται ἐν Βυζαντίῳ (1).

Μετὰ παρέλευσιν δύο ἐτῶν (1298) ὁ Μετοχίτης ἐτιμήθη δι' ἑτέρας πρεσβείας, ἀποσταλεὶς πρὸς τὸν κράλην τῆς Σερβίας διὰ νὰ συνομολογήσῃ τοὺς ὅρους, ὑφ' οὓς κατ' ἀνάγκην ὁ Ἀνδρόνικος προσέφερεν αὐτῷ τὴν νεαρωτάτην αὐτοῦ θυγατέρα Σιμωνίδα. Τὰ δὲ καθ' ὁδὸν καὶ παρὰ τῷ κράλῃ συμβάντα αὐτῷ (2) λεπτομερῶς ἐκτίθησιν ὁ Θεόδωρος ἐν τῷ δημοσιευομένῳ Πρεσβευτικῷ, ἀποτεινομένῳ, κατὰ πᾶσαν βεβαιότητα, πρὸς Νικηφόρον τὸν Χοῦμνον (3).

(1) Παχυμέρης II, σελ. 202-3 — Γρηγορᾶς, I, 193-195. «Ὁπόσα μέντοι τούτοις, εἴτε χαλεπὰ εἴτε ῥαστώνης γέμοντα καὶ τρυφῆς συνηντήκει κατά τε τὸν ἔκπλουν, κατά τε τοὺς περίπλους καὶ κατάπλους τῶν νήσων καὶ τῶν λιμένων, καὶ ὅπως ἅπασαν ἐξετέλεσαν τὴν πρεσβείαν, ἡ πάντα διεξιοῦσα καθέκαστα βίβλος δηλώσει τοῖς βουλομένοις κάλλιστα καὶ σαφέστατα, ἣν ἡ μεγίστη γλῶσσα θατέρου τῶν πρέσβεων, Ἰωάννου φημὶ τοῦ Γλυκέος, διέξεισι γενναιότατα καὶ ὡς ἂν πᾶς τις θαυμάσειεν ἐλλόγιμος ἄνθρωπος». Ἡ ὑπὸ τοῦ Γρηγορᾶ μνημονευομένη αὕτη ἔκθεσις τοῦ Γλυκέος δὲν περιεσώθη, ὡς ἐγὼ γινώσκω.

(2) Περὶ τοῦ ἐν τῷ Πρεσβευτικῷ (σελ. 159) μνημονευομένου δριμυτάτου χειμῶνος, βλ. Παχυμέρ. Β'.

(3) Ὁ περιφανὴς οὗτος λόγιος καὶ πολιτικὸς ἀνὴρ, συστάσει τοῦ

Μετὰ τὴν ἀποχώρησιν καὶ τοῦ Χούμνου ἐκ τῆς πολιτικῆς τύρβης, ἀνέλαβε παρὰ τῷ βασιλεῖ τὴν θέσιν τοῦ πρωθυπουργοῦ ὁ Μετοχίτης· «Ἦν γε μὴν τηνικαῦτα τῷ βασιλεῖ παραδυναστεύων καὶ πᾶσαν κατάστασιν ὅλοις μεσιτεύων τοῖς πράγμασι· τοσοῦτον δ' αὐτῷ προσετετήκει καὶ οὕτως ὁ βασιλεὺς αὐτοῦ γε ἐξήρτητο, ὥστ' οὐδὲν ἦν αὐτῷ μικρὸν ἢ μέγα τῶν πάντων ἀπόρρητον πρὸς αὐτόν· ἀλλὰ πάντ' ἐποίει βουλομένου καὶ τούτου, καὶ αὖθις οὐδέν, ὃ μὴ τούτῳ πρὸς βουλήσεως ἦν. » (1)

Τιμῶν τὴν πολυμάθειαν καὶ τὴν πολιτικὴν περίνοιαν τοῦ Θεοδώρου, ἐξαιρετικὴν ἐπεδείξατο αὐτῷ εὔνοιαν ὁ φιλομουσώτατος πλὴν νωθρὸς ἐκεῖνος βασιλεύς· διότι καὶ εἰς τὸ ἀξίωμα τοῦ μεγάλου λογοθέτου (2) προήγαγεν αὐτόν, καὶ τὸν ἴδιον

ἀποσυρθέντος τῶν δημοσίων Θεοδώρου Μουζάλωνος (1292) προσληφθεὶς ὑπὸ τοῦ Ἀνδρονίκου ὡς πρωθυπουργός, καὶ εἰς τὰ ἀξιώματα μυστικοῦ καὶ ἐπὶ τοῦ κανικλείου προαχθεὶς « ἦν τηνικαῦτα μεσάζων τοῖς πράγμασι, πολλὴν τὴν ἐμπειρίαν καὶ σύνεσιν πλουτῶν εἰς τὰ κοινά, καὶ διὰ τοῦτο μάλα τοι πλείστως ἀπολαύων τῆς τοῦ κρατοῦντος εὐμενείας τε καὶ ῥοπῆς ». Γρηγορᾶς Α΄. 241. Περὶ τῶν πρὸς τὸν ἀριστοτελίζοντα τοῦτον φιλόσοφον σχέσεων τοῦ πλατωνικοῦ Μετοχίτου ἐν τοῖς ἑξῆς λόγον ποιοῦμεν.

(1) Γρηγορᾶς Α΄, 270.

(2) Τὸ ἀξίωμα τοῦτο, ἀντιστοιχοῦν τῷ τοῦ νῦν ἀρχικαγκελλαρίου, ἐνομοθετήθη ὀλίγον μετὰ τὴν ἀνάκτησιν τοῦ Βυζαντίου ἀπὸ τῶν λατίνων. Πρῶτος μέγας λογοθέτης ἀναφέρεται πρὸ τοῦ 1267 ὁ ἱστοριογράφος Γεώργιος Ἀκροπολίτης (Παχυμ. Α. 283), διαδεχθεὶς ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου Ἀκροπολίτου. Μετὰ τὸν θάνατον τοῦ τελευταίου τούτου, συμβάντα περὶ τὰς ἀρχὰς τοῦ 1282, ὁ Μιχαὴλ Παλαιολόγος προήγαγεν ἀπὸ λογοθέτου τῶν γενικῶν εἰς μέγαν λογοθέτην Θεόδωρον τὸν Μουζάλωνα (Παχ. Α΄ 495, 521 Β΄, 13) Ἀγνοῶ τίς διεδέχθη τοῦτον ἀποσυρθέντα ἐν ἔτει 1292 τῆς διοικήσεως· διότι ὁ Μετοχίτης δὲν φαίνεται τετιμημένος τῷ ἀξιώματι πρὸ τοῦ 1320. Ὁ Γεώργιος Κωδινὸς ἐν τῷ περὶ Ὀφφικίων συγκεχυμένως πως ἀναφέρει, ὅτι ὁ Μετοχίτης πρῶ-

Digitized by Google

ἀνεψιὸν Ἰωάννην (1) μονογενῆ υἱὸν τοῦ Κωνσταντίνου Παλαιολόγου, γαμβρὸν ἐπὶ τῇ θυγατρὶ τοῦ Μετοχίτου Εἰρήνῃ (2) παρέσχετο.

Παραδυναστεύων τῷ Ἀνδρονίκῳ ὁ Μετοχίτης μάτην προσεπάθησε νὰ ἐξεγείρῃ τὸν ἄτολμον τοῦτον μονάρχην εἰς ἀποτελεσματικὴν ἐκστρατείαν κατὰ τῶν Τούρκων, διαφοροτρόπως παριστῶν αὐτῷ τὸν ἐπικρεμάμενον κατὰ τοῦ Βυζαντίου κίνδυνον ἀπὸ τῶν ἐν Ἀσίᾳ ἐκθρασυνθεισῶν τούτων ὀρδῶν. Δυστυχῶς ὅμως αἱ ἐπανειλημμέναι προτροπαὶ τοῦ προνοητικωτάτου λογοθέτου πρὸς οὐδὲν ἐλογίσθησαν ὑπὸ βασιλείας προτιμώσης ν' ἀγοράζῃ ἀντὶ χρημάτων τὴν πρὸς τοὺς Τούρκους εἰρήνην. Ἡ ἰδέα τοῦ ἐξ ἀνατολῆς ἐπικειμένου μεγάλου κινδύνου ἐπὶ τοσοῦτον εἶχε καταλάβει τὴν διάνοιαν αὐτοῦ, ὥστε κατηρᾶτο τὴν ὥραν καθ' ἣν γυναικὶ συνήφθη καὶ

τος ἐτιμήθη διὰ τοῦ ἀξιώματος τοῦ μεγάλου λογοθέτου, ὅπερ δὲν ἀληθεύει. Κατὰ πᾶσαν πιθανότητα τὸ ἐπὶ Θεοδώρου ὑφιστάμενον ἀξίωμα τοῦτο προήχθη ἄλλων τέως ἀνωτέρων, ὡς τοῦ τοῦ μεγάλου στρατοπεδάρχου καὶ τοῦ μεγάλου κοντοσταύλου, κατὰ τὴν ὑπὸ Κωδινοῦ (σελ. 9) καταγεγραμμένην ἱεραρχίαν· ἐκλιπόντος δὲ τούτου ὑπεβιβάσθη αὖθις ἐν τῇ προτέρᾳ θέσει, κατώτερον τοῦ ἀξιώματος τῶν μεγάλου στρατοπεδάρχου, μεγάλου πριμμικηρίου καὶ μεγάλου κοντοσταύλου, κατὰ τὴν παρὰ τῷ αὐτῷ Κωδινῷ φερομένην ἀλλοίαν βαθμολόγησιν. Ἴσως δ' ἐπὶ τοῦ Μετοχίτου κατηργήθησαν καὶ τ' ἀξιώματα τῶν ἄλλων λογοθετῶν, ἀφοῦ ὁ Κωδινὸς (σελ. 34) δὲν ἐγίνωσκε πλέον τὴν ὑπηρεσίαν τοῦ λογοθέτου τοῦ γενικοῦ, τοῦ τοῦ δρόμου, τοῦ τῶν οἰκειακῶν, τοῦ τοῦ στρατιωτικοῦ, καὶ τοῦ τῶν ἀγελῶν. Σημειωτέον δέ, ὅτι ὁ Δουκάγγιος (Glos. Graec, II, σελ. 823) ἡμαρτημένως ἀναγνοὺς τὸν Κωδινὸν τίθησι τὸν μέγαν λογοθέτην καὶ ὑπ' αὐτὸν τὸν παρακοιμώμενον τοῦ κοιτῶνος. Περὶ τοῦ νῦν ὑφισταμένου ἐκκλησιαστικοῦ ἀξιώματος τοῦ μεγάλου λογοθέτου λόγον ποιοῦμαι ἐν τοῖς περὶ Ἱέρακος ῥηθησομένοις.

(1) Περὶ τοῦ Ἰωάννου τούτου βλ. Καντακουζηνόν (I, 209).

(2) Ἡ λογία αὕτη κόρη ἐξεπαιδεύθη ὑπὸ τοῦ σοφοῦ Νικηφόρου τοῦ Γρηγορᾶ.

τέκνων ἐγένετο πατήρ, προφητικῶς κηρύττων τὴν μεγάλην ἔφοδον. Πολλαχοῦ δὲ τῶν συγγραμμάτων αὐτοῦ μετ' ἄλγους θρηνεῖ ἐπὶ τῇ προσεχεῖ καταστροφῇ τῆς μεγάλης αὐτοκρατορίας, τῆς ὁποίας τὰ ναυάγια ἐπολιτεύετο καὶ διώκει ὅπῃ ἄρα.

Ἐν τῷ δευτέρῳ Βασιλικῷ λόγῳ ἐγκωμιάζων ὑπὲρ τὸ δέον. τὸν Ἀνδρόνικον, χάριν τῆς κατὰ τῶν Τούρκων ἀτελοῦς ἐκστρατείας αὐτοῦ (1297), προσπαθεῖ νὰ ἐξερεθίσῃ τοῦτον πρὸς ἐπανάληψιν τῶν ἐχθροπραξιῶν κατὰ τῶν βαρβάρων, « οἱ δίκην οὐ νομίζουσι, πολιτείαν οὐκ ἴσασι, νόμους οὐ καθάπαξ πᾶσαν βίου παρασκευὴν καὶ συνθήκην, ἀρχῆς ἁρμονίαν καὶ σύνταξιν, θεσμοὺς φύσεως, οὐδὲν ὁτιοῦν ἀγαθόν, μᾶλλον μὲν οὖν ὄλεθρος τῆς προτέρας ἐκείνης περσικῆς ἀρχῆς ἐσβεσμένης ἤδη καὶ συμπεσούσης καὶ ἀποστάται, καὶ μὴν καὶ τῶν κοινῶν ἔτι ἀρχαίων τῆς ἀνθρωπίνης οὐσίας δογμάτων, ἃ παρήλλαξαν, καὶ τροφῶν πρὸς ἅπασι χρῆσιν, μορφαῖς μόνον ἄνθρωποι, καὶ ταύταις ἀλλόκοτοι, ὥσπερ φαῦλα νομίσματα, παραχαραττούσης τῆς κοινῆς πλάσεως, φύσιν ἔχοντες λυμαίνεσθαι καὶ δρᾶν κακῶς εἰς ἀλλήλους, εἰς τὴν ἐγγειτόνων εὐδαιμονίαν, ἀποχρῶν ὁρμητήριον τὰς ἐρημίας προτεθειμένοι, ὄρεσι δυσαντήτοις συντεθραμμένοι, καὶ θηρσὶν ὁμολογήσαντες καὶ συμπαρασκαίροντες φάραγξι καὶ ῥήγμασι καὶ οὐκ οἶδ' οἷς τισιν ἔτι βαράθροις πιστεύοντες συσκιαζόμενοι καὶ τὸν ἅπαντα βίον ἐλλοχοῦντες, οὐδὲν ἡλίῳ θαρροῦντες, οὐδὲν ἑαυτοῖς » (1).

Ἐν δὲ τοῖς Ὑπομνηματισμοῖς θρηνῶν ἐπὶ τῇ τῶν Ρωμαϊκῶν πραγμάτων ἐλαττώσει καὶ μεταβολῇ τῆς μεγάλης ἐκείνης εὐδαιμονίας, χαράττει καὶ ταῦτα.

« Οὔτε λέγειν ἱκανῶς ἔχοι τις ἄν, καὶ θρήνους ἄρα συντιθέναι περὶ τῶν Ρωμαϊκῶν αὐτῶν πραγμάτων, ὅσ' ἤδη κακῶς

(1) Κῶδηξ Βιέννης φύλ. 154.

πέπραχε, καὶ πάνυ τοι δυστυχῶς ἔσχεν, οὔτε σιωπᾷν ἔξεστιν, ὅτῳ καὶ μετρίως οἷόν τέ ἐστιν αἰσθάνεσθαι καὶ προσκλάειν ὅπως ἄρα· ὦ τῆς προτέρας ἐκείνης τῶν ἀγαθῶν φορᾶς, καὶ τοῦ μεγίστου κράτους ἐκείνου καὶ κλέους ἐπὶ πάσης οἰκουμένης, καὶ πάντων, ὡς εἰπεῖν, ἀνθρώπων, καὶ κλέους ἀμέλει περὶ πάντων πραγμάτων, καὶ πάσης ἀρετῆς τε καὶ εὐδαιμονίας, σοφίας, ἀνδρίας, μεγαλοφυΐας, εὐαρμοστίας πάσῃ τῶν καλῶν μοίρᾳ, πολιτικῆς πάσης χάριτος, καθόλου πάσης εὐγενοῦς ἕξεως, καὶ νομίμων ἀνθρωπίνων, καὶ κόσμων πάντων μεγάλοις πρεπόντων ἀνθρώποις, καὶ πράγμασιν εὐετηρίας· οἴχεται τὰ πλεῖστα, προδήλως οἴχεται, καὶ κατ' ὀλίγον ἐκ μακροῦ φθίνοντα, καὶ τῆς οὐσίας καὶ τῆς ἀκμῆς μᾶλλον ὑπορρέοντα νόμοις, ὡς ἔοικε, φύσεως ἐπὶ πάντων οὕτως ἰούσης, κεχώρηκεν οὕτω δὴ πονήρως, ἢ κεχώρηκε, καὶ δεδίττεται πλεῖν ἔτι περὶ τοῦ μέλλοντος, ὅστις ἐπαΐειν οἷός τέ ἐστι, καὶ ὁτιοῦν συνορᾷν. Ἄμεινον μὲν τ' ἂν εἴη μὴ ξυνορᾷν ἴσως, ὁτῳοῦν πρὸς τὸ βιοῦν ἀναλγήτως, ἐπειδὴ βιοῦν οὕτως ἐκληρώθημεν ἐκ διαδοχῆς τῶν ἄνω βελτίστων ἡμεῖς· ἄμεινον μὲν τ' ἄν, ὅστις ἔτι μὴ τῶν φθασάντων ἐξ ἱστοριῶν ἔστιν ἐν μνήμῃ, καὶ ζῇ τὰ παρόντα πατρικῆς ἐκείνης πάλαι τῶν χρόνων, καὶ διὰ πολλῶν τῶν χρόνων εὐπραγίας, καὶ δόξης ἀμαθῶς τοσαύτης. Τίς δ' ἂν ἀμαθὴς εἴη τοσούτου πράγματος; τίς δ' οὕτως ἀναίσθητος ἐκ τῶν παλαιῶν λειψάνων, ἃ χρόνος ἀεὶ θησαυρίζει, καὶ τῆς ἐθίμου μέχρι νῦν ἀγωγῆς καὶ καταστάσεως μὴ συλλογίζεσθαι τὰ φθάσαντα μέγιστα τῆς τύχης καὶ τῆς ἀρετῆς, καὶ παντοίας εὐεξίας μέγιστα; Βρεττανικαὶ νῆσοι πρὸς ἑσπέραν, καὶ ὑπὲρ Εὐφράτην τὴν πρὸς ἕω, καὶ ὑπὲρ Ἴστρον καὶ Γερμανοὺς καὶ Κελτίβηρας, καὶ Τάναϊς, καὶ Καύκασος, καὶ Κασπία θάλασσα πρὸς βορρᾶν, καὶ πρὸς νότον ὑπὲρ Αἰθίοπας εἴσω, καὶ τὴν Ἀῤῥάβων εὐδαιμονίαν, καὶ κατὰ Λιβύην ὅσον οἰκούμενον, τὰ Ῥωμαίων ὡρίζοντο μέτρα καὶ μήκη, καὶ θάλασσα πᾶσα, καὶ ὅση κατὰ θάλασσαν ἐν

νήσοις οἴκησις ἐν μέσῳ τῆς καθ' ἡμᾶς ταύτης ἡγεμονίας, ὅσα καὶ ποταμῶν ῥοαὶ τινὲς ἐν μέσῳ χώρας ἡστινοσοῦν, καὶ ἃ πόνοι πολλοὶ κατεκτήσαντο, στάσεις ἐκεῖθεν, καὶ φθόνοι καὶ βλακεῖαι, καὶ τρυφῆς ἀσχολία πᾶσα πρὸς φθορὰν ἦγον κατ' ὀλίγον ἑξῆς, μᾶλλον δὲ καὶ κατὰ πλεῖστα διέτεμον ἐπ' ὀλέθρῳ τῆς ὅλης συνεχείας καὶ τοῦ μεγέθους τῆς ἀρχῆς, μέχρις οὗ κατέστη τὰ τῆς ἀρχῆς τῆς πολυμήκους ταύτης, καὶ τίς ἂν ἔξω δακρύων φαίη; κατέστη δ' οὖν καὶ καθ' ἕω καὶ πρὸς δυσμὰς, ὅσον ἔγνωμεν, βραχύ τε καὶ πολύνοσον, καὶ ῥᾷστ' ἐκκείμενον εἰς πᾶσαν ἐπήρειαν τῆς ἐγγειτόνων βασκανίας καὶ βδελλυρίας, καὶ ὧν οὐδεὶς πρότερον λόγος ἦν. Ἀλλ' ἔδει γε πάντως αὐτοὺς ἀγαπᾶν, εἰ μὴ κακῶς πάσχοιεν, καὶ δέος αὐτοὺς πάσης ἐπιχειρήσεως ἀπεῖργεν, εἰ δὲ μὴ, κακῶς ἀπήλλαττον ἀξιοῦντες ὁπηοῦν πειρᾶσθαι. Ἀλλ' οἱ πρότερον εὐπεριφρόνητοι καθάπαξ, καὶ οὐδὲν ἀλλ' ἢ συγχωρούντων ὑπὸ φιλανθρωπίας Ῥωμαίων βιοῦντες, θρασεῖς, καὶ μάλ' ἔντονοι, καὶ κρατοῦντες καθ' ἡμῶν τε καὶ τῆς ἡμῶν ἐκλύσεως καὶ ὑγρᾶς βιοτῆς, καὶ βλακώδους, καὶ μάλιστ' ἀτημελήτου τῶν προσηκόντων, καὶ τῆς ἑκάστοτ' ἀναλγησίας πρὸς τὰ προεμπίπτοντα τοῖς κινδύνοις. Ὦ τῆς τοσαύτης ὀλιγωρίας, καὶ τοῦ πρὸς ὥραν ἀπατῶντος πρὸς ἄνεσιν κέρδους· ὢ τῆς τοσαύτης βραδυτῆτος· ἣ πάντας ἐπιτρέχειν εὖ μάλα καθ' ἡμῶν ἦρε, πρὸς οὐδὲν ἰσχυρῶς ἀντιπράττον ἅπαντας εὐθαρσεῖς καὶ ἀλλήλοις τὸ καθ' ἡμῶν πρόθυμον παραθήγοντας καὶ ἀνιστάντας εἰς τὰ παραπλήσια σὺν ἔριδι καὶ ζήλῳ ἐπὶ τὰ πρόδηλα κέρδη, καὶ τὴν ῥᾷστ' εὔωνον καὶ μηδενὶ ξὺν πόνῳ καθ' ἡμῶν εὐετηρίαν, καὶ οὐ Μυσῶν λείαν, ὡς ἡ παροιμία, ἀλλὰ τὸ δρυὸς πεσούσης ἀκαμάτως, καὶ τοῦτο κατὰ τὴν παροιμίαν, ξυλίζεσθαι. Τοιγαροῦν μικρὰ τὰ λειφθέντα μέρη τῆς πάντοθεν κακουργίας ἡμῖν· καὶ γεγόναμεν ἐν στενῷ κομιδῇ τῆς τύχης καὶ τῶν πραγμάτων, καὶ τῆς πολυμήκους ἐκείνης ἀρχῆς κύκλῳ πάντοθεν, ἐν στενοτάτῳ μάλιστα, τῷ παλαιῷ κλέει μόνῳ μέγα φρονεῖν ἀξιοῦντες.

« Καὶ ὅσην ἀντὶ τῆς προτέρας εὐκλείας διὰ πάντων αἰσχύνην ἠλλαξάμεθα, καὶ ταπεινῶς ὡς μάλιστα πράττομεν, καὶ οὐκ ἀσεβέσι μόνον ἐπ᾽ ὀνείδει καὶ γέλωτι καὶ τοῖς πολεμίοις τῆς πίστεως, ἀλλὰ καὶ ὅσοι κοινωνοῦσιν ἡμῖν τῆς περὶ τοῦ σωτῆρος Χριστοῦ θεοσεβείας, καὶ τῶν τῆς ἀληθοῦς δόξης νομίμων τε καὶ δογμάτων, οἳ τοῖς προτέροις χρόνοις φιλοτιμίας τι μέρος ἑαυτοῖς εἶχον, καὶ τὸ πάντων τῶν κατ᾽ αὐτοὺς μέγιστον ἐν κοινῷ μεθ᾽ ἡμῶν τετάχθαι τῆς πίστεως, καὶ πάντων ἄλλων καλῶν, καὶ παρ᾽ ἡμῶν ἀναδιδαχθῆναι καὶ μεταμαθεῖν τὰ θεσπέσια, καὶ ἄλλην δὴ πᾶσαν εὐαγῆ κατάστασιν, καὶ πολιτείας εὐγένειαν, καὶ σύνεσιν πρακτέων, καὶ βίου χρῆσιν, καὶ εἰρηνικὴν εὐαρμοστίαν, καὶ πολέμια ἔργα καὶ μάχης ὁπλισμοὺς κατὰ πᾶν τὸ γιγνόμενον εἰς πᾶσαν τὴν χρείαν.....

« Ἐμὲ δὲ λυπεῖ μὲν καθόλου μάλιστα τὰ φθάσαντά γε καὶ ἐξ ἱστοριῶν καὶ μνήμης χαλεπά, καὶ δυσπραγήματα τοῦ γένους καὶ τῆς ῥωμαϊκῆς ἐκείνης ἀκμῆς τῶν ἀγαθῶν ἐπὶ τῆς καθ᾽ ἡμᾶς ταύτης ἡγεμονίας· λυπεῖ δὲ τὰ κατ᾽ ὄψιν ἐπισυμβάντα, καὶ τὰ χθὲς α πρὸ τρίτης τῶν καθ᾽ ἕω πραγμάτων, μᾶλλον δὲ τῶν λειψάνων ὁπόσων δή τινων οὐκ ἔστι ῥᾷστα φρεῖν ἐκ τῶν ἄρα τόσων καὶ πόσων μεγάλων ἐκείνων πραγμάτων καὶ τῆς παμμήκους τύχης ἐπιπεσόντα δυσχερῆ καὶ τελευτῶντα ναυάγια· ὥσπερ δὴ μάλιστ᾽ ἀνθρώπους πέφυκεν ἀνιᾶν φιλτάτων ἐν ταῖς αὐτῶν χερσὶ καὶ ὁρώμενοι θάνατοι, ἢ πόρρω γε ὄντων, καὶ ἴσως γε φθάσαντες τῷ χρόνῳ μεθ᾽ ὕστερον ἀκουόμενοι· ἡ γὰρ ἔγγισθ᾽ οὕτω δὴ πεῖρα καὶ συνδιαγωγή, καὶ τὰ συνήθη πλεῖστον ἀμέλει χρόνον, καὶ ἥδιστ᾽ ἐντεῦθεν, καὶ πολυπόθητα πρὸς χρῆσιν καὶ κοινωνίαν, καί, ὡς ἔπος εἰπεῖν, συμβιώσαντα. Ὦ πῶς καὶ μεμνημένος καὶ λέγων φέρω· ὦ πῶς ἄρα νῦν ἐκλιπόντα μέσην πλήττει μου τὴν καρδίαν, καὶ καταδαπανᾷ καὶ καταβαπτίζει βυθοῖς ἀθυμίας τοὺς λογισμούς· ὦ φίλταται διατριβαί, φίλτατα θεάματα χρόνῳ κατ᾽ ἔθος, καὶ πείρᾳ

κατὰ φύσιν βέλτιστ' ἔχοντα, καὶ ὧν οὐκ ἔστιν ὡς ἀληθῶς ἄρα βελτίω προσορᾷν, ἢ χρῆσθαι, ἢ παραπλησίως καί πως ἔγγιστ' ἔτι πᾶσαν εὐγένειαν καὶ χάριν· ὦ κάλλιστ' ἐν Ἰωνίᾳ, κάλλιστ' ἐν Λυδίᾳ, κάλλιστ' ἐν Αἰολίδι, καὶ περὶ Φρυγίαν, καὶ καθ' Ἑλλήσποντον, οἷς ἐκ νέας ἔθ' ἡλικίας ἔγωγε μάλιστ' οἰκειώσας ἐμαυτὸν καὶ παντὶ τρόπῳ συμβιώσας ἥδιστα, νῦν ἐξόριστος θρηνῳδὸς ἐλείφθην, καὶ οἰμωγῶν καὶ δακρύων ἐκ μακροῦ ἐπισπένδων, ὡς εἰπεῖν, κατατύμβια καλλιερήματα· ὦ πολυέραστοί μοι πεδιάδες καὶ ὄρη καὶ νάπαι καὶ ποτάμια ῥεύματα, καὶ ἄλση, καὶ λειμῶνες, καὶ πάσης γλυκυθυμίας ἀφορμαὶ τοῖς συνοῦσι, τοῖς ἐποπτεύουσι, τοῖς ὁπηοῦν χρωμένοις, ὡς ἄρ' ἔγωγ' ἄθλιος ἐπὶ πλεῖστον ὑμῖν τρίψας, καὶ πλεῖστον ὑμῖν ταῖς ἐθίμοις ἐπιδημίαις καὶ ἀγωγαῖς ἐνηδυνθεὶς, πᾶσαν ἐρραστωνευμένην καὶ ἐπιεικῶς εὐσύμβλητον διάθεσιν τῇ ψυχῇ δημιουργούσαις, πλεῖστον δὴ καὶ ἀλγεῖν νῦν ἔχω, καὶ μεμνημένος αὐτίκα λύομαι τὴν καρδίαν, καὶ τοὺς λογισμοὺς αὐτοὺς λύομαι, καὶ δυσπνοῶ καὶ στενοῦμαι τὸ ζῆν, καὶ μικροῦ κινδυνεύω μὴ μένειν αὐτόθεν ἐμαυτοῦ . . . . Ὦ τῆς ἐρημίας ταύτης· ὦ τῆς ζημίας· καὶ ζῶμεν γὰρ ἐν ὀλίγοις κομιδῇ τοῖς λειψάνοις καὶ μέλεσι τῆς ζωῆς καὶ τοῦ σώματος οὕτω μεγίστου τε καὶ καλλίστου τῆς ἀρχῆς· ὥσπερ οἱ τὰ πλεῖστα καὶ καιριώτατα μᾶλλον ἀποκεκομμένοι, καὶ ξὺν αἰσχύνῃ καὶ γέλωτι βιοῦντες ἔτι, καὶ παντάπασιν ἀνικάνως ἔχοντες πρὸς τὰς τοῦ εἶναι καὶ ζῆν ἀφορμὰς, καὶ βραχείας τινὸς προσβολῆς καὶ ἐπηρείας παρανάλωμα ῥᾷστ' εὐεπιχειρήτως λειφθέντες, οἱ πάντα, οἴμοι, πρότερον κάλλιστα πᾶσαν ὥραν καὶ κράτιστα πᾶσαν εὐτονίαν ἔχοντες, καὶ ὥσπερ ἐν κοινῷ θεάτρῳ τῷ παντὶ κόσμῳ πάντως ἡμεῖς τῶν ἄλλων ἐπίσημοι καὶ περιβλεπόμενοι πάντοθεν, καὶ πάντα θαυμαζόμενοι. Καὶ τοσούτῳ νῦν αἴσχιστα καὶ ἀτίμως πράττοντες, ὅσῳ καὶ μάλιστα προδείκνυσιν ἡμᾶς ἅπασιν ὁ τόπος, ἐφ' οὗ καὶ τὰ φθάσαντα πομπικὰ καὶ περίοπτα τῆς δόξης, ἧς ἐκπεπτώκαμεν, καὶ

τοσούτῳ μάλιστ' ἐπικινδυνότατα μένοντες ἔτι πω, ὅσῳπερ μέγιστ' ἀπεβαλόμεθα πᾶσιν εἰς τοὐμφανές. Καὶ δῆλοί γε ὄντες τέως βιοῦντες ἐπιφθόνως καὶ περιφανῶς ἐκ μακροῦ, λαθεῖν οὐκ ἔχομεν, ὡς ἄρα κάκιστα πράττομεν· οὐ γὰρ ἐν ἀφανεῖ πρότερον τὸν βίον ἕλκοντες, ὅσον δή ποτ' ἄρα, ἔπειτα ἐσβέσθημεν μικροῦ, καὶ τοῖς ἐγγειτόνων ἀγνοούμενοι, οὐδ' ὀλιγομήκη τινὰ δυναστείαν καὶ εὔκλειαν περιῃρημένοι, ζῶμεν ὅλως λανθάνειν δυνάμενοι, ἢ ζῆν γε ὅλως, ὡς ἔπος εἰπεῖν, δυνάμενοι. Ἀλλ' ἡμῖν γε ὄντως ἀναγκαῖον ζῆν ἐν μεγάλοις συνεξεταζομένοις πράγμασι, καὶ ὡς βέλτιστα πράττουσιν· ἄλλως δ' οὐκ ἔστι ζῆν· οὐδ' ἀμέλει μετρίως, ἀλλ' ὡς ἄρα καὶ δοτέον σιωπῶντας λοιπὸν τῇ προνοίᾳ τακτοῖς ὅροις τὰ πάντ' ἀγούσῃ, κἂν εἰ πᾶσιν ἡμῖν ἀδήλοις, ἀλλ' ὡς οὐκ ἂν εἴη πάντως ἄμεινον, καὶ τὸ φέρειν τὰς ἐκεῖθεν ψήφους ἀπαραίτητον ὄφλημα, καὶ ἴσως μὲν ἐπαινετῶς, ἢν εὐγνωμόνως, ἴσως δὲ μὴ κάμνοντας μάλιστα καὶ ἀνιωμένους· ὡς ἄρα καὶ ἡμεῖς ἀνεπαισθήτως βιοῦν οὐχ οἷοί τε πάντως ἐσμέν, καὶ σωφρονούντων ἂν εἴη πως ἀνθρώπων, καὶ μὴ παντάπασι δυστυχῶς ἐχόντων ἐπαΐειν ὁπηοῦν, ἐξ οἵων οἷοι γεγόναμεν, ἀλγεῖν δ' ὅμως, κομιδῇ καὶ δεδιέναι μάλιστα λοιπὸν ἔπειτα τοῖς φθάσασι τοὺς ἐσχάτους κινδύνους ἀνάγκη πᾶσα. Καὶ τοσούτῳ μάλιστ' ἄλλος ἄλλου, ὅσῳπερ ποσάκις ἐμαυτοῦ, καὶ τῶν νῦν πραγμάτων γιγνόμενος, καὶ κλέπτων ἐμαυτὸν τῆς περὶ ἐμὲ πολλάκις ἀσχολίας, πάσης ἐλπίδος αὐτόθεν ἀποχωρῶ, καὶ θανάτου μάλιστ' ἐρῶ τέως πρὶν ἢ κατιδεῖν, ἃ κατιδεῖν ἀνάγκην εἶναι πᾶσαν οἶμαι τοὺς ἐπ' ὀλίγον ἐν τοῖς ζῶσιν ἀρκέσοντας! »

Ἀλλαχοῦ δὲ τοῦ αὐτοῦ συγγράμματος (κεφ. κη'.) περίλυπος γράφει περὶ ἑαυτοῦ.

« Κἀγὼ γε ουκ ἄλλως λέγειν ἔχοιμ' ἂν ἀμηγέπη σωφρονῶν ἐνταῦθα, καὶ μὴν καὶ πεπείραμαί γ' αὐτὸς ἔγωγ' ἐπ' ἐμαυτοῦ χρησάμενος οὕτως, ἡμὲν καὶ χερείοσι τύχης, ἠδὲ καὶ ἐσθλοῖς,

καὶ οὐκ ἀκύμαντά γέ μοι καὶ κατὰ γαλήνην ἐξ ἔτι παιδὸς ὁ πλοῦς ὁ αὐτὸς τοῦ βίου, οὐδ᾽ ἐξ οὐρίου τὴν ἀρχὴν εὐθύς, ἀλλὰ πονήρως μὲν ἔσχον ἐκ προοιμίων ὅμως ἄρα, καὶ τεταλαιπώρηκα τῇ παιδείᾳ τε καὶ τῷ λόγῳ εἴκοσι γενόμενος ἔτη, καὶ πρὸς τὰ μὲν ἑκών, καὶ ὁ πόθος ἦγεν εὖ μάλα, τὰ δὲ καὶ ἄκων οὐκ ἔχων ὅ, τι καὶ χρώμην ἄλλως· καί μοι τῷ πόθῳ γίγνεται, πῶς ἂν εἴποι τις; ἕρμαιον τὰ τῆς τύχης, καὶ συνὼν τηνικαῦτα ἔγωγε λογισμοῖς πλείστοις δύσελπις περὶ τῶν κατὰ τὸν βίον, κἀντεῦθεν ὅλως ἐφερόμην, καὶ προσεῖχον εὖ μάλα τοῖς λόγοις, καὶ τῇ περὶ τούτους ἐπιμελείᾳ τὰ λυποῦντα ἐκούφιζον, εἰωθὸς οὕτω γίγνεσθαι καὶ πείθεσθαι πᾶς ἕτοιμος, ὅστις ἄρα πεπείραται, καὶ χρηστοτέρων ἐγιγνόμην ἐλπίδων ὅπως ἄρα καὶ μάλιστ᾽ ἀνύτων ὅτι δήποτε περὶ τὴν σπουδὴν ταύτην, ἧς ἄρα γεννικῶς εἰχόμην, καὶ μετ᾽ οὐ πολλοὺς τοὺς χρόνους οὐκ ἀπόνως τε καὶ ἀλύπως σταδιοδρομήσας τῷ βίῳ τε καὶ τῇ παιδείᾳ παρὰ δόκησιν ἴσως αὐτίκα μεταβάλλω τὰ τοῦ βίου δυσχερῆ, καὶ τὸ δὴ θαυμάσιον ὑπὸ τῷ αὐτῷ δεσπότῃ, καὶ μηδὲν μήποτ᾽ ἐπαλλάξας, οἷα γίγνεσθαι κατ᾽ ἀνθρώπους εἴωθεν ὑπ᾽ ἀντιπάλων ἀλλήλοις δεσποτῶν τοὺς ἀρχομένους, ὡς τὰ πολλὰ νῦν μὲν πράττειν εὖ, νῦν δὲ τοὐναντίον, ἢ καὶ ἀνάπαλιν πᾶσα ἀνάγκη ἐκ χαλεπῶν ὥντινων εἰς τὰ ἐναντία ἀγόντων πνευμάτων. Καὶ ὁρῶμέν γε οὕτω μάλιστ᾽ ἐπὶ τῶν ἀνθρωπίνων καὶ τἀναντία πάντως ἐναντίως πέφυκε δρᾶν, καὶ ἀφορμὰς εὐπλοίας διδόναι, καὶ μή. Ἀλλ᾽ ἔμοιγε κἀν τούτοις ὁ χρόνος καινουργὸς ἔτι, καὶ τοῦτο γὰρ εἴθισται τῇ φορᾷ τῶν πραγμάτων, καὶ ταῖς τῆς τύχης εἰς πάντα μετακλίσεσι. Καὶ κατὰ τὸν αὐτὸν δεσπότην ἐν προοιμίοις οὐχ ἡδέως ἀψάμενος τοῦ βίου, καὶ τρίψας οὕτω πρὸς βραχύ, καὶ κατ᾽ ὀλίγων ἐτῶν ἀριθμόν, ἔπειτα προσλαμβάνομαί γε αὐτῷ δόξας ὅ, τι ποτ᾽ ἠνυκέναι περὶ τοὺς λόγους, καὶ πλεῖν ἴσως ἢ κατὰ πολλοὺς ἔτ᾽ ἐλπίδας ἐν τούτοις ὑποτείνων, ἐξ ὧν φθάσας ἐμαυτοῦ πεῖραν δέδωκα. Καὶ τὸ μὲν πρῶτον ἦν ἐμοὶ

λόγων κλέος αἴτιον εὐμαρείας τινὸς εἰς τὸν βίον ὑπ' ἄκρας φιλοκαλίας δεσποτικῆς καὶ προθέσεως εὐγενοῦς περὶ τὴν σοφίαν καὶ τοὺς ἐραστὰς τῆς σοφίας, καὶ οὐ πολὺ λειπομένους τῶν κατ' αὐτὴν ἀγαθῶν· τὰ δ' ἑξῆς οὐκ ἔχω λέγειν ἴσως ῥᾷστα εὐλαβούμενος καὶ φεύγων, ὡς εἰκός, ἀδραστείαν, ὡς πεῖραν ἐμαυτοῦ δέδωκα περὶ τὰ κοινὰ τῷ δεσπότῃ, ὅπως ἐπεδίδου μοι τὰ τῆς ἀγαθῆς τύχης συνεχῶς ἐκεῖθεν ὁσημέραι καὶ προὐχώρει πάντα τρόπον εἰς τἄμεινον μέχρι καὶ νῦν· θεὸς δ' εἴη μοι καὶ περὶ τοῦ μέλλοντος εὐμενής τε καὶ ἵλεως· καὶ πομπεία δόξης καὶ πλούτου ῥοαὶ πάντοθεν, καὶ κοινωνία γένους τῷ δεσπότῃ περὶ τἀμὰ φίλτατα, καὶ κήδη σεμνὰ καὶ πλεῖστα, καὶ κοινωνία μάλιστα περὶ τὰ πρακτέα, καὶ ὅλως ἐν ἀγαθοῖς τε καὶ δυσχερέσι, καὶ κατ' ἄμφω γὰρ συνῆν καὶ συνελάγχανον τῶν ἀπὸ τῆς τύχης καὶ τῶν πραγμάτων πᾶσα ἀνάγκη. Καί μοι ἔδωκεν ὁ θεὸς ἀπολαῦσαι φιλανθρώπου καὶ φιλοκάλου δεσπότου, καὶ δόξαι κοινὰ πρὸς αὐτὸν ἔχειν κατά τε γνώμην καὶ βίου πρόθεσιν, καὶ ἀεὶ πεῖραν διδοὺς ἀεὶ πλεῖον εἶχον εἰς δεῦρο, καὶ ἀπεφερόμην ἐκ βελτίστων βελτίω. Τοιγαροῦν ἐπὶ τῶν κοινῶν ὑπ' αὐτοῦ προβληθείς, εἰ δή τις καὶ ἄλλος ὑπ' ἄλλου δεσπότου ποτέ, καὶ λεγόντων ἄλλοι καὶ λέγουσιν ἴσως καὶ λέξουσι, κἀμοὶ φείδεσθαί γε πάντως εὔλογον, καὶ μάλιστα περὶ τῶν οὑτωσὶ δήλων. Οὕτω δ' οὖν ἔχων ἀνάγκην πᾶσαν εἶχον εὖ τε πράττοντος τοῦ δεσπότου κοινῶς καὶ αὐτὸς πράττειν εὖ, καὶ δυσχερείᾳ πραγμάτων χρωμένου καὶ αὐτὸς ἀηδῶς ἔχειν, καὶ βιοῦν ἐν κινδύνῳ. Καὶ ξυμβέβηκε γὰρ τὰ Ῥωμαίων πράγματα κομιδῇ νοσῆσαι καὶ δυσχερέσι τύχαις πάντοθεν τῶν ἐκ γειτόνων ἐχθρῶν, καὶ πόρρω γε μὴν καὶ οἴκοι φαύλων καὶ ἀλιτηρίων ἀνθρώπων ἐν κλύδωσι μεγάλοις γενέσθαι, τοῖς νέοις τούτοις καθ' ἡμᾶς χρόνοις, καὶ πολλοῖς συνεχῶς ἑξῆς χρόνοις ἐκ διαδοχῆς ἄλλων ἐπ' ἄλλοις ἐπανισταμένων κυμάτων καὶ χαλεπῶν ξυμφορῶν, ὥστε καὶ μικροῦ πρὸς τοῖς ἐσχάτοις γενέσθαι δίς που

καὶ τρίς, ἢ καὶ πλεῖν ἔτι, καὶ προδηλότατα ἀπογνώσεως ἀμέλει τελείας ἔγγιστα γενέσθαι τὴν ἡγεμονίαν ταύτην, πρώτην τῶν ἐν οἰκουμένῃ καὶ πᾶσιν ἀνθρώποις, καὶ πολὺ τὸ διὰ πάντων εὐγενὲς ἔχουσαν, καὶ πᾶσι πράγμασι κρατοῦσαν, καὶ ἀρχαιότητι σεμνὴν ἐκ μακροῦ, εἰ μὴ χεὶρ θεοῦ διέσχεν ὡς ἀληθῶς ἐν τοῖς ἐσχάτοις πολλάκις ἐκ τῶν ἐμφανεστάτων κινδύνων καὶ τελευταῖον αὐτήν τε ῥυσαμένη καὶ τὸν ἐπ' αὐτῆς ἄρχοντα τοῦτον ἐμὸν δεσπότην, οὐκ οἶδ' ὡς εἴ ποτε καὶ ἄλλοτέ τις ἄλλος πρὸς θεὸν ὅλον ἑαυτὸν καὶ τὰ κατὰ τὴν ἀρχὴν ἀναθέμενον, καὶ πάντα ἐν πᾶσιν ἐκεῖθεν ἐξηρτημένον, καὶ θεοσεβείᾳ καὶ χρηστοῖς τρόποις χαίροντα, καὶ σοφῇ καὶ γαληνῇ διοικήσει πᾶν τὸ γιγνόμενον ἐπιμελῶς ἀποδιδόντα, καὶ τὴν ἡγεμονίαν ἄγονθ' οὕτω τῇ τοσαύτῃ τῶν δυσχερῶν ξυντυχίᾳ πολλ' ἑξῆς ἔτη συνεχῶς μὴ κατασεισθέντα καθάπαξ ταῖς προσβολαῖς καὶ πολιορκίαις τῆς τύχης, ἔξωθέν τε, ὡς ἔφην, καὶ τῶν οἴκοι μάλιστα. Ἀλλ', ὅπερ ἔλεγον, κἀμοί γε πᾶσα ἀνάγκη συγκινδυνεύειν ἐν τούτοις ἦν, καὶ τάχιστα προσδοκᾶν κατ' ἐμαυτοῦ καὶ τῶν φιλτάτων, καὶ πολλάκις ἔγωγ' ἐμαυτῷ ξύνοιδα τῶν τελευταίων ἐν χρῷ γενέσθαι κινδύνων ἐντεῦθεν, ἢ πῶς γὰρ οὔ; τῇ τε τῶν κοινῶν ἐπιστασίᾳ καὶ γνώμης πάσῃ προθέσει, τῆς ἀντιπνοίας τῶν πραγμάτων τῷ δεσπότῃ συμμετέχων, καὶ ὅλος ὑπ' αὐτῶν ἐχόμενος, καὶ ὅλος αὐτὸς οἴκοθεν αἱρούμενος ἑκών γε εἶναι, καὶ λίαν ἐσκευασμένος οὕτω, καὶ ἀποδιδοὺς πάντα δίκαια ὀφλήματα τῇ τοσαύτῃ περὶ ἐμὲ δεσποτικῇ πίστει, καὶ οὐδὲν ἧττον ἔμοιγ' αὐτῷ καὶ τῇ ἐμῇ τὸ ἐξ ἀρχῆς τοῦ βίου προθέσει. Καὶ τοίνυν ἐπὶ τοσαύτης ἄρα τῆς τῶν πραγμάτων κινδυνώδους καὶ χαλεπῆς ἐπιφορᾶς καὶ δυσχρηστίας τὰ κοινὰ πολιτευόμενος καὶ τὰ ἴδια ἔγωγε πᾶσα ἀνάγκη συνέπασχον καὶ ξυνεφερόμην δύσελπις καὶ κακοῖς λογισμοῖς ἀγχόμενος, ὡς ἄρα τὸν περὶ ψυχῆς τρέχων, οὐ μᾶλλον ἐπὶ τῶν ἰδίων ἐμαυτοῦ κατὰ τὸν βίον, ἢ τῶν κοινῶν αὐτῶν, ἃ συνδιαφέρειν ἠξιούμην. Καί μοι κομιδῇ

πάντων ἀνιαρώτατον ἐμφαίνετο ξυντυχεῖν οὕτω τοῖς χαλεπωτάτοις τῶν ἐκ μακροῦ χρόνου πραγμάτων, καὶ τὰ ναυάγια τῆς Ῥωμαίων ἡγεμονίας καιρὸν ἔχειν αὐτὸς πολιτεύεσθαι καὶ διοικεῖν ὅπῃ ἄρα· καὶ πολλάκις ἀπηυχόμην ἐμαυτοῦ τοῖς λογισμοῖς ἀπορούμενος, καὶ πάσης ἐκπίπτων ἐλπίδος χρηστῆς, μὴ ξυλλαχεῖν μοι τὸν φαινόμενον τόνδε μακαρισμόν, καὶ τὸ περίοπτον τῆς τύχης, ὡς βέλτιον ἔμοιγε μάλιστ' ὂν κατ' ἄλλους ἴσους τοὺς καιροὺς ἐν ὀλίγῳ πνεύματι τῆς τύχης ἀκύμαντα καὶ γαληνῶς διαπλεῦσαι τὸ δεδομένον μοι τῆς ζωῆς ὁπόσον δή, ἤδ' ἐμφανοῦς οὕτω καὶ μακαρίας καὶ πολυζήλου τόγε δοκεῖν καὶ πολὺ μάλιστ' ἐπιφθόνου τῆς βιώσεως ἐν τοῖς ἐσχάτοις ἑκάστοτε παραβάλλεσθαι κινδύνοις, καὶ τοσούτῳ πλέον ἢ κατὰ πολλοὺς ἄλλους, ὅσῳ καὶ πλέον ἀπολαύειν εἶχον τῆς τύχης, ἢ κατ' αὐτούς. Καὶ ἡ λειτουργία τῆς ἐπιστασίας πλεῖστον πρὸς τοῖς ἰδί' ἐμοὶ διαφέρουσιν ἡνία, καὶ δικαίως ἴσως οἷς γὰρ εὖ ἔχουσιν ἠξίουν αὐτὸς εὖ μάλα χρῆσθαι τῶν ἄλλων προέχων, τούτοις καὶ φερόμενος ἐπικινδυνότατα βαρυδαίμονα μάλιστ' ἐμαυτὸν ᾤμην, καὶ πλεῖν ἢ κατὰ πολλοὺς ἄλλους ἐμοὶ τῶν δεινῶν ἐνόμιζον μετεῖναι· ὢ ποσάκις ἄλλους τῶν συμβιούντων καὶ συμπολιτευομένων, καὶ θαυμαζόντων, καὶ μακαριζόντων τἀμὰ βέλτιον ἢ κατ' ἐμὲ ξυνεώρων ἐν τούτοις δὴ τοῖς καιροῖς καὶ τοῖς πράγμασι καὶ ἀλυπώτερον τὸν βίον ἕλκοντας· ὢ ποσάκις τοῦθ' ὁ λογισμὸς ἐπέστρεφεν, ὡς ἄρ' ἄμεινον ἂν εἶχον, εἰ γέ μοι κατὰ τὸν πάλαι λόγον οὐ προσῆν οὔτ' ὄγκος, οὔτε πράγματα, καὶ κατὰ τῆς εἰς προὖπτον εὐετηρίας μοι τοῦ βίου, καὶ τῆς ζηλουμένης τύχης εἰς νοῦν ἐλάμβανον αὐτόθεν ἐπὶ τοῖς πράγμασιν. Ὃ πρότερον εἴρηται, ὡς οὐκ ἔστιν ὅλως βίον ἄλυπον εὑρεῖν ἐν οὐδενί, καὶ μάρτυρα παρειχόμην τῷ λόγῳ πρὸς τοῖς ἄλλοις αὐτὸν ἐμαυτόν, καὶ εἴθε μέχρι τοσούτου εἰς τὸ νῦν γε εἶναι, καὶ περὶ τοῦ μέλλοντος, ὅσον ἄρ' ἐμοὶ καὶ ὁτιοῦν, θεὸς εὐμενὴς εἴη μοι τῷ βίῳ, καὶ καθόλου τοῖς Ῥωμαίων μάλιστα πράγμασιν ».

Digitized by Google

Ὁ μαθητὴς αὐτοῦ Γρηγορᾶς ἀναφέρει καὶ τὸ ἑξῆς περίεργον ἐπεισόδιον καταδεικνύον, ὅτι καὶ διὰ χρησμολογιῶν καὶ ἄλλων μαγγανειῶν προσεπάθει ὁ μέγας ἐκεῖνος ἀνὴρ νὰ ἐξεγείρῃ τοῦ ληθάργου τὸν δεισιδαίμονα μονάρχην.

«Ὁ μέντοι λογοθέτης τοῦ γενικοῦ ἄρτι τοῦ νεουργεῖν ἐπέπαυτο τὴν τῆς Χώρας μονήν, ὁπόσος ὁ ἔνδον ἐτύγχανε κόσμος, ὅθεν ἐφιλοτιμεῖτο συνδιανυκτερεύειν ἐν ταῖς παννυχίσιν ἔσθ' ὅτε μετὰ τῶν μοναχῶν· ἐπεὶ οὖν ἧκε τὸ τῆς πρώτης ἑβδομάδος τῆς τεσσαρακοστῆς σάββατον, ὁπότε δὴ καὶ ἔμελλε τῇ ὑστεραίᾳ κηρύττεσθαι δημοσίᾳ τῶν ὀρθοδόξων ἡ μνήμη βασιλέων ὁμοῦ καὶ πατριαρχῶν, ἐληλύθει καὶ οὗτος συνήθως εἰς τὴν ἐξ ἑσπέρας ἐκείνην παννυχίδα· περὶ δὲ μέσας νύκτας ἅμα αὐτῷ συνισταμένων ἡμῶν καὶ τῆς δοξολογίας ἀκουόντων ἧκει τις ἐκ βασιλέως, καινοτέραν τινὰ κομίζων αὐτῷ ἀγγελίαν καὶ ζητῶν τῆς τοῦ αὐτοῦ γνώμης κρίσιν· » ἄρτι γάρ, φησί, τῶν περὶ τὸν βασιλέα πελεκυφόρων καὶ στρατιωτῶν καὶ ξιφηφόρων καταδαρθάνειν μελλόντων, ἐξηνέχθη χρεμετισμὸς πάντα περιηχῶν τὰ βασίλεια, ὡς ἐκπλαγῆναι πάντας τοὺς ἐν τοῖς βασιλείοις· ἀωρίας γὰρ οὔσης πολλῆς καὶ μὴ παρόντος τῶν ἵππων τινός, οὔτε τῶν βασιλικῶν, οὔτε τῶν συγκλητικῶν, οὔτε ἐντὸς βασιλείων, οὔτε τῶν πυλῶν, θόρυβον τὸ τοῦ πράγματος παράδοξον ἐνεποίησε ταῖς τῶν ἀκουσάντων ψυχαῖς καὶ ἀλλήλων ἅπαντες ἐπυνθάνοντο· οὔπω δὲ τοῦ θορύβου πεπαυμένου, καὶ δεύτερος ἐξηνέχθη χρεμετισμὸς μείζων τοῦ πρώτου, ὡς καὶ αὐτὸν αὐτήκοον τῆς ἠχοῦς γενέσθαι τὸν βασιλέα καὶ πέμψαντα ἔρεσθαι, εἴ τις εἰδείη, ὅθεν ὁ χρεμετισμὸς οὗτος ἐν ἀωρίᾳ τοσαύτῃ· ἀλλ' ἀκήκοε πλέον οὐδέν, ἢ ὅτι παρὰ τοῦ ἵππου τοῦ γεγραμμένου περὶ ἕνα τῶν βασιλείων τοίχων πρὸ τοῦ εὐκτηρίου τῆς Νικοποιοῦ θεοτόκου· ἵππον δὴ λέγω τοῦτον, ᾧ ἐποχεῖσθαι κάλλιστα τὸν τοῦ Χριστοῦ μάρτυρα εἴργασται πάλαι Παῦλος ἐκεῖνος ὁ τῶν ζωγράφων ἄριστος »· πρὸς ταῦτα ὁ λογοθέτης

χαριεντισάμενος, ὡς εἰώθει πρὸς τὰς τοῦ βασιλέως ἐρωτήσεις, « συγχαίρω σοι, ἔφησεν, ὦ βασιλεῦ, τῶν μελλόντων ἕνεκα τροπαίων· οὐδὲν γὰρ ἕτερον οἶμαι σημαίνειν, φησί, τὸν παράδοξον τοῦτον τοῦ ἵππου χρεμετισμόν, ἢ σὴν βασιλικὴν ἐκστρατείαν κατὰ τῶν τὴν ἡμετέραν Ἀσίαν λεηλατούντων Ἀγαρηνῶν ». Ταῦτα ὁ βασιλεὺς ἀκηκοὼς μειρακίσκον ἕτερον πρὸς αὐτὸν ἐπιπόμφει· « σὺ μὲν λέγων, εἴτ' ἐμοὶ τὰ τῆς θυμηδίας ὡς ἔθος λέγων, εἴτ' οὐκ οἶδ' ὅπως ταῦτ' ἀποκρίνῃ, ἔοικας ἀγνοοῦντι· ἐγὼ δέ σοι τἀληθῆ μοι δοκοῦντα καταλέξω· ὡς γὰρ ἡμῖν οἱ ἡμέτεροι πατέρες παρέδοσαν καὶ ἄλλοτέ ποθ' ὁ ἵππος οὗτος τὸν ὅμοιον ἐχρεμέτισε τρόπον, ὁπότε Βαλδουῖνος ὁ τῶν Λατίνων ἄρχων ὑπὸ τοῦ ἐμοῦ πατρὸς καὶ βασιλέως ἔμελλεν ἀφαιρεῖσθαι τὴν μεγαλόπολιν ταύτην· πρὸς γὰρ τὸ παράδοξον τῆς ἀκοῆς συχνόν τινα χρόνον κἀκεῖνος ἐθορυβεῖτο, κακὸν οἰωνὸν ἑαυτῷ λογιζόμενος τοῦτο· ἔπειτ' ἐν οὐ μακρῷ τῷ χρόνῳ τὸ πέρας εἶδε τὸν οἰωνὸν κατὰ τῆς αὐτοῦ κεφαλῆς ἐκτοξεύσαντα, ὅτε πορθουμένην τὴν μεγαλόπολιν ἑώρακε ταύτην ὑπὸ Ρωμαίων ». Ὁ δὲ λογοθέτης οὐδὲν ἔχων πρὸς ταῦτα ἀποκρίνασθαι, « ἄπιθι, ἔφη πρὸς τὸν ἄνθρωπον, ἔν γε τῷ παρόντι· ἐγὼ δ' ἐς τὴν ὑστεραίαν τὰς ἐμαυτοῦ κομίσω τῷ βασιλεῖ ἀποκρίσεις ». Ἀλλὰ καὶ ὁ περὶ τὴν ἑῴαν ἀκρόπολιν ἱστάμενος κίων, ἐν ᾧ λόγος τὸν τοῦ Βύζαντος πάλαι σταθῆναι τοῦ κτίσαντος τὸ Βυζάντιον ἀνδριάντα, πρὸ πολλῶν καὶ αὐτὸς ἤρξατο σείεσθαι ἡμερῶν καὶ ἐπὶ πολλαῖς δ' ἐμφανῶς ἐσείετο ταῖς ἡμέραις, πάντων συντρεχόντων καὶ θεωμένων. Ἐπεὶ δ' ἐς τὴν ὑστεραίαν ὁ μέγας ἀφίκετο λογοθέτης πρὸς τὸν βασιλέα, ἅττα μὲν αὐτοὶ κατὰ μόνας ἐκοινολογήσαντο πρὸς ἀλλήλους τότε μὲν οὐδεὶς ἔγνω τῶν πάντων· ἐκ σημείων μέντοι τινῶν στοχάζεσθαι ἡμῖν ἐξεγένετο ὕστερον, ὡς βιβλία τινὰ χρησμολογικὰ ἐθεάσαντο, ἐν οἷς τινα τῶν μελλόντων ἀσαφῶς τε καὶ αἰνιγματωδῶς παρ' ὅτων δήποτε ἐξετέθησαν· καὶ ἐπὶ τούτοις θεμάτιον ἐξέθεντο, δι' ὃ τῶν ἀστέ-

ρων τοὺς δρόμους ἐρευνῶσιν ἄνθρωποι καὶ μελλόντων κερδαίνουσι πρόγνωσιν· ἐξ ὧν ἐχθρικήν τινα ἔφοδον ἐτεκμήραντο καὶ τῶν κοινῶν πραγμάτων κυκεῶνα καὶ ὁποιονδή τινα τῆς βασιλικῆς ἡγεμονίας κίνδυνον· οὐ γὰρ συνῆκαν, ὡς ὁ βασιλεὺς ὁ νέος Ἀνδρόνικός ἐστιν ὁ ταῦτα ποιήσων, τοῦ θεοῦ τὰ τοιαῦτα τρόποις ἀρρήτοις συγκρύπτοντος· ὅθεν πολὺν ἐκαρπώσαντο φόβον καὶ θόρυβον λογισμῶν· ὁ γὰρ λογοθέτης μεστὸς ἐννοιῶν ἐκ τῶν βασιλείων οἴκαδε ἐλθὼν ἐκάθητο ἐπιπολὺ σιωπῶν καὶ μηδ' ὅλως μηδὲν πρὸς οὐδένα φθεγγόμενος· ἀλλὰ στρέφων λογισμοὺς ἀεὶ περὶ τὸν νοῦν συχνοὺς καὶ τῶν μελλόντων πλήρεις, κωφῷ τε καὶ μηδὲν αἰσθανομένῳ τῶν παρόντων ἀτεχνῶς ἐῴκει· καὶ ταῦτα τῆς συζύγου μετὰ τῆς θυγατρὸς πανυπερσεβάστης καὶ τῶν υἱέων παρακαθημένων κατὰ τὸ εἰωθὸς καὶ ἱλαράν τινα καὶ μειδιῶσαν ἐκδεχομένων γλῶσσαν ἀκηκοέναι· ὀψὲ δ' ἀναγκασθεῖσα ἡ σύζυγος, αὐτὴ μὲν ἀφελῶς ὑπὸ φύσεως ἔχουσα πρὸς τὸ λέγειν, διένευσε πρὸς τὴν θυγατέρα τὴν πανυπερσεβάστην φθέγξασθαί τι τῇ χρείᾳ καὶ τῷ καιρῷ πρόσφορον· ἦν γὰρ αὕτη νεάζουσα μὲν τὰ τῆς ἡλικίας, ἀλλ' οὖν ἐπὶ μέγα συνέσεως ἥκουσα καὶ γλῶτταν παρὰ τῆς φύσεως εὐτυχήσασα οὐκ αὐτῇ μᾶλλον ἢ Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ τῶν σοφῶν τοῖς τοιούτοις μάλιστα προσήκουσαν· ἣ δὴ καὶ διάρασα πρὸς τὸν πατέρα τοὺς ὀφθαλμοὺς ἔλεξε τοιάδε· « Τολμηρὸν μὲν ἴσως καὶ προπετείας δόξειεν ἄν πως μεστόν, ὦ πάτερ, θυγατέρα νεάζουσαν ἔτι πρὸς πατέρα παρρησιάζεσθαι καὶ ἀμαθίᾳ συζῶσαν γλῶσσαν ἀτενίζειν πρὸς τὸν τῆς σοφίας Ὄλυμπον· ἐπεὶ δ' ἥ τε μήτηρ προτρέπει καὶ μετὰ τοῦ πράγματος ὁ καιρὸς ἐπιτίθεται, φθέγξομαι τό γε εἰς δύναμιν ἧκον· ἵνα τί γὰρ ἐπὶ τοσοῦτον σιγῶν, σοφώτατε πάντων ἀνθρώπων, ἀνέχῃ μὲν γνωσιμαχεῖν ἐπὶ σαυτῷ καὶ κατατήκειν σαυτόν, κοινωνεῖν δ' ἡμῖν οὐκ ἐθέλεις τῆς γνώμης, ἵνα καὶ τῆς λύπης ἡμεῖς σοι γενόμεναι κοινωνοὶ κουφότερον καταστήσωμέν σοι τὸ πάθος; πολλὴν γὰρ ἡμῖν ἡ τῶν

λη.

ὄψεων σύγχυσις καὶ ἡ τῆς γλώττης ἀσφάλεια μηνύει σαφῶς τὴν ἐν τῇ ψυχῇ σου τῆς λύπης ἀκμήν, ἣ τῆς καρδίας χειρωσαμένη τὰ καίρια, καθάπερ ἀκρόπολιν ἢ ῥίζαν τινὰ καὶ σύνδεσμον τῶν ζωτικῶν τῆς ψυχῆς δυνάμεων, κάθηται ἀναπόσπαστα ἐπιβοσκομένη τὴν ὥραν τῶν λογισμῶν καὶ συνθολοῦσα τὰς περιόδους αὐτῶν καὶ ἐμβριθὲς ποιοῦσα τὸ ἡγεμονικόν· ὥσπερ δ' ἔλαιον καὶ κηρὸς καὶ καλάμη καὶ χόρτος πυρὸς ἐπερύκει τροφή, οὕτω καὶ σιωπὴ περὶ τὴν ψυχὴν ἠθροισμένους εὑρίσκουσα τῆς λύπης τοὺς ἄνθρακας, καθάπερ ὕλην αὐτοῖς καὶ τροφὴν ἑαυτὴν χορηγεῖ, μηδαμῇ διὰ γλώττης ἐξιέναι παραχωροῦσα τὸν ἐγγινόμενον ἐκεῖθεν καπνὸν τῇ ψυχῇ· σὺ γοῦν, ἵνα μὴ τῷ χρόνῳ τὸ πάθος ἰσχὺν εἰληφὸς βλάβην ἀνέλπιστον ἐπιφέρῃ, διανάστηθι πρὸς θεοῦ καὶ γενοῦ σαυτοῦ· οὐ γὰρ σὸν τὴν εὐγένειαν τῆς φιλοσοφίας εἰς τοιαύτην κατασπᾶν σμικροπρέπειαν καὶ ἀωρίαν τοσαύτην τοῦ ταύτης κατασκεδάζειν σεμνώματος· πέφυκε γάρ πως τὸ τῆς λύπης δεινὸν ῥᾷστα τῇ παρατάσει τῆς σιωπῆς πολλαπλασιάζεσθαι· χωρεῖ γὰρ ἀνατρέχον ἐπὶ τὰ ἔνδον ἀεὶ δίκην ἕλκους καὶ οὐ πρότερον ἀφίσταται τοῦ πάντα νέμεσθαι λάθρα τὰ πρόσω, πρὶν ἂν καὶ αὐτούς, ὡς εἰπεῖν, διέλθῃ τοὺς μυελοὺς τῆς ψυχῆς καὶ αὐτὰ τοῦ ζώου τὰ καιριώτατα κατατροπώσηται μόρια· καὶ εἰ μέν τι τῶν ἀπορρήτων ἐστίν, ἄλλοις χρεὼν εἶναι ἀπόρρητον· ἡμῖν δὲ τοῖς σοῖς καὶ μάλα ἥκιστα ». Τούτοις καὶ τοιούτοις πλείοσι καὶ τοιαύτῃ παλάμῃ τῆς γλώττης ἡ γενναία ἐκείνη θυγάτηρ τὰς τοῦ πατρὸς ἀκοὰς μαλάξασα κατὰ τὸ ἐγχωροῦν παρὰ τοσοῦτον τῆς διανοίας ἐκείνου καθήψατο καὶ ὥσπερ ἀπὸ βαθέος ἀνηρτήσατο ὕπνου, παρόσον ἁλιέων καὶ θαυματοποιῶν παῖδες οἱ μὲν τοῖς πλήκτροις ἐκ θαλάττης τοὺς ἰχθύας ἀνασπῶντες, οἱ δὲ τοὺς ὄφεις ἐκ τῆς λόχμης· ὡς ἐκεῖνον μικρὸν τῆς λύπης χαλάσαντα τῇ γλώττῃ δοῦναι τὸν νοῦν καὶ τὰς ῥήσεις ἐκείνας βραχὺ τοῦ Ἰὼβ ὑπαλλάξαντα, ὡς, « ἀπόλοιντο, φάναι, αἱ ἡμέραι ἐκεῖναι, ἐν αἷς γυ-

ναικί τε συνήφθην καὶ τέκνων ἐγενόμην πατήρ· ῥᾷστα γὰρ ἂν μὴ παρόντων αὐτῶν τἀμαυτοῦ διεθέμην· νῦν δὲ τοσούτου διὰ ταῦτα περιῤῥέοντος ὄχλου φροντίδων, οὐκ οἶδα πῶς ἂν διαφύγοιμι τὴν ὅπως ποτὲ καὶ ὁθενοῦν ἀπειλουμένην ἐπενεχθήσεσθαι ὅσον οὐδέπω κακίστην πραγμάτων φοράν· μέλλειν γὰρ ἔφοδόν τινα βαρεῖαν εἴτ' ἐκ θαλάττης, εἴτ' ἐξ ἠπείρου, ἐχθρῶν μὲν οὐκ οἶδα δ' ὅτων, ἐπαναστήσεσθαι καθ' ἡμῶν καὶ πάντα κακῶς συνταράξειν τὰ καθ' ἡμᾶς, καθάπερ ὁλκάδα μεγάλην ἐπειδὰν ἐπὶ πόντου λαβὼν ἀγκυρῶν ὀρφανὴν ὑβριστὴς ἄνεμος μαίνηται κατὰ τῶν ἱστίων καὶ καταχορεύῃ τοῦ κύματος». Ταῦτα εἰπὼν ἐσιώπησεν αὖθις, κλαπεὶς ὥσπερ τὸν νοῦν ὑπὸ τῶν λογισμῶν ἐκείνων καὶ ἐκλαθόμενος ἑαυτοῦ καὶ τῆς γλώττης· καὶ ἀναστὰς εἰσήει μεστὸς ἀθυμίας ἐπὶ τὴν κλίνην, ἐφ' ἧς καὶ κατέδαρθε μέν, καθεύδειν δ' οὐκ εἶχε μέχρι πολλοῦ. Ἐγὼ δ' ἐς ὑστεραίαν πάντα ἐμμεμαθήκειν κατὰ τὸ εἰωθὸς ἀφικόμενος· ἀπῄειν γὰρ συνεχέστερον ἐς τὴν τοῦ ἀνδρὸς ὁμιλίαν· ἀφ' οὗ γὰρ περὶ πλείονος ποιησάμενος ἐμὲ κατὰ τὴν αὐτῷ νεουργηθεῖσαν μονὴν τῆς Χώρας φέρων κατῴκισε, πολλὴν ἔπειτα τὴν στοργὴν ἐδείκνυ πρὸς ἐμὲ καὶ ἱλαρὰν τὴν διάθεσιν καὶ μικροῦ τοῖς αὐτοῦ παισὶν ἐπίσης ἐδίδου τὴν σχέσιν κἀμοί· ὥστε καὶ ἀστρονομικὴν ἐπιστήμην μόνος κατὰ τούσδε τοὺς χρόνους εἰδὼς ἐς τὸ ἀκρότατον οὐκ ἀπηξίωσε μὴ οὐ μεταδοῦναι κἀμοὶ τοῦ τοσούτου πλούτου· ὥστε καὶ πολλάκις ἐνεκαλλωπίσατο ἐπί τε τοῦ βασιλέως ἐπί τε τῶν ἐλλογίμων ἐμοῦ γε εἵνεκα, ὅτι διάδοχον τῆς αὐτοῦ σοφίας ἐπεποιήκει με· δείκνυσι δὲ τοῦτο σαφέστερον ἔν τε ταῖς πρὸς ἐμὲ τούτου ἐπιστολαῖς ἔν τε τοῖς ἔπεσιν, ἃ πεποίηκεν ὕστερον ἐν τῇ ἐξορίᾳ αὐτοῦ· περὶ ὧν ἀριδηλότερον ἡμῖν ἐν τοῖς ἔμπροσθεν λελέξεται· διὰ ταῦτα τοίνυν ὀφείλων τἀνδρὶ μεγάλας τὰς ἀμοιβὰς τῶν κατὰ δύναμιν οὐκ ἠμέλουν· ἀλλὰ προσῄειν συχνὰ οἱ οὐ μόνον λογικῆς εἵνεκα ὁμιλίας, ἀλλὰ καὶ διακονίαν τινὰ θυμήρη πλη-

ρῶν αὐτῷ· ἐδίδασκον γὰρ τόν τε υἱέα καὶ ἣν ἔφαμεν αὐτοῦ θυγατέρα, τὰ τῶν θύραθεν καὶ ἡμετέρων βιβλίων αἰνιγματώδη καὶ γρίφα διαλευκαίνων καὶ τὴν ἐκείνων νύκτα πρὸς ἡμέραν μεθαρμοζόμενος· ἦν γὰρ ἡ γυνὴ μεγαλοφυὴς ὁμοῦ καὶ φιλομαθής· τὸ μὲν δῶρον τῆς φύσεως εἰληφυῖα, τὸ δὲ τῆς γνώμης. Ἐγὼ δ' ἐκεῖνα ἀκηκοὼς ἔνθους μὲν ὑπ' ἐκπλήξεως ἐγεγόνειν. οὐκ ἔκρινα δ' ὅμως δεῖν σιωπῇ τὸ πρᾶγμα παραδραμεῖν· ἀλλ' ἰδίᾳ προσελθὼν ἐκείνῳ· «Ἄλλους μὲν ἴσως, ἔφην, ἐν τοῖς δεινοῖς καταπίπτειν, ὅσοι μὴ φιλοσόφοις λόγοις ἐχάλκευσαν τὴν ψυχὴν, οὐκ ἂν εἴη τῶν οὐκ εἰκότων· σὲ δ' ὃν ἔδει πύργον ἀκλόνητον ἐν τοῖς τοιούτοις καθίστασθαι καὶ καρτερίας ὑπόδειγμα κράτιστον γενέσθαι τοῖς πολλοῖς, ὅμοιόν τι πάσχειν τοῖς ἄλλοις, θειότατε ἄνθρωπε, οὐκ ἂν δυναίμην αὐτὸς ἐπαινεῖν· εἰ δ' ἐπὶ τῶν ἐμφανῶν καὶ παρόντων χρῆναί φαμεν τὴν φιλόσοφον διάνοιαν, τί ἄν τις φαίη περὶ τῶν μήπω παρόντων, ἀλλ' ἐν ἀδήλοις ἔτι πυθμέσι κρυπτόντων τὴν ἔκβασιν; πολλὰ γὰρ κραίνει θεός· καὶ τὰ δοκηθέντα οὐκ ἐτελέσθη· τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός· αἱ γὰρ προαναφωνήσεις τῶν μελλόντων, ὅσαι δι' ὀνειράτων καὶ ὅσαι διὰ μυρίων ἄλλων, ὡς ἴσμεν, γίνονται τρόπων, πολὺν ἐπισυρόμεναι γνόφον καὶ κύκλῳ αὐτῶν, ὥσπερ σκηνὴν τιθέμεναι τὴν ἀποκρυφὴν αὐτῶν, πολλοὺς τοῦ καθήκοντος ἐξεμόχλευσαν καὶ πρὸς τὰς τῆς ἀληθείας ἐναντίας ἐννοίας βαδίζειν παρέπεισαν· καὶ οἱ μὲν τοῦ τέλους εὐτυχοῦς παρ' ἐλπίδα πεπείρανται· οἱ δὲ τοὐναντίον· οἶσθα γὰρ τά τε ἄλλα καὶ ὡς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐξιόντος ἤδη κατὰ Τύρου κόραξ ἐξ αὐτομάτου πετόμενος ἄνωθεν ῥίψας ὀστοῦν ἐπάταξε τὴν αὐτοῦ κεφαλήν, καὶ ἔδοξε τοῖς ὀρνιθοσκόποις καὶ μάντεσι τοῦτο κακὸς οἰωνὸς καὶ ἀπηγόρευον ἤδη τὴν πεῖραν· ὁ δὲ ἀπῄει καὶ πόνους ὑπέστη καὶ πολιορκήσας εἷλεν αὐτήν. Ἕλληνες πάλαι Περσῶν ἐπιόντων ἤλπισαν ἐς πυθμένας θαλάττης αὐταῖς ναυσὶ καταδύσεσθαι πρὸ τῆς Σαλαμῖνος ἀπει-

λούσης τέκνα γυναικῶν ἀπολέσειν· ἀλλὰ παρὰ πᾶσαν ἐλπίδα τοὺς ἐναντίους κατετροπώσαντο καὶ ὅλας βίβλους μεστὰς τῶν οἰκείων ἀρῆκαν τροπαίων. Κροῖσος ὁ Λυδὸς ἤλπισε τὸν Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσειν τοῦ Κύρου· ὁ δὲ καὶ τὴν οἰκείαν ἀπέβαλε. Ρωμαῖοι πάλαι φλεγομένης τῆς Ἰταλίας ὑπ' Ἀννίβου τοῦ Καρχηδονίου καὶ μονονοῦ πρὸ ὀφθαλμῶν καὶ αὐτὴν τὴν τῆς Ῥώμης ἰδόντες κατασκαφὴν τοῦ πλείστου παρ' ἐλπίδα τῆς οἰκουμένης κατέστησαν αὐτοκράτορες. Αὔγουστος ὁ μετὰ Καίσαρα δεύτερος μοναρχήσας ἐν Ῥώμῃ Ἀντωνίου καὶ Κελοπάτρας ἐπιόντων κατ' αὐτοῦ μετὰ βαρείας δυνάμεως ναυτικῆς τε καὶ ἠπειρωτικῆς φόβῳ τὸ ζῆν ἀπειπάμενος, ὁ δὲ καὶ τοὺς ἐχθροὺς παρ' ἐλπίδα νενίκηκε καὶ ἅμα τὴν ἐκείνων ἀρχὴν προσειλήφει, Λιβύην φημὶ καὶ Ἀσίαν· καὶ τί δεῖ τοὺς ἱεροὺς τῆς προνοίας λόγους καταριθμεῖν; ἢ τὰ καθ' ἡμᾶς διοικοῦσα ὅπερ οὐκ ἴσμεν εἴωθεν ἐπιφέρειν τοῖς ἡμετέροις πράγμασι τέλος· νῦν μὲν ὅπερ ἠλπίκαμεν· νῦν δ' ὃ μή· καὶ νῦν μὲν σὺν θατέρῳ θάτερον, νῦν δ' ἀντὶ θατέρου θάτερον· ὥσπερ ἂν εἴ τις ἐκ τοῦ Πειραιῶς τὸν ἀπόπλουν ἐς τὸν Αἰγαῖον ποιεῖσθαι ἐβούλετο, τὸν δ' ἔπειτ' ἐς Κρήτην καὶ Σαρδὼ τῶν ἀρκτικῶν ἀπήνεγκαν πνευμάτων αἱ πηγαὶ μὴ πάνυ τοι προσδοκήσαντα· καὶ γὰρ τοιοῦτος κύβος πᾶσαν ἐπιπορεύεται γῆν ὁμοίως ἀεὶ καὶ θάλατταν· καὶ σοὶ τοίνυν προσδοκήσαντι λυπηρὰ ἴσως ἀνατελεῖ τὰ χρηστότερα καὶ τὸ τοῦδε τοῦ σπέρματος κατηρὲς ὅλους γεωργήσει χοίνικας εὐφροσύνης· ἰσομοιρίαν γὰρ δεῖ ταῖς τῶν μελλόντων ἐλπίσι χαρίζεσθαι καὶ μὴ καθάπαξ μόνοις διδόναι τοῖς ἀηδέσιν ἢ τοῖς χρηστοῖς· ἔπειτα καὶ ὡς δοκεῖ τῷ σοφῷ Εὐριπίδῃ, λόγος ὁ αὐτὸς ἔκ τ' ἀδοξούντων κἀκ τῶν δοκούντων ἰὼν οὐ ταὐτὸν σθένει· πάντες μὲν γὰρ πάντα φάσκοντες ἕνα που μόλις ἢ καὶ δύο ταράξαιεν ἄν· σὺ δ' ἅτε καὶ τῶν ἀπορρήτων τῷ βασιλεῖ κοινωνὸς καὶ ἅμα τῶν ἀστρονόμων κράτιστος ῥᾷστα τὰς τῶν ἄλλων ψυχὰς ἐς βυθοὺς ἀνατρέψαις ἂν

ἀπογνώσεως· εἰ γοῦν μὴ διὰ σέ, ἀλλὰ τῶν ὅλων γε εἵνεκα πρὸς τὸ χαριέστερον ἄμειϐε μετὰ τῆς γλώττης ὅλον σαυτόν· μίμησαι τῶν κυϐερνητῶν τοὺς χαριεστέρους, οἳ καὶ μελλόντων ἔτι καὶ παρόντων αὖθις τῶν δεινῶν οὐδαμῇ κατηφὲς δεικνύουσι πρόσωπον· ἀλλ' εἰδότες ὡς ἐν τοῖς αὐτῶν ταμιεύονται χείλεσιν αἱ σωστικαὶ τῶν συμπλεόντων ἁπάντων ἐλπίδες, ὥσπερ εὐθυμίας ἀεὶ διὰ γλώττης προτείνουσι τούτοις τράπεζαν καὶ ἐπικροτοῦσι καὶ παραθαρρύνουσι· καὶ ταῦτα τῆς μὲν θαλάττης πολλάκις κάτωθεν ὑϐριζούσης, τῶν κυμάτων δ' ὑπὲρ πάντα Καύκασον ὑψουμένων, ὑετοῦ δ' ἄνωθεν καταρρηγνυμένου βιαίου καὶ τοῦ κινδύνου πρὸ ὀφθαλμῶν ἱσταμένου». Ταῦθ' οὕτω λεχθέντα παρ' ἡμῶν τὸν ἄνδρα κατεδυσώπησαν, καὶ τῆς λύπης ἐκείνης ὡς ἐνῆν καθυφεὶς χαρίεις αὖθις ἐδόκει τοῖς πᾶσι καὶ ἱλαρὸς καὶ εὐπροσήγορος ὡς τὸ πρότερον.

Οὐ μόνον δὲ πρὸς τοὺς ἐξωτερικοὺς τῆς αὐτοκρατορίας ἐχθροὺς δὲν ἐπολιτεύθη ἀνδρικῶς ὁ Ἀνδρόνικος, ἀλλὰ καὶ διὰ τῆς ἀσυνέτου διαγωγῆς αὐτοῦ νέαν κατὰ τῆς κεφαλῆς του ἤγειρε θύελλαν ἐξ αὐτοῦ τοῦ ἰδίου οἴκου. Ἐν ἔτει 1325, ἑπόμενος τῷ παραδείγματι τοῦ πατρός του Μιχαήλ, προσέλαϐεν ὡς συμϐασιλέα τὸν ἔγγονον Ἀνδρόνικον τὸν νεώτερον. Ἀλλ' αἱ παράλογοι ἀπαιτήσεις τοῦ ζωηροῦ νεανίου ἀφ' ἑνὸς καὶ ἡ ἄκαιρος αὐστηρότης τοῦ γηραιοῦ αὐτοκράτορος ἀφ' ἑτέρου, προεξένησαν οἰκτρὰ σκάνδαλα, ἀπολήξαντα μετ' οὐ πολὺ εἰς ἐμφύλιον πόλεμον. Καὶ ἐν τῇ δυσχερεῖ ταύτῃ περιστάσει ἀνεδείχθη ἡ πολιτικὴ περίνοια τοῦ Μετοχίτου, ὅστις ἀνώτερος τῶν τότε λυμαινομένων τὴν αὐλὴν τοῦ Βυζαντίου ῥαδιουργιῶν, μετὰ ζήλου προσεπάθησε νὰ συμϐιϐάσῃ τοὺς ὑπὸ φαύλων κολάκων κατ' ἀλλήλων ἐξερεθιζομένους ὁμωνύμους συνάρχοντας. Τὴν δικαιοσύνην ταύτην τοὐλάχιστον ἀπονέμει αὐτῷ καὶ ὁ ὁμοφρονῶν τῷ νεωτέρῳ Ἀνδρονίκῳ καὶ ἐπομένως ἥκιστα εὐμενῶς διακείμενος πρὸς τὸν εὐνοούμενον πρωθυπουργὸν τοῦ γηραιοῦ

αὐτοκράτορος, Ἰωάννης ὁ Καντακουζηνὸς, γράφων· «Οὗτος δὴ οὖν ὁ μέγας λογοθέτης διά τε τὴν σύνεσιν καὶ τὴν σοφίαν, καὶ τὴν ἣν εἶχεν ἐπιτηδειότητα πρὸς τὴν διοίκησιν τῶν πραγμάτων πολλῆς ἀπολαύων παρὰ βασιλέως οἰκειότητος καὶ εὐμενείας ἐθάρσησε καὶ αὐτὸς τῷ βασιλεῖ προσελθὼν περὶ τοῦ ἐγγόνου διαλεχθῆναι, πείθειν ἐπιχειρῶν, ὡς οὐ δεῖ τὰ καθεστῶτα κινεῖν, οὐδὲ τὸν ἔγγονον τῆς βασιλείας ἀποστεροῦντα, ἑτέρῳ μηδαμῶς προσήκοντι παρέχειν, εἰ μή τι ἄλλο, τὰς ἀπὸ τούτου ταραχὰς συμβησομένας εὐλαβούμενος» (1).

Ὁ αὐτὸς Καντακουζηνὸς ἀναφέρει καὶ τὸ ἑξῆς. Ὅταν ὁ νεώτερος Ἀνδρόνικος ἀπεφάσισε νὰ ζητήσῃ παρὰ τοῦ πάππου ὅρκους ἐπισήμους περὶ τῆς πρὸς αὐτὸν ἰδιαζούσης εὐνοίας καὶ πίστεως, ἠθέλησε νὰ ὑποβάλλῃ τὰς προτάσεις αὐτοῦ διὰ τοῦ Μετοχίτου, ὡς π α ρ ρ η σ ί α ν ἔ χ ο ν τ ο ς π ρ ὸ ς α ὐ τ ό ν, ὥ σ τ ε θ α ρ ρ ῆ σ α ι π ε ρ ὶ τ ο ι ο ύ τ ω ν π ρ ε σ β ε ύ ε ι ν· ὁ δὲ μέγας λογοθέτης καθορῶν τὸ ἀσυμβίβαστον τῆς βασιλικῆς ἀξιοπρεπείας πρὸς τὰς παιδαριώδεις ταύτας ἀπαιτήσεις, ἐλάλησεν οὕτω πρὸς τὸν σκληροτράχηλον νεανίαν· «ἔγωγε ᾠήθην, ὦ βασιλεῦ, τὴν ἐμὴν παρὰ σοῦ κλῆσιν πρός τι φέρειν τῶν ἀγαθῶν· ἐνόμιζον γάρ, ὡς ὑποπεπτωκότας τινὰς καὶ θεραπευτικοὺς λόγους δι' ἐμοῦ μηνύσεις τῷ βασιλεῖ, ἐξ ὧν ἡμερωτέραν ἀπεργάσῃ καὶ πρᾳεῖαν αὐτοῦ τὴν ψυχήν· τὸ δ' ἐναντίως ἔχει μᾶλλον ἢ αὐτὸς προσεδόκων· ὅθεν οὐδ' αὐτὸς ἄγγελος εἶναι βουλήσομαι τοιούτων, οὐδ' εἰς ὀργὴν ἐξάψαι μᾶλλον διὰ τούτων τοὺς τοῦ βασιλέως θυμούς· οὐδὲ γὰρ οὐδ' ἀκοῇ παρειλήφαμεν ἄχρι καὶ νῦν τοὺς δεσπότας ὀμνύναι τοῖς δούλοις, τοὐναντίον δὲ μᾶλλον· ἢ εἰ τοῦτο γένοιτο, καὶ ὁ δεσπότης ὀφλήσει τοῖς ὑπηκόοις, ὅπερ ὄφλουσιν αὐτοὶ τοῖς δεσπόταις, ὅπερ ἀτοπίας οὐκ ἂν εἴη μακράν. Ἐγὼ δὲ καὶ ἀπορίᾳ δεινῇ συνέχομαι, ἂν ὁ βα-

(1) Ἱστορία, Α', σελ. 55, Βόν.

σιλεὺς ἔρηται, ὅτου χάριν πρὸς σε ἀφῖγμαι, τίνα ἂν ἀπολογίαν εὐπρόσωπον ἀποδοίην· πρὸς ἐκεῖνον μὲν οὖν αἰτίαν τινὰ πλάσομαι τῆς ἀφίξεως, σοὶ δὲ παραινῶ καὶ προσέτι ἱκετεύω, μηκέτι μηδαμῶς περὶ τοιούτων λόγων κινεῖν· συνορῶ γὰρ αὐτὸς, ὡς εἰς κακὸν ἀνήκεστον τελευτήσει, ἂν εἰς ἀκοὴν ἔλθῃ τῷ βασιλεῖ ». Ἀλλ' οἱ συνετοὶ οὗτοι λόγοι οὐδόλως ἴσχυσαν νὰ μεταστρέψωσι τὴν ἰσχυρογνωμοσύνην τοῦ νεωτέρου Ἀνδρονίκου, ὅστις προσεπάθησε νὰ καταδείξῃ εἰς τὸν Μετοχίτην, ὅτι καὶ ἄλλοι βασιλεῖς ὁμομώκεισαν τοῖς ὑπηκόοις ὠφελείας ἕνεκά τινος, «Ἐπὶ τούτοις, λογοθέτης ὁ μέγας τούς τε προτέρους λόγους ἀναλαβὼν καὶ πλείονας ἑτέρους συνείρας, καὶ πανταχόθεν ἀλυσιτελῆ καὶ ἀδύνατον τὴν αἴτησιν ἀποδείξας, καὶ πρὸς τὸ γενέσθαι τοιούτων ἄγγελος παντελῶς ἀνανεύσας, ἀπῆλθεν » (1).

Ὁ δὲ Γρηγορᾶς διηγεῖται καὶ τὸ ἑξῆς ἴσως (2) ἀλλοῖον τοῦ παρὰ Καντακουζηνῷ ἐπεισοδίου τῆς μεταξὺ τῶν Ἀνδρονίκων διενέξεως. Ὅταν ὁ γηραιὸς βασιλεὺς ἔμαθε τὴν περὶ φυγῆς συνωμοσίαν τοῦ ἐγγόνου, προσεκάλεσε τοῦτον εἰς τὰ ἀνάκτορα διὰ νὰ τὸν ἐπιτιμήσῃ ἐνώπιον τοῦ πατριάρχου καὶ τῶν ἀρχιερέων ἐπὶ τῇ ἀπιστίᾳ· ὁ δὲ νεανίας ὑποπτευθεὶς ἐπιβουλὴν, εἰσῆλθεν εἰς τὰ ἀνάκτορα μετὰ σπείρας δολοφόνων. Καὶ ἡ μὲν πατρικὴ γλῶσσα τοῦ δικαίως χολωθέντος αὐτοκράτορος,

(1) Ὁ διηγούμενος τὰ κατὰ τὴν σκηνὴν ταύτην, ὀπαδός, ὡς ἐρρέθη, καὶ ἀπολογητὴς τοῦ νεωτέρου Ἀνδρονίκου προσεπιτίθησιν· «Ἔφασκε δ' ἐν ὑστέροις χρόνοις, εἰρήνης γενομένης, ὁ πρεσβύτερος βασιλεὺς, ὡς, εἰ περὶ τῶν ὅρκων αὐτῷ ἀπηγγέλθη, ὁμωμόκει τε ἂν καὶ οὐδὲν ἐτολμήθη τῶν τετολμημένων· διὸ καὶ τὴν αἰτίαν ἅπασαν τοῦ πολέμου εἰς λογοθέτην ἀνετίθει τὸν μέγαν ». Κανταχ. Α, σελ. 81-84.

(2) Λέγω ἴσως, διότι οὐδὲν ἀπίθανον νὰ ἦναι τὸ αὐτὸ παρὰ Καντακουζηνῷ χάριν τοῦ προστατευομένου αὐτοῦ ἐπὶ τὸ εὐμενέστερον ἐκτιθέμενον ἐπεισόδιον.

ἀφώπλισε τὸν ἀντάρτην ἀναγκασθέντα νὰ μὴ ἐκτελέσῃ τὸ κακοῦργον διανόημά του· συγχωρηθεὶς ὅμως ἀπῄτει καὶ τὴν ἀμνηστείαν τῶν συνενόχων καὶ ἐπὶ τούτῳ προσεκάλεσε παρ'ἑαυτῷ τὸν Μετοχίτην· «καὶ ἐλθόντα ἠξίου παρασκευάσαι τὸν πάππον καὶ βασιλέα δι' ὅρκων καὶ τῇ ῥηθείσῃ φρατρίᾳ χαρίσασθαι τὸ ἀκίνδυνον· ὁ δὲ οὐδ' ἀκοῦσαι ἠνέσχετο· ἀλλά, «σὺ δὲ οὐ θαυμάζεις, ἔφη, καὶ Θεῷ πολλὰς ἀποδίδως εὐχαριστίας, ἀγαπῶν ὅτι παρὰ πᾶσαν ἐλπίδα τῶν τοῦ ᾅδου πυλῶν αὐτὸς ἀναβάς, ὡς εἰπεῖν, ἐκομίσω τὴν σωτηρίαν; ἢ οὐκ οἶδας ὡς χρεὼν σε μεγάλας ὀφείλειν κἀμοὶ καὶ παισὶ τοῖς ἐμοῖς διὰ βίου τὰς χάριτας, ὅτι βουλὴν κατὰ σοῦ μελετηθεῖσαν εἰς τέλος διέρρηξα παρελθὼν αὐτὸς καὶ νῦν δι' ἐμοῦ τουτονὶ τὸν ἥλιον καθορᾷς; σὺ δὲ ταῦτα ἀφεὶς ἱκέτης ὑπὲρ τῶν κάκιστ' ἀπολουμένων γίγνεσθαι βούλει; ἄπαγε πρὸς Θεοῦ! μὴ κοινώνει τοιούτοις ἀνδράσι· πῶς γὰρ τοὺς πρὸς σὲ διατηρήσουσιν ὅρκους, οἳ τοὺς πρὸς τὸν βασιλέα καὶ πάππον τὸν σόν, μηδενὸς τῶν δεινῶν ἀναγκάζοντος, ἐξελάθοντο, μήτε Θεοῦ κεραυνοὺς μήτε ἀνθρώπων αἰδῶ πρὸ ὀφθαλμῶν θέντες»; Τούτων οὕτω παρὰ προσδοκίαν λεχθέντων ἀκούσας ὁ βασιλεὺς ἔστη σιωπῶν ἐπὶ πλεῖστον· ἔπειτα «ἄπιθι»! ἐπειπών, ἐς τὰς προτέρας αὖθις ἐπανῆκε βουλὰς καὶ μελέτας» (1).

Ἐκραγέντος τοῦ ἐμφυλίου πολέμου, ὁ Μετοχίτης παρέμεινε πιστὸς τῷ γηραιῷ Ἀνδρονίκῳ. Ἐκ τῶν ὑπὸ Γρηγορᾶ ὅμως διηγουμένων φαίνεται, ὅτι ὁ περιφανὴς οὗτος πολιτικὸς καὶ λόγιος καὶ γενναιότητος ἐστερεῖτο καὶ τῶν στρατιωτικῶν ἦν πάντῃ ἀδαής. Πολιορκουμένης τῆς Κωνσταντινουπόλεως ὑπὸ τοῦ τοῦ ἀντάρτου Ἀνδρονίκου, διὰ προδοσίας δύο φρουρῶν ἐφάνησαν εἰσερχόμενοι οἱ τούτου στρατιῶται· ὁ δὲ γηραιὸς βασιλεὺς μαθὼν ὑπό τινος τὴν προδοσίαν ἐταράχθη καὶ ἔσπευσε νὰ λάβῃ

(1) Γρηγ. Α΄, 314.

Digitized by Google

προφυλακτικὰ μέτρα· « ἀλλ' ὁ μέγας ἐμποδὼν γεγένηται λογοθέτης, ἀνάξιον εἶναι φήσας μεγαλοπρεπέσι φρονήμασιν, ἐνδιδόναι πρὸς οὕτω σμικροπρεπεῖς ἀκοὰς καὶ φήμας ἀγεννεῖς· ἢ γὰρ μὴ εἶναι τὸ λαληθὲν ἀληθές, ἢ μικρὰν εἶναι τὴν ἐπιχείρησιν, τοσούτοις ὅπλοις τῶν τε πυλῶν ὁμοῦ καὶ τῶν τειχῶν πεφραγμένων· ταὐτὸν γὰρ πείσονται, εἰ τῇ εἰσόδῳ νῦν ἐπιχειρεῖν ἐθελήσαιεν οἱ πολέμιοι, ὁποῖον καὶ οἱ πρὸς κέντρα λακτίζοντες· ταυτὶ δ' ἔφασκεν οὗτος, εἴτε διὰ τὸ ἀδαὴς τῶν στρατιωτικῶν εἶναι πραγμάτων, εἴτε τοῦ θεοῦ σφήλαντος τὴν τούτου διάνοιαν, ἵνα καὶ πέρας ἡ κυρωθεῖσα ἄνωθεν ψῆφος σχοίη κατὰ τοῦ γηραιοῦ βασιλέως καὶ τῶν τούτου πραγμάτων. Οὔπω τὸ τρίτον τῆς νυκτὸς παρερρύη καὶ συχνοὶ παρὰ τὰς πύλας αὖθις τῆς Γυρολίμνης ἧκον ἀγροῖκοί τινες ἐκ τῶν προαστείων τῆς Βυζαντίδος καὶ πολὺν ἐδήλουν τοῖς φύλαξιν ἀθροίζεσθαι ὅμιλον ἔξωθεν παρὰ τὰς πύλας τοῦ Ρωμανοῦ· ὅπερ αὖθις εἰς τὰς βασιλικὰς ἀκοὰς ἀνηνεγμένον εἰς φόβον καὶ θόρυβον ἤγαγε πλείονα· καὶ τραχυτέρᾳ χρησάμενος τῇ φωνῇ πρὸς τὸν μέγαν ἔφασκε λογοθέτην· « ἔοικας, ἄνθρωπε, σιδήρου φύσιν εἰληφέναι· διὰ γὰρ τοῦτο καὶ ἀδεῶς ἔχεις τῶν λογισμῶν καὶ οὐκ ἐπαισθάνῃ τῶν περιστοιχιζόντων ἡμᾶς κινδύνων; ἢ οὐχ ὁρᾷς, ὡς οὐκ ἐᾷ με τὸ πρᾶγμα καθῆσθαι, μηδὲ καταδαρθάνει, ἀλλ' ὥσπερ τις ἰσχυρὸς πάταγος ὁ τοῦ ἐγγόνου μου θόρυβος κροτεῖ μου τὰς ἀκοὰς καὶ συγχεῖ μου τὴν διάνοιαν καὶ δεινῶν μοι πέλαγος ἔρρωγε, τάς γε φρένας τινάττων συχνὰ καὶ κυκῶν καὶ βυθίζων μου τὴν καρδίαν »; ὁ δ' ἄντικρυς Μακκαβαῖος ἦν, τοῖς προτέροις ἐμμένων δόγμασι καὶ περιφρονῶν τὰ λεγόμενα, καθάπερ τις προβλὴς θαλάττιος· ὥστε καὶ ἀναστὰς ἀπῄει καθευδήσων, ἔργῳ δεικνὺς ὡς μάταιος ὄχλος καὶ οὐδὲν ἰσχυρὸν τὰ πρὸς πολεμίων ἔξωθεν δρώμενα » (1).

(1) Α. σελ. 420. Αἱ τελευταῖαι ἐκφράσεις τοῦ Γρηγορᾶ περὶ ἀταραξίας τοῦ Μετοχίτου πρὸ τῶν κινδύνων ἀντίκεινται πρὸς τὰ ὑπὸ τοῦ

Μετ' οὐ πολὺ δὲ θόρυβος ἀνήγγειλε τῷ δυσπιστοῦντι λογοθέτῃ τὴν ὑπὸ τοῦ ἀντάρτου κατάληψιν τοῦ Βυζαντίου. Καὶ ὁ μὲν Γρηγορᾶς διηγεῖται, ὅτι ὁ ἀπομεμονωμένος γηραιὸς βασιλεὺς ἀναγνωρίσας τὰ γενόμενα ἐξῃτήσατο διὰ περιπαθεστάτης παρακλήσεως παρὰ τοῦ θριαμβεύσαντος ἐγγόνου ὡς χάριν τὴν ζωήν· ὁ δὲ Καντακουζηνὸς λέγει, ὅτι ὁ ἡττηθεὶς Ἀνδρόνικος παραστὰς πρὸ τοῦ ἐγγόνου ἤρξατο νὰ καταμέμφηται αὐτοῦ ἐπὶ τῇ ἀπρεπεῖ διαγωγῇ· παρὼν δὲ καὶ ἐν τῇ τελευταίᾳ ταύτῃ διενέξει ὁ Μετοχίτης ὑπέδειξέ πως εἰς τὸν πάππον τὴν ἀναγνώρισιν τῶν τετελεσμένων, εἰπὼν πρὸς τοὺς ἐρίζοντας βασιλεῖς· « ἀλλ' ἕως πότε ἔσονται τοιαῦτα; ἐὰν γὰρ μὴ αὐτοὶ ὁμονοήσητε, τῶν δεόντων γενήσεται οὐδέν » (1).

Αὐτεξούσιος πλέον μονάρχης ὁ Ἀνδρόνικος Γ΄ Παλαιολόγος, πρῶτα τῆς φιλαρχίας αὐτοῦ θύματα ἐξελέξατο τοὺς συμφρονήσαντας τῷ ἀποβλήτῳ αὐτοῦ πάππῳ, ἐν οἷς ἐπρώτευεν ὁ Θεόδωρος Μετοχίτης. « Ἦν δ' ἕωθεν ἐς ἑσπέραν ἰδεῖν τὴν ἡμέραν ἐκείνην κενωθέντα τὸν ὄλβον ἅπαντα τῶν οἴκων τῶν λαμπροτάτων καὶ λείψανα τὴν ταχίστην καταστάντας αὐτοὺς ἐρειπίων καὶ δημοτικὸν ἄθυρμα· καὶ μάλιστα πάντων τὴν τοῦ μεγάλου λογοθέτου λαμπροτάτην οἰκίαν, καὶ ὅσα τῶν χρημάτων ἔν τε τῇ οἰκίᾳ ἐταμιεύοντο, καὶ ὅσα φθάσας τισὶ τῶν φίλων παρέθετο· τῶν γραμματείων γὰρ εὑρεθέντων, ἃ τοὺς εἰληφότας φίλους ἐδίδου, λαφύρων μερὶς ἐγεγένηντο πάντα καὶ οὐδὲν τῶν ἁπάντων αὐτῷ παρελείφθη· ἀλλὰ τὰ μὲν εἰς τὸ βασιλικὸν εἰσενήνεκτο πρυτανεῖον, τὰ δὲ δημοτῶν διενείμαντο

αὐτοῦ διηγούμενα (σελ. 411) ὅτι οὗτος « ἐδεδίει περὶ ἑαυτοῦ μάλιστα, καὶ σύννους τις ἦν καὶ ἐμμέριμνος ἀεὶ καὶ τῶν μελλόντων πλήρης, οὐ μάλα τοι δεξιὸν τὸ μέλλον σκοπούμενος ἐπιόν », καὶ ἔβλεπε καθ' ὕπνον λῃστὰς εἰσδύοντας εἰς τὸν οἶκον αὐτοῦ πρὸς ἁρπαγὴν τῶν πολυτελῶν σκευῶν καὶ χρημάτων.

(1) Ἱστορ. Α΄, σελ. 305.

χεῖρες· καὶ γέγονε πένης εὐθὺς ὁμοῦ τοῖς παισὶν ὁ πάντων μετὰ βασιλέα εὐδαιμονέστατος πᾶσι δοκῶν· ἀκράτου γὰρ τῆς εὐδαιμονίας ἐν πολλοῖς ἀπολελαυκὼς τοῖς ἡλίοις, ἐκπέπωκεν ἄκρατον ἡμέρᾳ μιᾷ τὸν λύπης κρατῆρα. Καὶ ἦν ἀκούειν τῶν μεμψιμοίρων λεγόντων τά τε ἄλλα καὶ ὡς πενήτων ἦν αἵματα καὶ δάκρυα τὰ τοιαῦτα χρήματα, συνεισφερόμενά τε καὶ χορηγούμενα παρ' οἷς ἐπετέτραπτο πόλεών τε καὶ χωρῶν διοίκησις Ρωμαίων· Δι' ἐκείνων μὲν ἀπηνῶς χρωμένων τοῖς ταλαιπώροις Ρωμαίοις οἷά τισιν ὠνητοῖς ἀνδραπόδοις, αὐτὸς ἐπιτειχίζῃ τούτοις τὴν ἐς βασιλέα καταφυγὴν καὶ μένῃ τὸ μέγα τοῦτο δεινὸν ἀνεκδίκητον πανταχόθεν· ὅθεν ὁ τῆς δίκης ὀφθαλμὸς οὐκ εἰς τέλος κεκοίμηται, ἀλλὰ διανέστη καὶ τὴν προσήκουσαν ὀψὲ καὶ μόλις ἐπήνεγκε κόλασιν. Ταῦτα παρὰ πολλῶν ᾀδόμενα πικροτέραν ἐποίουν τὴν τοῦ ἀνδρὸς συμφοράν » (1).

Ὁ Καντακουζηνὸς παραμορφῶν τὰ γενόμενα πρὸς δικαιολόγησιν τῆς ἀδικίας, εἰς ἣν καὶ οὗτος συνετέλεσε, γράφει, ὅτι μόνη ἡ τοῦ Μετοχίτου οἰκία ἐλεηλατήθη καὶ αὕτη παρὰ γνώμην τοῦ βασιλέως Ἀνδρονίκου τοῦ Γ'. (2) Πλὴν ἐκτὸς τῶν Γρηγορᾶ καὶ Φραντσῆ, καὶ αὐτὸς ὁ Ἀνδρόνικος Γ' ἐπισήμως ὁμολογεῖ τὴν τοιαύτην δήμευσιν, εὐεργετῶν διὰ χρυσοβούλλου λόγου (1329) εἰς τὸ μετόχιον τοῦ Γασταλάγκου τὴν ἐκεῖσε κατεχομένην γῆν ὑπὸ Θεοδώρου τοῦ Μετοχίτου (3).

(1) Γρηγορ. Α' σελ. 425. Ὁ Καντακουζηνὸς (Α', 306) προσπαθῶν νὰ δικαιολογήσῃ τ' ἀδικαιολόγητα λέγει, ὅτι ἡ διαρπαγὴ τῆς οἰκίας τοῦ Μετοχίτου ἐγένετο παρὰ γνώμην δῆθεν τοῦ Ἀνδρονίκου Γ'. Ἀλλ' ἐκτὸς τοῦ Γρηγορᾶ καὶ ὁ Φραντζῆς (σελ. 36 Βόν.) ἐπιβεβαιοῖ τοὐναντίον λέγων, ὅτι ὁ νεώτερος Ἀνδρόνικος « τὰ κτήματα πάντα τοῦ Μετοχίτου καὶ χρήματα ἐδημοσίευσε ».

(2) Ἱστορ. Α', σελ. 306.

(3) Σελ. 226, 227 τοῦ παρόντος τόμου.

Ἀλλ' ἐὰν ὁ Καντακουζηνὸς προσπαθῇ νὰ καλύψῃ τὴν ὑπὸ τοῦ Ἀνδρονίκου Γ' διαταχθεῖσαν δήμευσιν τῶν κτημάτων τοῦ τέως μεγάλου λογοθέτου, δὲν τολμᾷ ὅμως ν' ἀποσιωπήσῃ καὶ τὴν εἰς Διδυμότειχον ἐξορίαν αὐτοῦ, προσεπιτιθέμενος ξηρῶς, ὅτι ἔπειτα ἔτυχε συγγνώμης καὶ εἰς Βυζάντιον ἐπανελθὼν διέτριβεν οἴκοι (1). Ὁ Γρηγορᾶς λεπτομερέστερον ἀφηγούμενος καὶ τὰ κατὰ τὴν εἰς Διδυμότειχον ἐξορίαν καὶ τὴν μετ' οὐ πολὺ ἀνάκλησιν ἐν Βυζαντίῳ τοῦ διδασκάλου αὐτοῦ λέγει. « Ὁ μέντοι μέγας λογοθέτης ἐς τὴν ὑπερορίαν ξὺν οὐδενὶ κόσμῳ ἀπαγόμενος τῷ τῆς στραγγουρίας νοσήματι κάτοχος ἐγεγόνει· ὃ καὶ μᾶλλον ἐπίεζε τοῦτον, ἢ πάνθ' ὅσα ἐπεπόνθει, εἱρκτὴν λέγω καὶ δόξης ἔκπτωσιν καὶ χρημάτων ἀφαίρεσιν καὶ φαύλων ἀνθρώπων ἐλέγχους καὶ λοιδορίας. » Καὶ μετ' ὀλίγον προσεπιλέγει· « Ὁ μέντοι Μετοχίτης ἐλθὼν οὐ παρὰ τῇ οἰκίᾳ κατέλυσε· πάλαι γάρ, ὡς εἰρήκαμεν, εἰσελθόντος τοῦ βασιλέως ἐν Βυζαντίῳ αὕτη διέφθαρται καὶ τελέως ἠρήμωται πρὸς τῶν δημοτῶν· κατέλυσε δ' ἀπέναντι καὶ πλησίον, παρὰ τῇ ἱερᾷ δηλαδὴ μονῇ τῆς Χώρας, ἣν πολλοῖς αὐτὸς ἀναλώμασιν ἀνεκαίνισε πρότερον, τοῖς ὀδοῦσι τοῦ χρόνου δεινῶς κοπτομένην ἰδών· ἐδομήθη γὰρ αὕτη τὸ ἀρχαῖον πρὸς τοῦ βασιλέως Ἰουστινιανοῦ ἐπιμήκης τὸ σχῆμα· εἶτα τοῦ χρόνου ταύτην μέχρι κρηπίδων συντρίψαντος, ἄλλον ἐκ βάθρων ἀνήγειρε νεών, εἰς ὃ καὶ νῦν ὁρᾶται σχήματος, ἡ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ πενθερά· τοῦ δὲ χρόνου πάλιν φθορὰν ἀπειλοῦντος, οὗτος ἁβροτέρᾳ χρησάμενος δεξιᾷ, πλὴν τοῦ μεσαιτάτου νεώ, πάντα καλῶς ἐπεσκεύασεν· ὅθεν καὶ πάντων εἰς τέλος ἀπολωλότων ἤδη τἀνδρὶ τῶν ἔξω πραγμάτων, σωτήριος αὕτη λιμὴν ἐν καιρῷ περιστάσεως ὤφθη ψυχῆς ὁμοῦ καὶ σώματος· πρὸς μὲν οὖν τὴν ἱερὰν ἀποβλέπων μονὴν τὸ

(1) Ἱστορ. Α'. 312.

λοιπὸν ἡδονὴν ἀπόρρητον παρείχετο τῇ ψυχῇ· πρὸς δ' αὖ τὴν ἐρήμωσιν τῆς οἰκίας, κατήφειαν τοῖς ὀφθαλμοῖς ἐτρύγα μακρὰν καὶ πλήθουσαν εἶχεν αὖθις τὴν ψυχὴν πυρὸς καὶ φλογὸς, ἣν ἐκπυρσεύουσι τοιαῦται βαρυθυμίαι καὶ συμφοραί· καὶ μέντοι καὶ τὸ τῆς ψυχῆς πρὸς τιμωρίας ἀκόρεστον ἀναλογιζόμενος ἐξεπλήττετο, πῶς οὐδὲ τοὔδαφος τῆς λαμπρᾶς ἐκείνης οἰκίας ἐς τὸν ἐνόντα κόσμον ἀφέθη· ἀλλ' ὃ μήπου πρότερον ἐξ αἰῶνος ἐφ' ἑτέρου ἐπινενόηται, νῦν ἐπὶ τοῦδε καὶ πέπρακται· ἐκσπασθὲν γὰρ ἅπαν ἐπέμφθη δῶρον τῷ τῶν δυτικῶν Σκυθῶν ἄρχοντι, λαμπρότητός τινος ἕνεκα τοῦ τῆς οἰκίας ἐδάφους ἐκείνου ζητήσαντι. Ἐκωλύετο δὲ πρὸς τῶν τὴν ἡγεμονίαν διοικούντων, μηδ' ὅλως μήτε δι' ὄψεως, μήτε διὰ γλώττης ἐκδήμου τῷ γηραιῷ προσομιλεῖν βασιλεῖ· καὶ ἦν οὐ σμικρὰ καὶ τοῦτο λύπης προσθήκη τἀνδρί » (1).

Ὅθεν ὁ Μετοχίτης ἀνακληθεὶς μετ' οὐ πολὺ ἐκ τῆς ἀδίκου ἐξορίας, δὲν κατῴκησεν ἐν τῇ ἠρημωμένῃ οἰκίᾳ αὐτοῦ (2), ὡς ὁ Καντακουζηνὸς λέγει, ἀλλ' ἐν τῇ ὑπ' αὐτοῦ ἀνακαινισθείσῃ μονῇ τοῦ Ζωοδότου τῇ καλουμένῃ τῆς Χώρας, καθὰ διηγεῖται ὁ οὐδόλως τὸν προσφιλῆ αὐτοῦ διδάσκαλον ἐγκαταλείψας Γρηγορᾶς καὶ ἐν αὐτῇ τῇ δυσμενεῖ τῆς τύχης τροπῇ (3).

(1) Ἱστορ. 428, 431, 458.

(2) Ὁ Καντακουζηνὸς (Γ', σελ. 295) μνημονεύει πολεμικῆς συσκέψεως γενομένης ἐπὶ Ἰωάννου Παλαιολόγου (1354) περὶ τῶν ἐν Θράκῃ βαρβάρων « ἐν τῇ τοῦ μεγάλου λογοθέτου οἰκίᾳ τοῦ Μετοχίτου », μὴ λέγων ὅμως ἂν αὕτη ἀνῆκεν ἤδη εἰς τὸ κράτος ἢ τοὺς ἀπογόνους τοῦ Θεοδώρου.

(3) Ἡ μονὴ αὕτη περισώζεται ἄχρι τοῦδε ἐν Βυζαντίῳ μεταβεβλημένη εἰς τέμενος ὀθωμανικὸν Καχριὲ Τζαμὶ καλούμενον, ἐν τῇ συνοικίᾳ Σαλμᾶ Τομπρούκ. Ἐν τῷ νάρθηκι ἐζωγράφηται διὰ μωσαίου ἡ εἰκὼν τοῦ Θεοδώρου Μετοχίτου, φέροντος τὸ τῆς κεφαλῆς κάλυμμα ἐν σχήματι ἀπαραλλάκτῳ πρὸς τὰ καλπάκια, ἅτινα πρὸ τῆς ἑλληνικῆς ἐ-

Καθειργμένος ἐν τῇ μονῇ τῆς Χώρας, καὶ οὔτε πρὸς τὸν ἐπίσης αἰχμάλωτον αὐτοκράτορα δυνάμενος νὰ συγκοινωνῇ ὁ Μετοχίτης, κατεγίνετο μελετῶν, συγγράφων καὶ περὶ τὰ θεῖα ἀσχολούμενος (1). Ὅταν δ' ἐξ Ἰταλίας ἦλθεν εἰς Βυζάντιον Βαρλαὰμ ὁ Καλαβρός, ἀνὴρ πεπαιδευμένος πλὴν καὶ δημεγέρτης ἐπικίνδυνος, ὁ Θεόδωρος μετὰ τοῦ Γρηγορᾶ ἤλεγξαν τὴν

παναστάσεως ἔφερον ἐν Κωνσταντινουπόλει οἱ εὐγενεῖς καὶ πρόκριτοι ραγιάδες, οἷον τραπεζῖται, ἔμποροι, ἀρχηγοὶ συντεχνιῶν, ψάλται κλπ. Τὸ κάλυμμα τοῦτο ἦν δῶρον τοῦ βασιλέως Ἀνδρονίκου Β', ὡς λέγει ὁ ἀνώνυμος ποιητὴς ἐν τοῖς ἐφεξῆς στίχοις, οὓς ἀναφέρει Κωνστάντιος ὁ ἀπὸ Σιναίου·

. . . . . τὸν καλὸν Μετοχίτην
λογοθέτην μέγιστον, σοφίας λῆξιν,
φοροῦντα χρυσῆν ἐρυθρὰν τὴν καλύπτραν,
ἣν δῶρον αὐτῷ, συνανέχοντι κράτος,
ἄναξ ὁ λαμπρὸς παρέσχεν Ἀνδρόνικος.

Εὐχῆς δ' ἔργον ἤθελεν εἶσθαι, ἐάν τις τῶν ἐν Βυζαντίῳ ὁμογενῶν λογίων εὐτυχέστερος ἐμοῦ, μάτην μοχθήσαντος μετὰ τοῦ φίλου Κ. Π. Νεοκλέους νὰ λάβω ἀντίγραφον τῆς εἰκόνος, κατώρθου καὶ ἐδημοσίευε ταύτην, ὁσημέραι ὑπὸ τῆς ὑγρασίας καταφθειρομένην.

(1) Ἐν τῇ μονῇ τοῦ Ζωοδότου εἶχεν ἀποθησαυρίσει πολυτιμοτάτην βιβλιοθήκην, περὶ ἧς ἔγραφε τοῖς μοναχοῖς ἐκ τῆς ἐν Διδυμοτείχῳ ἐξορίας. « Φυλάσσοιτέ μοι τὰ ταμιεῖα τοῦ καλλίστου πλούτου, τῶν πολυτίμων βίβλων ἐν ἀσφαλεῖ, καὶ ἄσυλα πάσης ἐπηρείας ἀνώτερά τε καὶ κρείττω· τὸν μὲν ἐγὼ φθάσας ἐνεθέμην πλοῦτον τῇ μονῇ, προνοήσας πλεῖστον ἀμέλει· καὶ οὐκ οἶδ' εἰ καὶ ἄλλῃ ποι τοσοῦτον, ἔφην δ' ἄν, εἰ μὴ νεμεσητά γ' ἴσως ἦν καὶ φορτικὸν ἔδοξεν ἄν, εἰ καὶ παρὰ ταῖς ἄλλαις αὐτόθι πάσαις μοναῖς τοσοῦτον, ἅμα τῷ τοιοῦτον εἶναι καὶ ἴσως οὐ χρειωδέστατον τῇ μονῇ μόνον, ἀλλὰ καὶ ὑπὲρ τὴν ὑμῶν χρείαν λυσιτελέστατον καὶ περισπούδαστον καὶ ποθεινόν, εὖ μάλα τοι τοῖς περὶ λόγους ἔχουσι, καὶ παρὰ τῇ μονῇ τάχ' ἂν ἔστιν οἷς καὶ ἔστιν ὅτε, μᾶλλον δ' ἀεὶ τοῦδ' ἐστὶ καὶ πολλοῖς ἄλλοις ἐκτός· καὶ οὐκ οἶδα τίποτ' ἂν ἄμεινον εἴη τῆς ἐμῆς προνοίας τῇ μονῇ καὶ συντελείας φιλανθρώπευμα καὶ βιωφελέστατον ἐν παντὶ κατ' ἀνθρώπους ἢ φιλοτίμημα ταύτη κα

ἀδολεσχίαν αὐτοῦ, ὡς φαίνεται, ἐν τῷ ὑπὸ τοῦ τελευταίου συγγραφέντι διαλόγῳ **Φλωρεντίῳ** (1), ἐν ᾧ παρίσταται συζητῶν ὁ Μετοχίτης ὑπὸ τὸ πλαστώνυμον Μητρόδωρος.

Τῇ 13 φεβρουαρίου (1332) ἀπεβίωσεν ὁ πολύτλας αὐτοκράτωρ Ἀνδρόνικος, Ἀντώνιος ἐν τῷ μοναχικῷ σχήματι μετονομασθείς· μετὰ ἕνα δὲ μῆνα παρηκολούθησεν αὐτῷ καὶ ὁ πιστὸς πρωθυπουργός, Θεόληπτος ἐν τῷ αὐτῷ σχήματι μετονομασθείς. «Ἐκεῖθεν, ἐπιλέγει ὁ Γρηγορᾶς, ἡμέραι τριάκοντα μεταξὺ παρερρύησαν καὶ ὁ μέγας τετελεύτηκε λογοθέτης ὁ Μετοχίτης, τρισὶ μεγίστοις δεινοῖς κυριευθεὶς τότε σῶμα καὶ τὴν ψυχήν· ἐπιέζετο μὲν γὰρ ἐκ πολλοῦ τῷ τῆς στραγγουρίας νοσήματι· κρατηθέντων δ' ἤδη καὶ τῶν υἱέων εἰς δεσμωτήριον κραταιότερον εἰργάσατο καὶ ἐντεῦθεν λύπη τὸ τοῦ πάθους δριμύ· ἐκ τοῦ σύνεγγυς δὲ καὶ ὁ τοῦ βασιλέως ἐπελθὼν θάνατος καὶ βεβαίαν κομίσας αὐτῷ τὴν τῶν ὅλων ἀπόγνωσιν ἀνίσχυρον ἐς τέλος τὴν φύσιν πεποίηκε, χαλάσας τοὺς τόνους τῶν κυριωτέρων ὀργάνων καὶ τὰς ζωτικὰς παραλύσας δυνάμεις· ὅθεν τὸ μοναδικὸν ὑπελθὼν σχῆμα μετήλλαξεν. Ἐπεὶ δὲ μέρος κἀγὼ τῶν ἐκεῖνον θρηνούντων θερμῶς, ὡς εἰκός, ἐγιγνόμην, παρελθὼν μονῳδίαν διῆλθον τοιαύτην.

«Ἐμοὶ δέ, ὦ παρόντες, ταὐτόν τι συνέβη παθεῖν, ὥσπερ ἂν εἴ τις ναῦς ἐξαίφνης ἐναντίοις ἐντετυχηκυῖα τοῖς πνεύμασιν, ἐπὶ πρύμναν ἐκινδύνευσε καταδῦναι· ἔπειτα πρὶν ἢ δυνηθῆναι

παράδοξον ἅμα καὶ σεμνῷ καὶ κοσμίῳ καθ' ὑμᾶς ἢ τὸ χρῆμα τοῦτο, καὶ ἡ πολυέραστος αὕτη τὸν ἀεὶ χρόνον οὐσία, καὶ ὁ μὴ δαπανώμενος κἂν εἰ μάλιστ' ἐκφέροιτο καὶ πρὸς πολλοὺς θησαυρός· ἔγωγέ τοι τῇ παρασκευῇ ταύτῃ καὶ ταμειουχίᾳ καθ' ὑμᾶς μάλιστ' ἐν ἐμαυτῷ χαίρω μεμνημένος.» Κώδηξ Βιέννης φύλ. 338.

(1) Boivini vita Gregorae XXIII, ἐκδ. Βόννης. Κατὰ Nicolai (Gesch. Griech. Liter. II, σελ. 660) ὁ διάλογος οὗτος ἐδημοσιεύθη ὑπὸ A. Γιὰν (Jahns Archiv, X, 485-536, XI, 387-92).

στῆναι καλῶς, ἕτερον ἐπιδραμὸν ἐκ πλευρᾶς κλυδώνιον, ὑποβρύχιον ἠνάγκασε ταύτην γενέσθαι· πρὶν γὰρ τὴν προτέραν καὶ μεγίστην ἐκείνην τοῦ βασιλέως ἀποτινάξασθαι συμφορὰν, ἑτέρα μοι σήμερον αὕτη ἐπιδραμοῦσα, καθάπερ ἐπὶ κλύδωνι κλύδων, κἀπιχειμῶνι χειμὼν, δεινῶς κατεβάπτισε, καὶ πρὸς ἀβύσσους πυθμένας, φεῦ! κατήνεγκε συμφορῶν. Ὦ πῶς οὐκ εὐθὺς ἀπέπτης ψυχή, ἀλλ' ἔτι τῷ δυστήνῳ τούτῳ παρέμεινας σώματι; Ὦ πῶς οὐχ ὑπὸ τῶν ἀλγεινῶν διερράγη μοι τὸ σῶμα, ἀλλ' ἀντέχειν ἔτι δύναται πρὸς τοσαύτας κυμάτων ἐπαγωγάς; ὦ δυστυχής μοι γλῶττα, οἵας σοι τὰς μονῳδίας ὁ χρόνος ἐταμιεύσατο; φεῦ τῆς τῶν δεινῶν συνεχείας· βαβαὶ τῆς ἐναλλαγῆς τῶν πραγμάτων· οὓς γὰρ ἀεὶ κατὰ τῶν συμφορῶν προβόλους εἴχομεν ἀρραγεῖς καὶ λαμπροὺς παρηγόρους, οὗτοι στρατεύματα συμφορῶν ἐφ' ἡμᾶς ὁπλίζουσι σήμερον· ἡμεῖς δὲ καρτεροῦμεν ἔτι, καὶ μονῳδεῖν ἀνεχόμεθα! Ποῦ σοφῶν συναυλίαι, καὶ λογίων ἅμιλλαι, καὶ σεμνὰ παλαίσματα; ποῦ ῥητόρων πανηγύρεις, καὶ κρότοι, καὶ θέατρα, πολλῷ τῶν παναθηναίων ἐκείνων λαμπρότερα; φροῦδα τὰ πάντα, κόνις ἅπαντα! Ὦ κάκιστε χρόνε; πῶς ἐκ μέσης ἠνέσχου τῆς οἰκουμένης τὴν τῆς σοφίας μητρόπολιν ἐξελεῖν ἀπηνῶς; πῶς τὴν τῶν λόγων καθεῖλες ἐπιβουλεύσας ἀκρόπολιν; πῶς οὕτω νεανιεύῃ καθ' ἡμῶν συνεχῶς, μήτε τινὰ οἶκτον λαμβάνων, μήτε κορεννύμενος ὑπὸ τῆς τρυφῆς τῶν δεινῶν; Χθὲς ἀφεῖλες ἡμῶν τὸν μέγιστον βασιλέα, σήμερον τὸν δεξιὸν ὑπηρέτην, τὸν Νέστορα τὸν βουληφόρον, τὸν μόνον τοσούτῳ βασιλεῖ δυνάμενον ἐξαρκεῖν· χθὲς τὸν τῶν Χαρίτων θάλαμον, σήμερον τὰ τῶν Χαρίτων προπύλαια· χθὲς τὸ ἔαρ τῶν ἀγαθῶν, σήμερον τὴν τοιοῦτον ἔαρ ἀγγέλλουσαν χελιδόνα· χθὲς τὸν μέγαν καὶ ἀπαράμιλλον νοῦν, σήμερον τοῦ τοιούτου νοῦ τὸν ἐναρμόνιον κήρυκα· χθὲς τῆς χρυσῆς καὶ μεγάλης γλώττης τοὺς λόγους, σήμερον τὴν ἀκαδημίαν, καὶ τὸν περίπατον, καὶ τὴν στοὰν ἐκείνης τῆς γλώτ-

της, κἀκείνων τῶν λόγων· χθὲς τὰς Μούσας, σήμερον τὸ ζῶν καὶ κινούμενον μουσεῖον· χθὲς τῆς εὐσεβείας καὶ τῶν δογμάτων τὸν κράτιστον πρόβολον, σήμερον τὴν δογματικὴν πανοπλίαν· χθὲς τὸν τῆς ἱερωσύνης κανόνα τε καὶ τὴν στάθμην, σήμερον τὴν ἱερὰν ὁπλοθήκην. Ἀλλ' ὦ πόσοι κλαυθμοὶ καὶ στεναγμοὶ συνεληλυθότες εἰς ἓν ἐξισωθῆναι δυνηθεῖεν ἂν τοῖς νῦν κατασχοῦσιν ἡμᾶς πάθεσιν· οἶμαι γάρ, οἶμαι, ἂν θάλασσα μὲν ἅπασα μεταβάλῃ πρὸς φύσιν δακρύων, ποταμοὶ δ' αὖ ὁπόσοι τὴν γῆν περικλύζουσι πρὸς δακρύων τράπωσι φοράν, οὐδ' οὕτως ἂν ἱκανῶς δειχθείη τὸ μέγεθος ὅσον τῶν νῦν συμφορῶν. Ἐκεῖνος ἦν ὁ τῆς ἡγεμονικῆς τῶν Ῥωμαίων ὁλκάδος ἄριστος κυβερνήτης· οὗτος ὁ τὴν ἑλίκην καὶ τὸν πόλον διασκοπούμενος ἄριστα· ἐκεῖνος ὁ τὰς αἰθρίας, καὶ τὰ νέφη τῶν πόλεων, καὶ τοὺς ἐκεῖθεν χειμῶνας προβλέπων· οὗτος ὁ τὰ ἱστία, καὶ τοὺς κάλως, καὶ τὰ πρυμνήσια διατιθέμενος εὖ· ἐκεῖνος ὁ τῆς φρονήσεως πρύτανις· οὗτος ὁ τῆς φρονήσεως ἐκείνου διανομεὺς δεξιός· ἀλλ' ἄμφω νῦν ὁ θάνατος ὀξέως ἐπιδραμών, ὁ δυσμενὴς ὁπλίτης, φεῦ τοῦ πάθους! εἰς γῆν καὶ κόνιν κατέχωσεν. Ὢ πῶς, οὐ γῆν μόνον, ἀλλ' ἤδη καὶ αὐτοὺς οὐρανούς, καὶ ἀστέρας, ὀξέως τὰ νῦν περιέδραμε πάθη, καὶ αὐτῆς τῆς ἀνωτέρας ἁψάμενα λήξεως. Ἀλλὰ δεῦρο δή μοι πᾶς ὁ τῶν λειπομένων σοφῶν χορός, εἴπερ τινὲς λείπονται, θρηνήσατε τὴν πηγὴν τοῦ λόγου φραγεῖσαν· θρηνήσατε σιγῶσαν τὴν πάνυ τοι ἐμμελῶς ἀττικίζουσαν πρότερον γλῶσσαν, καὶ τὸ γλυκὺ νέκταρ ἐκείνης ἀθρόως εἰς γῆν καταρρεῦσαν· θρηνήσατε στόμα ἐκεῖνο, ὃ χθὲς μὲν καὶ πρότερον οἱονεί τι σίμβλον κατεφαίνετο μέλιτος, νῦν δὲ θανάτου κηφῆνες διέφθειραν· θρηνήσατε τὸν τὸ Ῥωμαίων κλέος τῇ σοφίᾳ σεμνύνοντα πλέον, ἢ τὸ τῶν Ἀθηναίων πάλαι Σωκράτεις, καὶ Πλάτωνες· θρηνήσατε τοὺς τῆς σοφίας κρατῆρας ἁπάσης, ἐν βραχεῖ κενωθέντας εἰς γῆν. Ἀλλ' ὦ τίς ἐκ μέσης τῆς οἰκουμένης τὸν τῶν Μουσῶν ἀφήρπασεν Ἑλικῶνα; τίς τὸν τῆς σοφίας κα-

Digitized by Google

τέχωσεν Ὄλυμπον; τίς τὸν λύχνον ἔσβεσε τὸν φωτίζοντα τοὺς ἡμῶν τῆς ψυχῆς ὀφθαλμοὺς καὶ καλῶς ἡμῶν τὸ τοῦ νοῦ διανοίγοντα βλέφαρον; τίς τὴν τέχνην τῶν τεχνῶν, καὶ τὴν τῶν ἐπιστημῶν ἐπιστήμην διέφθειρε; τίς τὸν οὐράνιον ἄνθρωπον εἰς ᾅδου πυθμένας κατήνεγκε; Πάλαι γε μὴν ἡ Ἑλλὰς τὴν τῶν λόγων ἑστίαν ἐθρήνησε τὰς Ἀθήνας, ὁπότ' ἐπιβούλως δραμὼν καθεῖλεν αὐτὰς ὁ Λακεδαιμόνιος Λύσανδρος· ἡμεῖς δ' οὐδ' ἀξίως θρηνεῖν ἔχομεν σήμερον ὅλας Ἑλλάδας αὐταῖς Ἀθήναις συγκαταδύσας· πάντα γὰρ εἷς ἀνὴρ οὗτος ἦν· ὦ Μοῦσαι, καὶ λόγοι καὶ ἀρεταὶ καὶ πᾶσα παιδεία, πῶς τὰ κρίνα ταχέως οὑτωσί πως ἐμιμήσασθε τοῦ ἀγροῦ, ὀξέως μὲν πρὸς ὕψος καὶ κάλλος ἀρθέντα, ὀξύτερον δ' αὖ καταδύντα πρὸς μαρασμὸν καὶ φθοράν; τὸ γὰρ θεῖον ὑμῶν ἀνάκτορον, τὸ μέγα καὶ περιβόητον ὑμῶν ἐνδιαίτημα, ὑπὸ γῆν καὶ φθορὰν νῦν κατελθὸν, καὶ τὸ ὑμέτερον συγκατέχωσε κάλλος· οὗτος ἦν ὁ πάντας ὑπερφωνήσας φιλοσόφους καὶ ῥήτορας, ὁπόσους ὁ μακρὸς ὕμνησε χρόνος· ἀλλ' οἴμοι, κεῖται νῦν ἐν κόνει καὶ χώμασιν, ἄφωνος· οὗτος ἦν ὁ τῷ νῷ καὶ τῇ γλώττῃ διαμετρῶν οὐρανὸν καὶ ἀστέρας βέλτιον ἢ κατὰ πάντα κανόνα καὶ στάθμην ἀνθρώπων· ἀλλὰ νῦν βραχὺς αὐτὸν διεμέτρησε λίθος· οὗτος ἦν ἡ τῶν μεγάλων οὐρανοῦ καὶ γῆς ὁριζόντων καὶ παραλλήλων ἀρίστη διόπτρα· οὗτος ὁ κράτιστος καὶ αὐτοφυὴς ὡροσκόπος· ἀλλὰ νῦν αὐτὸν καὶ πρὸ τῆς ὥρας, φεῦ τοῦ δεινοῦ! βραχὺς ὁρίζων τῆς γῆς περιείληφεν· οὗτος ἦν ὁ πολλὴν ἐνδειξάμενος πρόνοιαν τῶν ἑξῆς ἐλλογίμων Ἑλλήνων, ὡς μὴ διακινδυνεύοιεν περὶ τὰς κρίσεις τῶν πάλαι σοφῶν· οὗτος ὁ ῥᾳδίαν τὴν τῆς ἀστροθεάμονος ἐπιστήμης σοφίαν πεποιηκώς· οὗτος ὁ τῆς Ἀριστοτελικῆς γλώττης τὰς λαβυρίνθους ἁπλώσας· ἀλλὰ νῦν αἱ ζοφώδεις τοῦ τάφου λαβύρινθοι πικρῶς περὶ αὐτόν, φεῦ! ἐξελίσσονται· οὗτος ὁ τῆς ἀρίστης αἰδοῦς καὶ τῆς σωφροσύνης κανών· ἀλλὰ νῦν αὐτὸν ὁ θάνατος ἀναιδῶς ἐξέτεμε δραμών· ὦ πῶς ὁ παρὼν οὗτος χρό-

Digitized by Google

νος ἐν βραχὺ πάντας ἀθρόους τοὺς πάλαι χρόνους τοῖς θρήνοις νενίκηκε; πολλοὺς γὰρ ἀμείψας ἡλίους τοσαύτην ζημίαν καθ' ὅλης τῆς ἀνθρωπίνης ἐπενεγκεῖν φύσεως μέχρι νῦν οὐ δεδύνηται· νῦν δ' ἐφ' ἡμῶν ῥᾷστα δεδύνηται· χθὲς μὲν γὰρ τὰ πρῶτα καὶ μέγιστα τῶν καλῶν ἐλθὼν ἀφείλετο, τὰ δὲ λειπόμενα σήμερον ἐπανελθὼν προσαφείλετο· χθὲς τὸν τῆς γῆς ἥλιον γῆς πυθμέσιν ἀπέκρυψε· νῦν δὲ καὶ τὸν ἑωσφόρον ὁμοῦ συναπέκρυψε· χθὲς τὴν μουσικὴν ἀνεῖλεν ἁρμονίαν, σήμερον τὴν μαγάδα καὶ τὰς νευράς. Ὦ πῶς ὁ σιγῶντας τοὺς οὐρανοὺς εὑρηκὼς ἐκ πολλοῦ, ἔπειτα τὴν τοῦ θεοῦ διηγεῖσθαι δόξαν αὐτὸς παρεσκευακώς, νῦν ἐν τάφῳ σιγᾷ· ὢ πῶς νεκρὸς ὢν αὐτὸς (φεῦ τῆς ἐμῆς συμφορᾶς) κινούμενόν τε καὶ ζῶν ἐμοὶ παραπέμπει τὸ πάθος, ὅλην τὴν ἡμέραν τὴν ἐμὴν κατατέμνον καρδίαν, ξίφους παντὸς χαλεπώτερον· μᾶλλον δὲ καὶ νύκτας ὅλας, εἰ χρὴ τὸ μεῖζον εἰπεῖν· ἡμέρας μὲν γὰρ καὶ τῶν ἐντυγχανόντων ὁμιλίαι συχναί, καὶ κάλλος οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν τούτοις κτισμάτων, ἴσως ἀφέλκουσί τε τοῦ πάθους καὶ ἀποσπῶσιν ἐπὶ βραχὺ τὸν ἡμέτερον νοῦν· νυκτὸς δὲ σχολῆς γενομένης ἤδη κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, αἱ πᾶσαι τῶν συμφορῶν ἀλγηδόνες ἀθρόαι δραμοῦσαι, καὶ τὴν ἐμὴν μετὰ τῆς μνήμης καρδίαν συνειληφυῖαι, καθάπερ τινὲς κύνες ἄγριοι σῶμα πεπτωκὸς ἔνθεν κἀκεῖθεν πικρῶς περιέλκουσι, φεῦ, καὶ συμπνίγουσιν· ὢ πῶς πολλάκις ἐς αὐτὸν ἔγωγε ἀπιδών, σοφίας ἁπάσης ἐπιδημίαν ἐς ἀνθρώπους αὐτὸν εἶναι ἐνόμισα, ψυχὴν καὶ σῶμα προσειληφυίας, καὶ συνδιαιτωμένης ἀνθρώποις, ἵνα σοφοὺς ἀκροατὰς συνετίσῃ καὶ τὰ τῆς ἐπιστήμης καταστορέσῃ ναυάγια· ὢ πῶς μετεμψύχωσίν τινα δοξάζειν καὶ αὐτὸς κεκινδύνευκα ἐπ' ἐκείνῳ γενέσθαι, καὶ πάντων ὁμοῦ τὰς ψυχὰς Ὁμήρου, καὶ Πλάτωνος, καὶ Πτολεμαίου, καὶ ὅσοι ῥητορεύουσαν πεπλουτήκασι γλῶσσαν, ἐν ἑνὶ τῷ τούτου σώματι συνδραμεῖν, καὶ διατρίβειν αὖθις ἐν βίῳ, καθάπερ ὁλκάδι μυριοφόρῳ χρωμένους αὐτῷ. Ἀλλὰ

Digitized by Google

νῦν ὁ τοσοῦτος καὶ τηλικοῦτος, φεῦ τῆς ἐμῆς συμφορᾶς, ᾤχετο ἀπιὼν εἰς τάφον καὶ κόνιν, πολὺν τὸν τῆς λύπης ἀνάψας πυρσὸν κατὰ τῆς ἐμῆς καρδίας· οὐ γὰρ ἠδύνατο ζῆν ἄνευ ψυχῆς καὶ πνοῆς· ψυχὴ δὲ πάντως αὐτοῦ καὶ πνοὴ καὶ πᾶν εἴ τι ζωογονεῖν ἐπεφύκει οὐχ ἕτερον ἦν τῶν ἁπάντων αὐτῷ, ἢ βασιλεὺς ὁ θεῖος ἐκεῖνος καὶ ὑπὲρ ἄνθρωπον ἄνθρωπος· ὅς κα ζῶν ἔτι ἐξαίρειν ἠπείγετο πολλῷ τῶν ἄλλων αὐτόν, δεικνὺς ἐναργῶς, ὡς τοσούτῳ βασιλεῖ, τοσοῦτον εἶναι καὶ τὸν ὑπηρέτην χρεών· τῷ φρονιμωτάτῳ δηλαδὴ τῶν ὅσοι τὴν γῆν διενείμαντο ἄνθρωποι, τὸν πάσῃ σοφίᾳ πάντων ἐπέκεινα χρώμενον· καὶ νῦν δ' αὖ τῶν ἐντεῦθεν ἀπαλλαγεὶς οὐκ ἔκρινε δεῖν ἀπηρτῆσθαι τοῦτον ἐπὶ τοσοῦτον αὐτοῦ· καὶ μέντοι ταχέως προσκαλεσάμενος, ταχέως καὶ προσειλήφει· εἰ μὲν δὴ οὖν ἀπελθόντος ἐκείνου ζῆν οὗτος οὐκ ἠδύνατο, καθάπερ σῶμα ψυχῆς ἀπερρωγός, βαβαὶ τῆς συμπνοίας τε καὶ τῆς μίξεως, ἣν εἰς ἄρρηκτόν τινα τὸν δεσμὸν ἡ μακρὰ συνήρμοσε σχέσις. Εἰ δὲ καλέσαντος ἐκείνου ἔδραμε παραχρῆμα ῥίψας τὸ σῶμα, βαβαὶ τῆς ἀγάπης καὶ τῆς στοργῆς, ἣν προσηκόντως ἔσχε πρὸς τὸν δεσπότην. Ἡρακλῆς μέν τοι ἐκεῖνος, εἰ δὴ τὰ ὄντα εἰρήκασιν οἱ τῶν μύθων ἐνταῦθα πατέρες, πᾶσαν διέδραμε τὴν ὑφ' ἥλιον, ὡς ἂν μάρτυρα τῶν οἰκείων ἅπασαν κτήσηται ἄθλων· οὗτοι δ' ἐντὸς ὅρων μένοντες μόνῃ τῇ βελτίστῃ φήμῃ καὶ τὰς Ἡρακλείους διέβησαν στήλας, καὶ ῥᾷστα πᾶσαν ἀνηρτήσαντο τὴν ὑφ' ἥλιον· ἀλλὰ νῦν ἐξ ἀνθρώπων ἀπῆλθον ἀθανατίσαντες πρότερον ἑαυτοὺς καὶ μνήμην καταλιπόντες ζῶσαν διηνεκῶς ἐν ταῖς τῶν ἐπιγινομένων ἀνθρώπων ψυχαῖς. Ἡμῖν δὲ τοιούτων καὶ τοσούτων προβόλων καὶ στηριγμάτων οὑτωσὶ στερηθεῖσι, τίς ἐλπὶς λείπεται τἀγαθοῦ; ταὐτὸν γάρ τι καὶ ἡμῖν νῦν ἔπεται δεδιέναι, ὅπερ ἄμπελοι καὶ φυτὰ νεογνά, ἐπειδάν τις ἐπιβούλως τοὺς κύκλῳ περιβόλους τε καὶ φραγμοὺς καθελών, μηλόβοτον καταστήσῃ τὸν χῶρον· ἀλλὰ γὰρ εἴρηται κἀμοὶ τῆς

μὲν ἀξίας, ὦ παρόντες, πάντως ἔλαττον· τῆς δὲ τῶν ἄλλων προθυμίας ἴσως οὐκ ἔλαττον· ἡ μὲν γὰρ ἀξία τῆς ἐκείνου γλώττης ἐδεῖτο· ἡ δὲ προθυμία γνώμης τῆς ἐμαυτοῦ (1).

« Τούτων οὕτω λεγομένων πολὺς πρὸς τῶν συγγενῶν ἐγίνετο θρῆνος· εἶναι δὲ τὸν ἄνδρα συνέβαινε τὰ ἐς ψυχὴν ἀγαθὸν μὲν καὶ σώφρονα ἐν τοῖς μάλιστα· ἐρρωμένον δὲ τὸ σῶμα καὶ πάντα σύμμετρα κεκτημένον, ὥσπερ ὑπὸ κανόνι καὶ στάθμῃ τῆς φύσεως τελεσιουργησάσης αὐτῷ τήν τε ἡλικίαν ὁμοῦ πᾶσαν καὶ αὖ καθ' ἕκαστα τῶν μελῶν καὶ μερῶν· ἐπιτρέπειν δ' αὐτῷ καὶ ἱλαρότητα ὄψεως μετά τινος σεμνοῦ μειδιάματος καὶ ἦθος γαληνὸν καὶ εὐπρόσιτον· φιλότιμον δ' εἶναι τὰ ἐς λόγους μᾶλλον ἢ πάντα χρήματα· ἐχορήγει γὰρ αὐτῷ πολλὴν τὴν ὁρμὴν καὶ ἡ τῆς διανοίας ὀξύτης καὶ τὸ τῶν νοημάτων γόνιμον· τὴν δὲ πρὸς τὰ θεῖα διάπυρον εὐλάβειαν καὶ εὐσέβειαν ὁμότροπον εἶναι καθάπαξ τῷ τελευτήσαντι βασιλεῖ (2). »

Ἐπὶ τοῦ τάφου τοῦ θρηνουμένου διδασκάλου αὐτοῦ ἐχά-

(1) Τὸν ἐπιτάφιον τοῦτον λόγον ἐδημοσίευσεν ἐξ ἰδιαιτέρου χειρογράφου μετά τινων παραλλαγῶν ὁ Μεούρσιος.

(2) Γρηγ. Ἱστορ. Α' 474-481. — Ἐν χειρογράφῳ τῆς Μαρκιανῆς (cod. LXXIX) προτάσσονται ὑπὸ τοῦ ποτὲ κτήτορος αὐτοῦ Μελιτηνιώτου τὰ ἑξῆς σημειώματα περί τε τοῦ θανάτου τοῦ Μετοχίτου καὶ τῆς πρὸς τοὺς Μελιτηνιώτας καὶ Ῥάλλεις συγγενείας αὐτοῦ.

« † Κατὰ τὴν ιγ' τοῦ φευρουαρίου τῆς ιε' Ἰνδικτιῶνος ἔτους ͵ςωμ' κοιμήθη αἰφνιδίως ὁ ἐν βασιλεῦσιν ἀοίδιμος, φιλόχριστος, ἐκ θεοῦ ἐστεμμένος καὶ ἡγιασμένος μέγας βασιλεὺς Ἀνδρόνικος Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος, μετονομασθεὶς Ἀντώνιος μοναχός· ὅτε καὶ οἱ ἀρχιερεῖς ὀφείλοντες εἰπεῖν ἐν τῇ κηδείᾳ αὐτοῦ νεκρώσιμον εὐαγγέλιον κατὰ τὸ θος, εἶπον τό, Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους, καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστιν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. Κἀν ἐγὼ μαρτυρῶ.

ραξεν ὁ Γρηγορᾶς καὶ τὸ ἑξῆς ἐπίγραμμα (1).

Ὅς πόρος ἐν σοφίῃ μέγα κῦδος ἔην γε θνητῶν,
βαιὸς ὧδε λᾶας τοῦ γε κέκευθε νέκυν·
Δῆμος σεπτῶν Μουσάων ὀλολύξατε πᾶσαι·
ὤλετο κεῖνος ἀνήρ, ὤλετο σοφίη πᾶσα (2).

Οὐ μόνον δ' ἐν τῷ ἐπιταφίῳ λόγῳ καὶ τῷ ἐπιγράμματι ἐγκωμιάζει ὁ Γρηγορᾶς τὸν Μετοχίτην, ἀλλὰ καὶ ἀλλαχοῦ τῶν Ἱστοριῶν αὐτοῦ, λέγων· « Σώματος γὰρ μεγέθει καὶ μελῶν καὶ μερῶν συμμετρίᾳ καὶ ὀφθαλμῶν ἱλαρότητι πάντας εἷλκε πρὸς ἑαυτὸν ὀφθαλμούς· φύσεως δ' εὐμοιρίᾳ πρὸς λόγους καὶ καρτερίᾳ πρὸς πόνους καὶ μνήμης ὑγιείᾳ καὶ καθαρότητι σοφίας ἁπάσης ἐς τὸ ἀκρότατον ἤλασεν· οὕτω δ' εὔπορος ἦν ἅπαντα

» † Κατὰ τὴν ιγ' τοῦ μαρτίου μηνὸς τῆς αὐτῆς ἰνδικτιῶνος τοῦ αὐτοῦ ἔτους, ἐκοιμήθη ὁ μέγας λογοθέτης Θεόδωρος ὁ Μετοχίτης ὁ σοφώτατος, ὁ θεῖός μου, μετονομασθεὶς Θεόληπτος μοναχός.

» † Κατὰ τὴν γ' τοῦ νοεμβρίου τῆς α' ἰνδικτιῶνος τοῦ ˏςμωα ἔτους ἐκοιμήθη ἀώρως πάνυ καὶ αἰφνιδίως ὁ αὐθέντης μου ὁ πατήρ μου κῦρις Ἰωάννης ὁ Μελιτηνιώτης, ἡμέρᾳ τρίτῃ.

» † Κατὰ τὴν — τοῦ αὐγούστου τῆς τρίτης ἰνδικτιῶνος ˏςωμ' τρίτου ἔτους ἐκοιμήθη ὁ παναγιώτατος αὐθέντης καὶ θεῖός μου Μακάριος μοναχὸς ὁ Μελιτηνιώτης.

» † Κατὰ τὴν κδ' τοῦ φευρουαρίου τῆς δ' ἰνδικτιῶνος τοῦ ˏςωμδ' ἔτους, ἡμέρᾳ σαββάτῳ τοῦ τιμίου Προδρόμου, ἐκοιμήθη μετὰ πολλῆς νόσου ὁ ποθεινότατός μου ἀδελφὸς κῦρις Νικόλαος ὁ Μελιτηνιώτης μετονομασθεὶς Νεόφυτος μοναχὸς κ' χρόνου ὑπάρχων.

» † Κατὰ τὴν κζ' τοῦ αὐτοῦ, τῆς αὐτῆς ἰνδικτιῶνος, τοῦ αὐτοῦ ἔτους, ἐκοιμήθη ἡ κυρία καὶ θεία μου ἡ Μεσοποταμίτισσα Σωφροσύνη μοναχή.

» † Κατὰ τὴν — τοῦ ἀπριλίου τῆς ε' ἰνδικτιῶνος τοῦ ˏςωμε' ἔτους, ἐκοιμήθη ἡ γλυκυτάτη μου ἀδελφὴ κυρὰ Εἰρήνη ἡ Γλάβαινα ἡ ὡραία, χρόνων —.

» † Κατὰ τὴν ζ' τοῦ ἰανουαρίου τῆς ς' ἰνδικτιῶνος τοῦ ˏςμως' ἐκοιμήθη ὁ αὐθέντης μου ὁ γαμβρὸς Κομνηνὸς κῦρις Μανουὴλ ὁ Ραούλ. »

(1) Ἱστορ. Β', σελ. 1245.

(2) Ὁ ἐκδιδοὺς Boivin διορθοῖ ὤλετο πανσοφίη.

τοῖς ζητοῦσι παλαιά τε καὶ νέα προσφέρειν ὡς ἐκ βιβλίου τῆς γλώττης, ὥστε μικρὰ ἢ οὐδὲν ἔδει βιβλίων τοῖς ὁμιλοῦσι· βιβλιοθήκη γὰρ ἦν ἔμψυχος οὗτος καὶ τῶν ζητουμένων πρόχειρος εὐπορία· οὕτω πάντας μακρῷ τῷ μέτρῳ παρέδραμεν, ὅσοι ποτὲ λόγων ἥψαντο. Ἕν τι μόνον ἴσως αὐτοῦ καταμέμψαιτό τις, ὅτι πρὸς οὐδένα τῶν πάλαι ῥητόρων ἀναφέρειν βεβούληται τοῦ τῆς αὐτοῦ γραφῆς χαρακτῆρος τὴν μίμησιν, οὐδ᾽ ἱλαρᾷ τινι καὶ μειδιώσῃ γλώσσῃ τὸ τῆς διανοίας παραμυθεῖσθαι ἐμβριθές, οὐδὲ τὸ τῆς φύσεως πάνυ τοι γόνιμον χαλινῷ τινι κατέχειν προτεθύμηται· ἀλλ᾽ ἰδιοτροπίᾳ τινὶ καὶ αὐτονομίᾳ φύσεως κατακολουθήσας χειμῶνά τινα καὶ θάλατταν γλώττης προΐσχεται· κἀντεῦθεν ἀμύσσει καὶ κνίζει τῶν ἐπιόντων τὴν ἀκοήν, καθάπερ τὴν τῶν τρυγώντων παλάμην ἡ περὶ τὸ ῥόδον ἄκανθα· ἔξεστι δὲ καὶ πᾶσι τοῖς βουλομένοις τεκμηριοῦσθαι τὴν τοῦ ἀνδρὸς ἐν τοῖς λόγοις δύναμιν, ἐξ ὧν συνετετάχει πολλῶν καὶ ποικίλης γεμόντων τῆς ὠφελείας βιβλίων· ὃ δὲ πάντων μᾶλλον θαυμάζειν ἔχοι τις ἂν τοῦ ἀνδρός, ὅτι τοσούτου πρὸς τῶν κοινῶν πραγμάτων θορύβου καὶ κλύδωνος ἐπικειμένου καὶ φροντίδων ἄλλοτε ἄλλων ἐπικλυζόντων αὐτοῦ τὴν διάνοιαν, οὐδὲν ἦν ὃ τοῦ ἀναγινώσκειν καὶ γράφειν ἀπησχόλησε πώποτε· ἀλλ᾽ οὕτως εἶχε πρὸς ἄμφω δεξιῶς, ὥστ᾽ ἐκ πρωΐας μὲν ἐς ἑσπέραν ἐν βασιλείοις τὰ κοινὰ διοικῶν ἦν οὕτως ὁλοσχερῶς καὶ ξύν γε πολλῇ καὶ ζεούσῃ τῇ προθυμίᾳ, ὥσπερ ἂν εἰ τῶν λόγων ἔξω παντάπασιν ἐτύγχανεν· ὀψὲ δ᾽ αὖθις ἐκεῖθεν ἀπαλλαττόμενος οὕτως ὅλως τῶν λόγων ἐγίγνετο, ὥσπερ ἂν εἰ σχολαστικός τις ἦν καὶ τῶν πραγμάτων παντάπασιν ἐκτός » (1).

Ἀλλ᾽ ἐκτὸς τοῦ Γρηγορᾶ καὶ ἄλλοι τῶν συγχρόνων λογίων ἐπεδαψίλευσαν τῷ Μετοχίτῃ ἐπαίνους καὶ ἐγκώμια. Θωμᾶς ὁ Μάγιστρος ἀποκαλεῖ τοῦτον « Μουσῶν Ἑλικῶνα, λόγων

(1) Α΄, σελ. 270.

ἑστίαν, φιλοσοφίας τέμενος, ῥητορικῆς ὄφελος, καὶ συμπάσης ἄλλης λογικῆς ἐπιστήμης, εἰ δὴ συντόμως εἰπεῖν, πρυτανεῖον » (1). Καὶ αὐτὸς δὲ ὁ ἥκιστα εὐμενὴς πρὸς τὸν πρωθυπουργὸν τοῦ Ἀνδρονίκου Β', Κανταχουζηνὸς λέγει. « Μετοχίτης λογοθέτης ὁ μέγας, ὃς μεσιτεύων μὲν τότε τῇ διοικήσει τῶν βασιλικῶν πραγμάτων ἦν, ἄλλως δὲ ἀγχίνους καὶ οὐ μόνον τῆς καθ' ἡμᾶς, ἀλλὰ καὶ τῆς ἔξω σοφίας εἰς ἄκρον ἐληλακώς » (2). Νικηφόρος ὁ Χοῦμνος, ὁ πρὸ τοῦ Θεοδώρου πρωθυπουργὸς τοῦ Ἀνδρονίκου, ἅμα μαθὼν τὴν ἔκδοσιν ἑνὸς τῶν ὑπὸ τούτου γραφέντων Βασιλικῶν λόγων (3) ἔγραψε πρὸς τὸν λόγιον μητροπολίτην Φιλαδελφείας Θεόληπτον. « Φήμη τὸν καλὸν Μετοχίτην καὶ φίλον ἡμῶν οὕτω δὴ καλὸν προσφάτως ἐξεργάσασθαι λόγον, ὥστε, μὴ ἄλλο τι τῶν ἁπλῶν μεγάλων, αὐτὰς δὲ μᾶλλον τὰς τοῦ βασιλέως πράξεις ὑπόθεσιν πεποιημένον πάνυ τι πάντων ὑπερκειμένην, ἀρίστως ἐπ' αὐταῖς δόξαι καὶ μάλα λαμπρῶς ἀγωνίσασθαι, καί γε μὴ τοῦ μεγέθους μηδὲ τοῦ ὕψους ἀποπεσεῖν τῶν πραγμάτων. Ταῦθ' ἡ φήμη λέγει, καθ' ἡδονὴν ἡμῖν λέγουσα καὶ σφόδρα κεχαρισμένα· οὐ γὰρ ἔστιν ὅτι μᾶλλον αὐτὸς ἢ ἐμαυτῷ ἢ τοῖς φίλοις ἂν ἐπευξαίμην, ἢ ὡς οἷόν τε μάλιστα δόξαν καὶ περὶ λόγους λαμπρὰν ἐσχηκέναι ..... Ὅθεν καὶ νῦν κατ' αὐτὸ δὴ τοῦτο γέγονέ μοι θαυμασίως ἐνευφρανθῆναι, φίλου ἀνδρὸς ἐπ' ἐργασίᾳ λόγου γενναίου περιφανῶς κηρυττομένου. Ἀλλ', ὥστε καὶ περιτυχεῖν ἡμᾶς, καὶ μὴ λεγόντων μόνον ἄλλων ἀκούειν, ἀλλὰ καὶ αὐτοὺς ἐν μέρει ᾄδειν ἐπαίνους ἁρμοζόντως τῷ λόγῳ, σὺ πρᾶξον· πράξεις δὲ πῶς; εἰ ζητήσας λάβοις καὶ παρ' ἡμᾶς πέμψεις. »

(1) Fabricii Bibliotheca Graeca, X, 413 (Harles).

(2) Ἱστορ. Α', 54.

(3) Ἡμαρτημένως ὁ Boissonade (Anecdota Nova, σελ. 126) σημειοῖ, ὅτι πρόκειται περὶ τοῦ εἰς Μιχαὴλ Παλαιολόγον ἐπιταφίου τοῦ Μετοχίτου.

Digitized by Google

Ὁ αὐτὸς δὲ Χοῦμνος γράφων τῷ Μετοχίτῃ, ἀποστείλαντι σὺν τῷ αἰτουμένῳ Βασιλικῷ καὶ ἄλλους ὑπ᾽ αὐτοῦ φιλοπονηθέντας λόγους καὶ αἰτήσαντι τὴν ἐπ᾽ αὐτῶν κρίσιν τοῦ σοφοῦ τούτου προϊσταμένου αὐτοῦ, λέγει. «Βούλει μαθεῖν καὶ γνῶναι ζητεῖς ὅπως ποτὲ τὸ βιβλίον ἡμεῖς καὶ τοὺς ἐν αὐτῷ λόγους μετιόντες, τούτοις δὴ προσανέχομεν καὶ περὶ αὐτοὺς διακείμεθα; Ἐροῦμεν ἤδη τἀληθὲς (καὶ γοῦν μάνθανε)· μεθ᾽ ὅτι πλείστης τῆς τρυφῆς, μεθ᾽ ὅτι πλείστης εὐφημίας ὀφειλομένης αὐτοῖς δὴ τούτοις τοῖς λόγοις μάλιστα, πολλῶν ἕνεκα κοσμούντων καὶ ἀποσεμνυνόντων αὐτούς· τίνων δὴ τούτων; εὐπορίας μὲν οὖν μετὰ πολλῆς δήπου γε τῆς ῥᾳστώνης, πυκνότητος ἐνθυμημάτων, δαψιλείας ὥσπερ ἐξ ἀφθόνου δή τινος ῥεούσης καὶ προσβαλλομένης καὶ προχεούσης πηγῆς· τοῦ μεγέθους ἕνεκεν τῶν νοημάτων, τῆς χάριτος τῶν ὀνομάτων, τῆς δεινότητος τῶν ἐπιχειρημάτων, τῆς ἁρμονίας, τῆς συνθήκης, τῆς πυκνῆς ἐξαλλαγῆς, τοῦ σχηματισμοῦ τοῦ ἤθους, τοῦ κάλλους, τοῦ τόνου, τοῦ δρόμου, σφαίρας δίκην ἴσης πανταχόθεν περιηγμένης, εἶτα τρέχειν κατὰ λείου καὶ πρανοῦς ἀφεθείσης, ἔτι τε τῆς εὐρυθμίας, καὶ τῆς διὰ πάντων εὐτεχνίας, καὶ τῆς ἐντεῦθεν ἡδονῆς ἐκτόπου δή τινος, τοῖς συνιοῦσι καὶ μετ᾽ ἐπιστήμης ἐπιβάλλουσιν ἐγγιγνομένης, ὡς καὶ συμβαίνειν τὸ τοῦ Ὁμήρου ἐνταῦθα μᾶλλον ἢ ἐπὶ τῆς τοῦ Νέστορος ῥητορικῆς, γλυκύτερα μέλιτος ἀπορρέειν τῆς σῆς, ἀρίστης καὶ καλλίστης, μεγαλοφώνου γλώττης, καὶ τὸ πᾶν ἀττικῆς...» (1).

Ἀλλ᾽ οἱ ὑπὸ τῶν συγχρόνων κατὰ κόρον ἐπιδαψιλευόμενοι τῷ Μετοχίτῃ ἔπαινοι, δὲν ἦσαν ἐκ τῶν τετριμμένων ἐκείνων κατὰ χάριν ἀπολυομένων ἐγκωμίων, ἀλλ᾽ εἰλικρινὴς φόρος σεβασμοῦ πρὸς τὸν μέγαν ἄνδρα, ὅστις ἐν μέσῳ τοσούτων καὶ τηλικούτων πολιτικῶν ἀσχολειῶν, οὐ μόνον δὲν ἔπαυσε καλ-

(1) Boissonade, Anecdota Nova, σελ. 126-159.

λιεργῶν τὰ γράμματα, ἀλλὰ καὶ τὰς ἐπιστήμας προήγαγεν εἰς περιωπὴν ἀνέλπιστον.

Ὡς γνωστὸν, ἕνεκα τοῦ πρὸς τὸν πλατωνισμὸν μεγάλου διαζυγίου τῆς χριστιανικῆς θρησκείας, οὐδεὶς κατὰ τὴν μακρὰν ἐκείνην τῶν μέσων αἰώνων περίοδον ἐτόλμα νὰ ἐνδιατρίψῃ ἀκινδύνως περὶ τὴν μελέτην τοῦ ὑπάτου τῶν θεωρητικῶν φιλοσόφων. Ἐν τῇ δεκάτῃ πρώτῃ ἑκατονταετηρίδι Μιχαὴλ ὁ Ψελλὸς θελήσας νὰ θίξῃ τὰς πλατωνικὰς θεωρίας ἠναγκάσθη νὰ συνθέσῃ ποίημα πρὸς δικαιολόγησιν τῶν κατ' αὐτοῦ βαρειῶν ὑπονοιῶν τῆς ἐκκλησίας. Ἡ λεγομένη σχολαστικὴ φιλοσοφία, βάσιν ἔχουσα τὸν Ἀριστοτέλη καὶ τοὺς διαφόρους αὐτοῦ ὑπομνηματιστὰς, ἦν ἡ μόνη ἐπικρατοῦσα μέχρι τῆς ΙΔ' ἑκατονταετηρίδος, ὅτε ὁ Μετοχίτης ἐτόλμησε ν' ἀναμορφώσῃ αὐτὴν, καταδεικνύων, ὅτι ἐν ἴσῃ, ἐὰν μὴ μεγαλειτέρᾳ μοίρᾳ, ἔπρεπε νὰ ἐκτιμηθῇ καὶ ἡ πλατωνική (1). Καὶ κατὰ πρῶτον μὲν συνέταξε τὰ εἰς Ἀριστοτέλη ὑπομνήματα, τὰ ὁποῖα εἰδικοὶ λόγιοι θεω-

(1) Βλέπε τὰ κεφάλαια ἐπιγραφόμενα — Περὶ τῆς ἀσαφείας τῶν Ἀριστοτέλους συγγραμμάτων — Περὶ Ἀριστοτέλους δοξοσοφίας καὶ περὶ τῶν μαθηματικῶν — Περὶ τῆς εἰς τὸν Πυθαγόραν πάντων τῶν σοφῶν εὐλαβείας, καὶ περὶ τοῦ μαθηματικοῦ — Ὅτι πᾶσι σύνηθες τοῖς σοφοῖς εἰρωνεία καὶ τὸ χαριεντίζεσθαι, καὶ Πλάτωνι μάλιστα καὶ Σωκράτει — Ὅτι ἀνευλαβῶς ἅπαντες οἱ σοφοὶ πρὸς τοὺς πρὸ αὐτῶν ἐχρήσαντο, ἐν ᾧ καὶ περὶ Πλάτωνος καὶ Ἀριστοτέλους — Περὶ Ἀριστοτέλους, καὶ τῆς εἰς τὸ φυσικὸν καὶ λογικὸν εὐδοκιμήσεως τοῦ ἀνδρὸς — Ἔτι περὶ τοῦ Ἀριστοτέλους καὶ περὶ τοῦ φυσικοῦ κατ' αὐτὸν καὶ λογικοῦ — Περὶ Πλάτωνος καὶ τοῦ μαθηματικοῦ τῆς σοφίας, καὶ μάλιστα περὶ τοῦ ἁρμονικοῦ — Περὶ τῶν Ἀριστοτελικῶν βιβλίων τῶν μετὰ τὰ φυσικὰ — Ὅτι διὰ τὸν πρὸς ῥητορικὴν πόλεμον καὶ διαλόγοις ὁ Πλάτων χρῆται — Ὅτι διὰ τὴν πρὸς Πλάτωνα μάχην σπουδάζειν ἠξίωσεν Ἀριστοτέλης περὶ τὴν ῥητορικὴν — Ὅτι οὐκ ἔξω λόγου παντάπασιν δόξειεν ἂν εἶναι τὰ τῶν Ἐφεκτικῶν ἐναντιουμένων πρὸς πᾶσαν κατάληψιν, καὶ ὅτι καὶ Πλάτων καὶ Σωκράτης ἀρχὰς εἰς τοῦτ' ἔδωκαν.

Digitized by Google

ροῦσιν ὡς μίαν τῶν καλλιτέρων μελετῶν τῶν ἀπὸ τῆς ἀρχαιότητος περὶ τοῦ Σταγειρίτου γεγραμμένων ἔν τε τῇ ἑλληνικῇ καὶ τῇ λατινικῇ διαλέκτῳ (1).

Εἶτα δ' ἐν τοῖς ὑπομνηματισμοῖς ἔγραψε πολλὰ περὶ Πλάτωνος καὶ τῆς κατ' αὐτὸν φιλοσοφίας, ἐξαίρων τὸ ἀπρόσιτον αὐτῆς ὕψος. Οὕτω δ' ἐγένετο ἀρχηγὸς σχολῆς, τῆς ὁποίας εἷς τῶν ὀπαδῶν, ὁ Πλήθων, μετὰ μίαν καὶ ἡμίσειαν ἑκατονταετηρίδα ἤγειρε τὴν μεγάλην ἐκείνην διαμάχην πρὸς τοὺς ἀριστοτελικούς, μεταχθεῖσαν καὶ ἐν Ἰταλίᾳ ὑπὸ τῶν ἐκ Βυζαντίου φυγάδων (2).

Ἀλλὰ τὸν Θεόδωρον δὲν εἶχε παρασύρει εἰς παρεκτροπήν τινα, ὡς τὸν Πλήθωνα, ὁ πρὸς τὸν Πλάτωνα ἔρως· ἀπ' ἐναντίας μάλιστα μετὰ μεγάλου σεβασμοῦ καὶ περὶ τοῦ Ἀριστοτέλους ὁμιλεῖ καὶ πολλῶν θεωριῶν τοῦ Πλάτωνος δὲν δείκνυται ὀπαδός. Ἐν τοῖς ὑπομνηματισμοῖς ἀποκαλεῖ τὸν Ἀριστοτέλην « τεχνίτην πάσης σοφίας, βουλευτὴν τῆς φύσεως καὶ πάρεδρον θαυμαστὸν ἐν τοῖς αὐτῆς φιλοτεχνήμασι καὶ ἐργασίαις, καὶ κατάπεμπτόν τινα ἡμῖν ἐπὶ τούτοις αὐτῆς διάκονον ἐπιτυχέστατα καὶ κατὰ πᾶσαν ἀλήθειαν καὶ ἀκρίβειαν περὶ τῶν αὐτῆς ἑκάστων ἀγγέλλειν, ὅπως ποτὲ ἔχει καὶ μεθ' οἵων τῶν ὑποκειμένων ἐσκεύασται. » Πρὸς δὲ τὸν ἀριστοτελίζοντα Χοῦμνον (3)

(1) Βλέπε τὰ ἐν τῇ καταγραφῇ τοῦ συγγράμματος κατωτέρω σημειούμενα.

(2) Παραδόξως οὔτε ὁ Πλήθων, οὔτε ὁ Βησσαρίων λόγον τινα ποιοῦνται περὶ τοῦ Μετοχίτου, τοῦ ὁποίου τὰ συγγράμματα εἶχον ἀνὰ χεῖρας. Περὶ Πλήθωνος καὶ Βησσαρίωνος λόγον ποιοῦμαι ἐν τῇ Νεοελληνικῇ φιλολογίᾳ.

(3) Οὗτος ἐμμένων ἐν τῇ παλαιᾷ σχολῇ διετέλει πολέμιος τοῦ Πλάτωνος καὶ τῶν νεοπλατωνικῶν, γράψας Ἀντιθετικὸν πρὸς Πλωτῖνον περὶ ψυχῆς δημοσιευθέντα ὑπὸ Kreuzer (Plotini liber de pulchritudine, Heidelbergae 1814, σελ. 407-457), ὡς καὶ ἀνέκδοτον

Digitized by Google

ἐπιστέλλει καὶ ταῦτα. «Πλάτωνος μὲν γὰρ καὶ Ἀριστοτέλους σοφίαν ὅστις μὴ μέγα καὶ μέγιστον οἴεται χρῆμα καὶ θαυμαστὸν ἢ καὶ πλέον θαυμαστοῦ, ἐν παντί γε τῷ τῶν ἀνθρώπων βίῳ, οὐ νοῦν ἔχειν ἡγοῦμαι· πάντα δὲ τὰ ἐκείνων, ὥσπερ ἐκεῖνοι φασὶ τὰ τῆς Πυθίας, ἀρκεῖν ὅτι ἐκείνοις εἴρηται καὶ δέδοκται, καὶ τούτων πλέον μήτε ζητεῖν μηδέν, μήτε προσεπινοεῖν περαιτέρω πειρᾶσθαι, μήτε προσεξευρίσκειν, ἀλλ' ἀρκεῖν νομίζειν ἐξηγητὰς καθῆσθαι, οὐκ ἄν ἔγωγε βουλοίμην ἄν, οὐδ' ὡς ἔστιν ἐπ' οὐδενὶ οὔμενουν αὐτοῖς ἀντεπεξιέναι» (1).

Ἐν τοῖς περὶ πολιτευμάτων στοχασμοῖς αὐτοῦ δὲν φαίνεται ὁμοφρονῶν τῷ καθηγεμόνι τῶν θεωρητικῶν ὁ ἐν ἄλλοις πιστὸς οὗτος τοῦ Πλάτωνος ὀπαδός. Κατ' ἀρχὴν ἐγκρίνων τὴν δημοκρατίαν, ὡς τὸ καταλληλότερον πρὸς ἐλευθέριον τοῦ ἀνθρώπου ἀγωγὴν πολίτευμα, θεωρεῖ ταύτην ἀνεφάρμοστον διὰ τὰς ὡς ἐπὶ τὸ πολὺ συμπαρομαρτούσας αὐτῇ παρεκτροπὰς τοῦ ἀχαλινώτου ὄχλου. «Καὶ ὅλως ἀνύποιστόν τι χρῆμα πλῆθος ὑπ' ἐλευθερίας ἀκράτου ἐθισθὲν ὑβρίζειν, καὶ ὄχλος ἄτακτος, ἀμαθὴς τῶν βελτίστων, ἀλόγιστος τοῦ μέλλοντος, ἀκρατὴς πάσης γλώττης, σώφρονος ἀλλότριος γνώμης, ἀπειθὴς τῶν χρησίμων καὶ λόγων καὶ ἀνδρῶν, καὶ πρὸς διαβολὰς ἕτοιμος κατὰ τῶν ὑπερεχόντων, βασκανίᾳ καὶ τῷ κατ' αὐτῶν ἀποδεικτικῶς κράτει χρώμενος, ὑπόκουφος ἐμπλήκτοις ἀνθρώποις καὶ ἀλιτηρίοις τοῦ καλοῦ καὶ τῆς δίκης καὶ τῆς πρὸς τἀγαθὸν τιμῆς αἰρόμενος

περὶ λόγων κρίσεως καὶ ἐργασίας (αὐτ. σελ. 400, 405), καὶ «ὅτι μήτε ἡ ὕλη πρὸ τῶν σωμάτων, μήτε τὰ εἴδη χωρίς, ἀλλ' ὁμοῦ ταῦτα» ἀπευθυνόμενον πιθανῶς πρὸς τὸν Μετοχίτην καὶ δημοσιευθέντα ὑπὸ Boissonade (Anec. Nov. σελ. 191-201).

(1) Ἡμαρτημένως καταγράφεται ἐν τοῖς Νέοις Ἀνεκδότοις τοῦ Boissonade (σελ. 49) ἡ ἐπιστολὴ αὕτη ὡς τοῦ Χούμνου. Σύνταγμα ὁμοίως τοῦ πλατωνίζοντος Μετοχίτου θεωρητέα καὶ ἡ ἐν τῇ αὐτῇ συλλογῇ (σελ. 177) εἰς ἐκεῖνον ἀποδιδομένη περὶ ἀστρονομίας ἐπιστολή.

καὶ κυμαίνων, καὶ ὥσπερ ὑπ' ἀγρίων πνευμάτων τοῖς εὐγενέσι καταιγίζων ἄσχετα τῶν συκοφαντῶν καὶ βδελυρῶν καὶ παμμιάρων καὶ ἀναιδῶν, ὥσπερ ὁ καικίας φασὶ τὰ νέφη κατὰ συστήματα, πρὸς ἑαυτοὺς ἑλκόντων τὰ πλήθη καὶ φυσώντων ἐπ' ὀλέθρῳ περιφανῶν ἀνδρῶν, μᾶλλον δ' ἐπ' ὀλέθρῳ καὶ δυσχρηστίᾳ τῶν κοινῶν ἀγαθῶν . . . Καὶ πλεῖστ' ἔχομεν ἐκ παλαιῶν ἱστοριῶν ἐνταῦθα μαρτυρήσασθαι, καὶ πλεῖσθ' ὁρῶμεν νέα παραπλησίως ἔχοντα, καὶ πολλὰς ἐπὶ τῆς Ἰταλίας πόλεις δημοκρατικῶς γε ἀγομένας ἐν κακοῖς οὔσας διὰ τὰ παρακολουθοῦντα ταῖς τοιαύταις πολιτείαις, ὡς εἴρηται, νοσήματα. Καὶ πολλὰς ἀποδείξεις καὶ πίστεις τούτου παρέχεται Γένουα νῦν ἐκείνη διὰ τὴν ἄκρατον δημοκρατίαν καταστασιασθεῖσα καὶ κατατετμημένη φαύλοις πολίταις, καὶ πρὸς ἐσχάτοις οὖσα κινδύνοις, καὶ πανώλειαν ἀπειλοῦσι καὶ φθορὰν πάσης ἰατρικῆς τέχνης καὶ δυνάμεως ὑπερτέραν, πόλις ὀνόματος μεγίστου κατὰ πάσης τῆς οἰκουμένης σχεδὸν πλούτῳ καὶ χρήμασι καὶ ἀνδρῶν φρονήμασι μαχίμοις καὶ τόλμαις ἀκμάζουσα, καὶ θαλαττίοις ἔργοις οὐκ οἶδ' ὡς εἴ τις ἄλλη τοῖς νῦν γε τούτοις καθ' ἡμᾶς χρόνοις κρατοῦσα, καὶ κατ' ἀντιπάλων ἔργα θαύματος καὶ παραπλήσια τοῖς παλαιοῖς ἐκείνοις ἐπιδεδειγμένη· ἀλλ' ὅμως τῇ παρατρόπῳ δημοκρατίᾳ, καὶ πάντων ἀλογίστῳ καὶ ἀορίστῳ καὶ ἀκαίρῳ φιλαυτίᾳ καὶ ἐλευθεριότητι πονήρως ἔχει, καὶ δι' οἰκείας τῶν αὐτῆς ἑκάστων ἐπιθυμίας καὶ φιλαρχίας καὶ φιλονεικίας ἀχαλινώτους καὶ ἀδαεῖς τε καὶ ἀδεεῖς τῶν ἐπὶ τῷ κοινῷ συμφέροντι νομίμων μάλιστα μὲν ἔχει πονήρως τὰ κοινὰ πράγματα ».

Τῆς δημοκρατίας προτιμῶν τὴν καλῶς ἐννοουμένην ἀριστοκρατίαν καὶ ἀπαριθμῶν τὰ ἐκ ταύτης δυνάμενα νὰ προέλθωσιν ἀγαθά, οὐχ ἧττον κινδυνῶδες θεωρεῖ καὶ τὸ πολίτευμα τοῦτο διὰ τὴν ὡς ἐπὶ τὸ πολὺ ἐπικρατοῦσαν ἀσυμφωνίαν καὶ κακοήθειαν τῶν συγκυβερνώντων. « Καὶ νῦν μὲν αὐτοὶ κατε-

ξανίστανται τῶν πολλῶν ἄκαιρα καὶ ἄδικα φιλαρχοῦντες, νῦν δ' ἐπανίστανται σφίσι τὰ πλήθη, νῦν δὲ καὶ αὐτοὶ πρὸς ἀλλήλους στασιαστικῶς ἔχουσι, κἀκ πάντων τῶν τρόπων τούτων νόμοι καλῶς ἴσως πόρρωθεν κρατοῦντες αὐτίκα τρέπονται, καὶ πάντ' ἔρρειν ἕπεται καὶ κοινά τε καὶ ἴδια· τῶν γὰρ πρώτων ἀρχῶν καὶ ὑποθέσεων διεφθαρμένων, ἀλλ' οὐκ ἐν τῷ καθεστῶτι καὶ δικαίῳ μετ' εὐεξίας διωρισμένων, ἐντεῦθεν κατὰ πᾶσαν ἀνάγκην πάνθ' ἑξῆς ἀναρμόστως ἕπεται, καὶ τελευτῶντα παντάπασιν αἴσχιστα καὶ ἐπικινδυνότατα συμπεραίνει . . . . Καὶ φθόνοι καὶ στάσεις αὐτόθεν λοιπὸν ἕπονται τῷ ἀσυμφώνῳ, καὶ τὴν ἀρχὴν ἐξ ὀλίγου ῥοπὴν ἐπὶ τὰ χείρω λαβόντα τὰ πράγματα ῥᾷστ' ἔπειτα πρόεισιν εἰς λύσιν τῆς ἡρμοσμένης καταστάσεως καὶ νομίμου, καὶ ἢ διαδίδοται τὸ νόσημα παρὰ τὸ μέρος εἰς πᾶν τὸ τῆς πολιτικῆς ἕξεως, ὥσπερ ἐν σώματι σύστημα καὶ κοινὴ πάντων ἡ τοῦ προσήκοντος ἐκτροπὴ καθορᾶται, καὶ πάντ' ἀλλάττει καὶ μεταποιεῖ τῆς καλῶς νομισθείσης ἀγωγῆς παρὰ φύσιν, ὡς εἰπεῖν, εἰς λύσιν καὶ φθορὰν διὰ κινδύνων ἀλγεινοτάτων, ἢ στασιάζειν πρὸς ἀλλήλους. Οἱ τοῖς κοινοῖς ἐφεστῶτες ἐκεῖθεν ἀρξάμενοι πολλῶν δεινῶν ἑαυτοῖς καὶ τῷ παντὶ τῆς πατρίδος αἴτιοι γίνονται, καὶ τελευτῶντες αὖθις ἐσχάτης φθορᾶς ἀντὶ σωτήρων καὶ σωτηρίας ἐπιτρόπων καὶ ἀσφαλείας ἀπὸ πάντων δεινῶν τῷ γένει καὶ τῇ τῶν πολλῶν ἀμαθίᾳ καταστάντες ἀλιτήριοι κατ' αὐτῶν, καὶ ὥσπερ πῦρ ἀνάψαντες χειροποίητον ἐπίτηδες αὐτοὶ κατ' ἐξωλείας ἑαυτῶν καὶ πάντων τῶν οἰκείων, οὓς ἐπιστεύθησαν. »

Ἐπὶ τέλους δὲ συνηγορεῖ ὑπὲρ τῆς νῦν καλουμένης συνταγματικῆς βασιλείας, διὰ πυκνῶν καὶ ἀναντιρρήτων ἐπιχειρημάτων ἀποδεικνύων, ὅτι τὸ πολίτευμα τοῦτο μᾶλλον ἁρμόζει τῷ ἀνθρώπῳ. « Βασιλικῆς δὲ μοναρχίας ἐννόμως ἐπισταπούσης, καὶ πατρικῶς μέν, ἐπιτακτικῶς δὲ καὶ ἀνευθύνως κατὰ πᾶν τὸ δοκοῦν βέλτιστον τὰ πράγματα διοικούσης, εὖ μάλα

ξυνεπομένων καὶ πειθομένων τῶν πολλῶν, ἄμεινον ἂν εἴη κομιδῇ καὶ τῷ παντὶ λυσιτελέστερον καὶ ἰδὶ ἑκάστοις, ἢ κατὰ τὰς ἄλλας πολιτείας ἁπάσας, αἳ κατ' ἀνθρώπους ὁρῶνται. Καὶ πολλή τις ἐλπὶς ἐνταῦθα βιώσεως εὐδαίμονος καὶ μετουσίας ἑκάστῳ τῆς προσηκούσης αὐτουργίας, καὶ ὡς ἄρα δέοι ἂν εὖ φέρεσθαι καὶ βιοτεύειν ἐν εὐετηρίᾳ· καὶ ῥᾷον γὰρ πολὺ τυχεῖν ἑνὸς πεφυκότος εὐγενῶς καὶ κατὰ γνώμην καὶ κατ' ἦθος, καὶ ἅμα κάλλιστ' εὐαγώγου ταῖς κατὰ τὸν βίον ἐμπειρίαις καὶ μελέταις καὶ ἀσκήσεσιν, ἢ πολλῶν ὁμοῦ τῆς αὐτῆς ἐπαινετῆς ἕξεως.... Ἀλλὰ μὴν καὶ τοῖς πειθομένοις αὐτοῖς ἑνὶ ῥᾷον ἢ πολλοῖς πείθεσθαι, καὶ καθ' ἕνα τινὰ κανόνα γνώμης ἄρ' οἶμαι καὶ ἀγωγῆς δύναιντ' ἂν ἑαυτοὺς ἰθύνειν καὶ κατορθοῦν ὁμόλογα, πρὸς πολλοὺς δ' οὐκέτι, οὐδ' ὑπὸ πολλῶν τυποῦσθαι, οὐδὲ πολλὰ μεταλαμβάνειν καὶ παντοῖα, καὶ διάφορ' ἴσως ἐνίοτε κατὰ τῆς ψυχῆς εἴδη καὶ ἤθη, καὶ ὥσπερ βαφὰς καὶ χρώματα βιοτῆς καὶ σχήματα. Καὶ ἀλλήλοις μὲν παραβάλλεσθαι πρὸς εὐπείθειαν ἡγεμόνος ἀνδρὸς ἐξαιρέτου πρὸς τὸ ἄρχειν κλήρῳ τινὶ καὶ τακτοῖς ὅροις προέχοντος καὶ δικαιώσει πάλαι κρατούσῃ, καὶ φιλοτιμεῖσθαι βέλτιον ἄλλος ἄλλου καὶ οἰκειότερον ὀφθῆναι χρώμενος, καὶ ἀπαντᾶν κατὰ χρείαν τῷ δεσπόζοντι κατὰ φύσιν, ὡς ἐρεῖν, εὖ μάλα καιρὸν ἔχειν· τὸ δ' ἁμιλλᾶσθαι πρὸς ἀλλήλους ὑπὲρ ἀρχῆς καὶ τοῦ πρωτεύειν αὐτὸς ἕκαστος ἐν κοινοῖς πράγμασιν, ὡς ἄρ' ἅπαντες πεφύκασιν ἄνθρωποι, καὶ σχεδὸν οὐδεὶς ὅστις οὔ, πάνυ τοι τοῦτ' ἐργῶδες καὶ στασιῶδες, καὶ παντοίων ὑπαίτιον κινδύνων καθ' ἑαυτῶν κατὰ τῶν κοινῶν πραγμάτων καὶ τῆς κοινῆς ἕξεως. Καὶ μὴν οὐδ' ἐστὶ τοῖς βελτίοσι καὶ ὁτιοῦν τῶν ἄλλων προέχουσιν οὐδὲν μήποτε πλέον ἔχειν, οὐκ ὄντος τοῦ καλῶς ἐπιστατοῦντος καὶ κρίνοντος, καὶ ταῖς ἀρεταῖς ἑκάστων χρωμένου κατὰ πᾶν τὸ γιγνόμενον, ἀλλ' ἀνεπισκοπήτως τῆς βιώσεως ἑκάστων καὶ προκοπῆς καὶ δοκιμασίας ἀγομένης ἁπλῶς οὑτωσί πως ἐρεῖν καὶ ἀβασανίστως,

ἐρημίᾳ πάσῃ ἐπιτροπικῆς δίκης σταθμωμένης τὰς ἑκάστων φορὰς καὶ τὸ πεφυκὸς τῆς γνώμης καὶ χρήσεως πλεῖστ' ἂν ἀνοικείως ἐνταῦθ' ἕποιτο, καὶ οὐδεμία δικαιώσεως ἐξέτασις ἀπλανὴς καὶ ἐπιγνωμοσύνη, ἐν δ' ἴῃ τιμῇ, κατὰ τὸ ποιητικόν, ἠμὲν κακός, ἠδὲ καὶ ἐσθλός· καὶ αὖθις, κάτθαν' ὁμῶς ὅ,τ' ἄεργος ἀνήρ, ὅτε πολλὰ ἐωργώς.... Ὁ περὶ τὰς κοινοπολιτείας ἐστίν, ἔνθα τὸ πάντων ἀδικώτατον, τοῦτο πάντων δοκεῖ κάλλιστον, ὁμοιότης πᾶσα πάντων ἐν τοῖς πράγμασι, καὶ μηδὲν εἶναι πλέον εἰς τιμὴν ἄλλῳ ἄλλου τῷ πάντα βελτίστῳ τοῦ πάντα φαύλου καὶ γνώμην καὶ πρᾶξιν καὶ ἦθος, καὶ πᾶσαν ἄλλην τοῦ βίου περιφανείας ἀφορμήν. Ἐν γὰρ δὴ ταῖς χώραις καὶ πόλεσι ταῖς μὴ μοναρχικῶς ἀγομέναις ἴσον τιμῆς ἀποφέρεται σκυτεὺς ἀνὴρ καὶ χαλκοτύπος καὶ κεραμεὺς καὶ οἰκοδόμος καὶ ναυπηγός, καὶ ἄλλος ὁστισοῦν βάναυσος καὶ κατὰ Κλέωνα καὶ καθ' Ὑπέρβολον καὶ κατὰ Λυκομήδην καὶ ὁντιναοῦν φαῦλον ἄνθρωπον καὶ βδελυρὸν ἢ στιγματίαν καὶ δυοῖν ὀβολοῖν ἄξιον, καὶ ὃς κατὰ Θεμιστοκλέα κράτιστός τις ἀνήρ, καὶ κατὰ Περικλέα καὶ Νικίαν καὶ κατ' Ἐπαμεινώνδαν καὶ Πελοπίδαν, καὶ ἄλλους ὧν μέγα τοῖς πράγμασιν ὄφελος, καὶ οὓς ἔδει πολλῶν, εἴπερ ἐξῆν, χρημάτων πρίασθαι πολυμήκεις εἰς τὸν βίον τῇ ζωῇ. Ταῦτά γε μὴν ἐν τῇ μοναρχικῇ διοικήσει βασιλέως ἀνδρὸς ἀγαθοῦ καὶ τῆς ἀρχῆς ἀξίου, μάλιστα χώραν ἔχει, καὶ πολλὴν ὡς ἀληθῶς τὴν τιμὴν ἡ τῆς ἀρετῆς ἐπίδειξις καὶ τὸ κράτος καὶ τὸ χρήσιμον τῆς ἀμείνονος ἕξεως. Καὶ πλέον ἐστὶ φέρεσθαι τὸν πλείονος ἄξιον καὶ ἧττον τὸν ἥττονος, καὶ μέτρα καὶ σταθμοὺς εἶναι δόξης καὶ περιφανείας μετὰ βασάνου καὶ κρίσεως πᾶν τὸ γιγνόμενον καὶ προσῆκον ἀποδιδούσης, ὡς οὐδὲν ἄρα μήποτ' ἀδικώτατον εἴη καὶ ἀναρμοστότατον, ἢ τὸ διὰ πάντων ἴσον ἐν τῷ βίῳ καὶ ἡ ὁμοιότης καὶ ἡ ὁμοτιμία, καὶ μηδ' ὁτιοῦν ἐναλλάττον κατ' ἀνθρώπους καὶ διάφορον. Καὶ ὥσπερ οὐδ' ἐν τοῖς μουσικοῖς ὀργάνοις οὐ πέφυκεν

ἁρμονίαν εἶναί τινα καὶ συμφωνίαν καὶ σύστημα ἐμμελές, ὁμοφώνων ὄντων πάντων τῶν ἐν ταῖς χορδαῖς φθόγγων ἴσην ἐχούσαις τὴν τάσιν καὶ ταὐτὸ συνηχούσαις καὶ ὅμοιον τοῖς μήκεσι τῶν φωνῶν, ἀλλὰ δεῖ πάντως, εἰ μὴ μέλλοι γελοῖον εἶναι κατὰ τομῆς κανονικὰ τοὺς ἁρμονικοὺς εἰπεῖν, διαίρεσιν εἶναι πρὸς λόγον τῶν ἐν τοῖς ὀργάνοις φθόγγων καὶ χορδῶν ἐκ βαρυτέρων εἰς ὀξυτέρους, ἢ ἀνάπαλιν, καὶ τὴν ἐναντίωσιν τῶν φθόγγων μὴ παντάπασιν εὐθὺς καὶ ἀθρόαν εἰς τὸ μακρότατον εἶναι ἐκ τοῦ βαρυτάτου δηλαδὴ πρὸς τὸ ὀξύτατον, ἀλλὰ κατ' ὀλίγον ἑξῆς καὶ κατὰ λόγον τοὺς φθόγγους ἀνίεσθαι, ἢ ἐπιτείνεσθαι ἀπ' ἄκρων εἰς ἄκρα· οὕτω μέν τ' ἂν εὖ μάλα καὶ ἁρμονίας σύστημα γένοιτο, καὶ μέλους διάθεσις σύμφωνος καὶ κάλλιστ' ἀνύσιμος κατὰ χρείαν ἑκάστοτε, καὶ οὐκ ἄλλως οὐδ' ἐξ ὁμοφώνων, ὡς ἔφην, καὶ ὅμοιον ἠχούντων τῶν φθόγγων μέλους ἡτισοῦν διοίκησις, ἀλλ' ἀναρμοστία μᾶλλον καὶ ἀηδία τὸ πᾶν τοῦθ' ὁμόφωνον. Τὸν αὐτὸν ἄρα ὡς ἀληθῶς τρόπον οὐδὲν ἀνθρώποις ἔσται συμβιώσεως ἁρμονία καὶ συμφωνία κοινωνική, καὶ ἐμμελῶς καὶ μουσικῶς ἔχουσα πολιτεία, ὅτι μὴ ἐκ διαφόρων κατὰ λόγον διῃρημένη καὶ κατατετμημένη βαθμοῖς οἰκείοις τῶν ἕξεων. Ἁρμονία γάρ τις ἐστι τῷ ὄντι καὶ τὸ πολιτικὸν σύνθημά τε καὶ σύστημα καὶ σύνταγμα, καὶ ἐκ διαφόρων τῶν εἰδῶν συγκροτεῖται, καὶ εἰς ἓν συνάγεται καὶ διοικεῖται καὶ συντίθεται...

Πρὸς τοιαύτην συνταγματικὴν εὐημερίαν ὁ οὕτω φιλοσοφῶν πολιτικὸς θεωρεῖ ἀναγκαιοτάτην τὴν εἰλικρινῆ τῶν ἀρχομένων σύμπραξιν καὶ τὴν τιμιότητα τοῦ βασιλέως. « Καὶ τοίνυν οὐδὲν ἂν ὄφελος εἴη βασιλέως ἀγαθοῦ μὴ τοὺς ὑπὸ χεῖρα πειθομένους ἔχοντος τοῖς αὐτοῖς δόγμασι, καὶ οἷς ἂν κατὰ χρείαν ἑκάστοτε κρίνοι. Τίς γὰρ ἂν ἰσχὺς εἴη, ἢ τίς ὄνησις, ὅταν νοῦς εὐγενὴς ἀνδρὸς ἐπιστατῇ καὶ προορᾷ τὰ βέλτιστα, καὶ προδεικνύων καὶ προαγορεύων τὴν βασιλικὴν ὄντως καὶ λυσιτελοῦσαν τοῖς ὑπ' αὐτὸν ὁδόν τε καὶ χρῆσιν, ἔπειτ' αὐτοὺς ἀντι-

στατοῦντας ἔχοι, καὶ πάντα τρόπον κολούοντας τὰς ἐπαινετὰς δοκιμασίας ἀνέδην τε καὶ κρύφα σὺν δόλῳ, καὶ πάντ' ἀντιπράττειν καθ' ἑαυτῶν αἱρουμένους καὶ φιλονεικοῦντας; οὐδὲν ἂν ἀνὴρ ἐκεῖνος ἐν τούτοις ἐνεργὸς καὶ χρήσιμος μήποτε γένοιτο. Ὥσπερ οὐδὲ τεχνίτης ὁστισοῦν ἢ τῶν βαναύσων ἢ τῶν βελτιόνων δύναιτ' ἂν τῶν οἰκείων τελεσιουργὸς εἶναι καὶ τῆς ἐξ αὐτοῦ συντελείας χορηγὸς εἰς τὸν βίον ἄνευ τῶν κατ' αὐτὸν ὀργάνων, καὶ πάσης ἧ προσήκει τῇ τέχνῃ παρασκευῆς, καὶ βασιλεὺς, ἐκτετραμμένων εἰς πᾶσαν ἀντίπραξιν καὶ ἀπείθειαν τῶν ὀφειλόντων οὐδὲν, ἀλλ' ἢ πάσῃ γνώμῃ καὶ ἐπιμελείᾳ προσέχειν ἐκείνῳ, καὶ ἠρτῆσθαι τῆς ἐκείνου χειραγωγίας καὶ ἡγεμονίας ἐν τοῖς πρακτέοις, καὶ ξυνέπεσθαι παντάπασιν ἀκλινῶς; ὥσπερ τοῖς σώμασιν αἱ σκιαί, πάντ' ἀχρεῖος ἂν εἴη, καὶ οὐκ ἂν ὁτιοῦν ἔχοι δημιουργεῖν καὶ φέρειν εἰς τὸ κοινὸν τῶν αὐτῷ τε καὶ τοῖς ἄλλοις εὖ μάλ' ἀνυσίμων τε καὶ λυσιτελούντων ὅμοιον, ὥσπερ οὐδὲ κυβερνήτης οὐδὲ νηὸς ἡγεμὼν πάντων τῶν ἐν αὐτῇ τἀναντία πραττόντων αὐτῷ καὶ μὴ πειθομένων, ἀλλὰ διαστρεφόντων τὴν τεχνικὴν καὶ ἡγεμονικὴν γνώμην αὐτῷ, δι' ἧς ἐστὶ κατὰ σκοπὸν εὖ μάλα φέρεσθαι. Τοῦτό τε καὶ μὴν ἔτι μάλισθ' ὁπότε δὴ ὁ μοναρχικὸς ἀνὴρ ἀντὶ τῆς ἐννόμου καὶ βασιλικῆς ἡγεμονίας τὸ ἀνεύθυνον κράτος ἀνεζωσμένος εἰς τυραννίδα μεταβαλὼν ὑβρίζων χρῆται, καὶ μήτε θείων μήτ' ἀνθρωπίνων νομίμων εὐλάβειαν ἔχων, ἀλογίστοις ὁρμαῖς ἔμπληκτος καταβακχεύει τῶν ὑπὸ χεῖρα, τὸ βούλημα τιθεὶς νόμον, καὶ πᾶσαν τὴν αὐτοῦ γνώμην ἀξιῶν τιμᾶσθαι, καὶ ἀνοηταίνοντι συνανοηταίνειν, καὶ ἀκολάστως βιοῦντι συνακολασταίνειν, καὶ μηδὲν ἄλλ' ὑπολογίζεσθαι, ἢ ὅπερ ἂν αὐτὸς νεύσῃ, εἴτε σοφὸν, εἴτ' ἀβέλτερον, εἴτε δίκαιον, εἴτε μή. Καὶ τοῖς ἀρχομένοις καθάπαξ δυσπραγίας πάσης ἐντεῦθεν ἀφορμαί, καὶ τοῖς μὲν ἀγαθοῖς καὶ χρησίμοις αὐτῷ τε καὶ τῇ ἀρχῇ, καί, ὧν ὁτιοῦν ὄναιτ' ἄν, διαβέβληται καὶ δύσνους μάλιστ' αὐτός ἐστι, τοῖς φαύλοις

δὲ καὶ ὀλεθρίοις καὶ κόλαξι καὶ λωποδύταις καὶ τυμβωρύχοις τῶν καλῶν τῆς ἀρχῆς, καὶ προτρεπτικοῖς εἰς τὰς ὀρέξεις καὶ ἐπιθυμίας αὐτῷ, καὶ πᾶσαν ὕβριν καὶ πᾶσαν ὀλιγωρίαν εὐσχήμονος ἀγωγῆς καὶ βίου καὶ ἀληθείας καὶ δίκης καὶ κόσμου παντὸς ἡγεμόσι πρέποντος, εὔνους ἐς τὰ μάλιστα καὶ ὅλως ἐγκείμενος καὶ προσανέχων τῇ κατ' αὐτοὺς κοινωνίᾳ, καὶ πᾶν ἐλευθέριον ἀνδρὸς καὶ γεννικὸν ἦθος, καὶ φίλον ἀληθείᾳ, καὶ σωφρονικὸν ἐκ μέσου τῆς τῶν κοινῶν χρήσεως ποιούμενος, καὶ παρορῶν ὡς ἄχθος γῆς καὶ σκαιὸν ἦθος, καὶ δυσκολίᾳ ξυμπεφυκὸς καὶ ἀκοινώτητον καὶ ἄχρηστον εὐγενείᾳ καὶ μεγαλειότητι, γυναικῶν δὲ ἁρπαγὰς καὶ οὐσιῶν ἀφαιρέσεις καὶ φόνους ἀνοσίους καὶ μερῶν τοῦ σώματος ζημίας. Καὶ ταῦθ' ἅπαντα ῥᾷστα δὴ καὶ ὡς ἐν προπόσει τινὶ καὶ παιδιᾶς μέρει καὶ τρυφῆς ἐν ὀλίγῳ τῷ λόγῳ τοῖς τυραννικοῖς ἄρχουσι γιγνόμενα, τί τίς ἂν λέγοι; Τοιαῦτα μέν γε καὶ παραπλήσι' ἕτερα πλεῖστα, καὶ ἴσως χείρω, ἃ μὴ εἴρηται, τῆς βασιλικῆς εἰσὶν ἐκτροπῆς, καὶ πρὸς ἃ νοσήσασα μεταβάλλει, καθάπερ δὴ καὶ ταῖς ἄλλαις, ὡς ἔφην, παρέπονται τῶν προειρημένων πολιτειῶν ἐκτετραμμένων τῆς οἰκείας ἕξεως, ἅττα δὴ καὶ προείρηται φαῦλα, καὶ δυσχερείας πολλῆς αἴτια τῷ βίῳ, καὶ τοῖς κατ' ἐκεῖνα ζῶσιν ἀνθρώποις. Τὰ δ' ἄρα τῆς τυραννίδος καὶ πολλῶν γε χαλεπώτερα, ἢ κατ' ἐκεῖνα ταῖς ἐμπαροινουμέναις καὶ κατολλυμέναις ὑπ' αὐτῆς χώραις καὶ πόλεσιν, ὡς οὐδὲν μήποτ' ἄρα γένοιτο, κατὰ τὸν Πλάτωνος λόγον, οὔτε βασιλευομένης πόλεως ἢ χώρας ἡστινοσοῦν εὐδαιμονεστέρα, οὔτ' ἂν τυραννουμένης ἀθλιωτέρα. Καὶ γὰρ δὴ πέφυκεν οὕτως ἔχειν, καὶ ῥᾴδιον συνιδεῖν ἐπὶ πάντων ἐφορωμένῳ τοῖς μεγίστοις ἀγαθοῖς, ἢ καὶ οἷστισιν ἄρα πράγμασιν ὅλως μεγίστοις τἀναντία, καὶ πλεῖστον ἢ κατὰ τἄλλα ἅττα δὴ τῆς βραχυτέρας καὶ ἧττονος ἕξεως ἐναντιώτατ' εἶναι τῆς ἀποστάσεως καὶ ἐκτροπῆς τῶν βελτίστων πόρρω καθάπαξ ἥκοντα, καὶ μαχιμώτατα πρὸς τὰς ἐναν-

τίας καὶ εὐγενεῖς ἕξεις. Καὶ ὥσπερ γε βασιλεία κατὰ νόμους ἄρχουσα, καὶ βασιλεὺς ἀγαθὸς ἐπιστάτης εὐκταῖόν τι χρῆμα καὶ βιωφελέστατον, ἢ κατὰ πάσας ἄλλας ἀνθρωπίνας ἀγωγὰς καὶ χρήσεις καὶ πολιτείας, οὕτω δὴ καὶ μέγιστον εἰς τὴν ἐναντίαν ἕξιν καὶ ἀπευκταιότατον καὶ ἀβίωτον κατασκευάζον ἡ τῆς βασιλικῆς ἡγεμονίας εἰς τοὐναντίον τὴν τυραννίδα παρεπομένη τροπή. »

Ἀλλὰ καὶ περὶ τὴν κριτικὴν μελέτην τῶν Ἑλλήνων συγγραφέων ἐπισταμένως ὁ Μετοχίτης ἐγκύψας κατέλιπε πολλὰ τῆς εὐθυκρισίας αὐτοῦ ἐξαγόμενα, ὡς περὶ Πυθαγόρου, Πλάτωνος, Ἀριστοτέλους, Ξενοφῶντος, Ἰωσήπου, Φίλωνος, Συνεσίου, Δίωνος, Πλουτάρχου, Ἑρμογένους, τὰ ὁποῖα Ἰάνος ὁ Bloch συνιστᾷ τοῖς περὶ τὴν ἑλληνικὴν φιλολογίαν σπουδάζουσιν, ὡς πολλοῦ λόγου ἄξια (1)· οὐχ ἧττον δὲ ἀξιόλογοι καὶ αἱ μελέται αὐτοῦ περὶ τῆς Ἀθηναίων καὶ Λακεδαιμονίων πολιτείας, περὶ τῶν ἐν Αἰγύπτῳ παιδευθέντων σοφῶν, περὶ Κυρήνης, περὶ Καρχηδόνος, περὶ Ῥώμης καὶ Νουμᾶ Πομπηλίου, περὶ Σκυθῶν, περὶ Ἑλλήνων, περὶ Ἀλκιβιάδου, Δημητρίου τοῦ Πολιορκητοῦ καὶ Εὐμένους, περὶ χριστιανισμοῦ καὶ κοινοπολιτειῶν.

Ἐν τοῖς ἔμπροσθεν ἐρρέθη, ὅτι ὑπερκαιτεσσαρακοντaέτης ὁ Θεόδωρος ἠσχολήθη καὶ περὶ τὴν ἀστρονομίαν, ἣν καὶ εἰς ἀληθῆ προήγαγεν ἐπιστήμην ἀνακαθάρας τῶν ἐν αὐτῇ ἐπικρατουσῶν ἀνατολικῶν καὶ ἄλλων τερατολογῶν. Γινώσκων δέ, ὅτι καὶ διὰ τῆς καινοτομίας ταύτης (2) ἠδύνατο νὰ ἐξεγείρῃ τὴν

(1) Πᾶσαι αἱ μελέται συμπεριλαμβάνονται ἐν τοῖς ἐκδεδομένοις ὑπομνηματισμοῖς· ἐν δὲ τῷ Βιενναίῳ κώδηκι εὕρηται καὶ Σύγκρισις Δημοσθένους καὶ Ἀριστείδου τῶν ῥητόρων.

(2) Ἐν τῇ συγγραφῇ ταύτῃ ὅλως πλατωνίζει. Εἷς τῶν κατόχων τοῦ ἐν τῇ Μαρκιανῇ χειρογράφου (cod. CCCXXX), πιθανῶς ὁ Βησσαρίων, σημειοῖ ἐν τέλει (φύλ. 287) « Πλατωνικὸς ὢν ὁ πατὴρ τοῦ βιβλίου τούτου κατὰ τὸν Πλατωνικὸν σκοπὸν ζητεῖ τὸ τέλος τῆς ὄντως φιλοσοφίας καὶ τὴν ὁδὸν τὴν ἄγουσαν ἐπὶ ταύτην ».

καταχραυγὴν τοῦ ἀμαθοῦς κλήρου, εὐθαρσῶς ἀπολογεῖται διϊσχυριζόμενος, ὅτι ἡ πίστις στηρίζεται μᾶλλον διὰ τοῦ φωτὸς ἢ διὰ τοῦ σκότους, τοῦ πατρὸς τούτου τοσούτων ἀνοήτων καὶ ἀντιχριστιανικῶν προλήψεων, ὧν μία καὶ ἡ τότ' ἐπικρατοῦσα ἀστρολογικὴ μαντεία. Ἐκ τοῦ περιέργου κεφαλαίου (1) τοῦ ἀνεκδότου τούτου συγγράμματος παρατίθημι τὰς ἑξῆς περικοπάς.

» Ἐμοὶ γοῦν οὐ μόνον θαυμάσιον τοῦτο δοκεῖ καὶ οἷον τοὺς πολλοὺς ἅμα δὲ καὶ τοὺς ὑπὲρ τοὺς πολλοὺς καταπλήττειν καὶ ὡς ἔπος εἰπεῖν καταναγκάζειν ἐπιθειάζειν, ἀλλὰ καὶ σφόδρα ἥδιστον ἐνταῦθα χρῆσθαι καὶ μεγάλην τινὰ τὴν γλυκυθυμίαν καὶ οἵαν ἄρρητον ἐμποιεῖν, τοῖς τὰς ἐν οὐρανῷ τῶν ἀστέρων χορείας παναρμονίους καὶ ὡς ἀληθῶς συμφώνους ἐφορωμένοις, καὶ ὥσπερ πολιτείας ἀστασιάστους καθιστοροῦσι, καὶ πάντοθεν ὁμολογούσας εἰρηνικάς τε καὶ ἀσυγχύτους, καθ' ἃς οἱ ἀστέρες τὸν ἅπαντα αἰῶνα πολιτεύονται τὰς αὐτῶν ἀγωγάς, καὶ νόμοις πολὺ τὸ καθεστὼς ἔχουσι καὶ ἀνάλογον διοικοῦσι τὰ σφέτερα αὐτῶν. Τοῦτο μέν γε καὶ ἀκίνδυνον παντάπασι καὶ ἀζήμιον τῇ καθ' ἡμᾶς χριστιανικῇ θεοσεβείᾳ καὶ πίστει, τὸ περὶ τῶν κινήσεων τῶν ὁμαλῶν τε καὶ ἀνωμάλων καὶ τῶν πρὸς ἀλλήλους σχηματισμῶν ἡλίου τε καὶ σελήνης καὶ τῶν ε' πλανωμένων... Τί γὰρ ἐν τούτοις προξενοῦν ζημίαν τῇ πίστει, ἐπεὶ καὶ τί γε ἄλλο τουτὶ ἢ καθὼς καὶ περὶ ἄλλων ὡντινωνοῦν ὄντων θεωρία τις καὶ γνῶσις ὅποι ποτ' ἄρ' ἔχοι, καὶ κατάληψις καὶ πολυπραγμοσύνη φιλοσοφίας; ἢ τί γὰρ μᾶλλον τοῦτο λυμαινόμενον ἡμῖν τῷ θείῳ σεβάσματι, ἢ τὸ ἁπλῶς οὕτω καὶ ἰδιωτικῶς, ὥσπερ οἱ πολλοὶ τῶν ἀνθρώπων καὶ ἀμαθέστεροι, τοὺς τῆς σελήνης δρόμους ἐπιλογίζεσθαι καὶ καταριθμεῖν νῦν μὲν ἀνευρίσκοντας τὴν πανσεληνικὴν κύ-

(1) Ἔπαινος ἀστρονομίας καὶ τίς ὁ σκοπὸς καὶ ἡ πραγματεία ταύτης.

Digitized by Google

τῆς συζυγίαν, ἣν αὐτοὶ καλοῦσιν ἀπόχυσιν, νῦν δὲ τὴν συνοδικὴν ἣν αὐτοὶ καλοῦσι γένναν....Ὥσπερ γὰρ οὐδ' ἡντιναοῦν ὄνησιν πάντως ἢ ζημίαν φέρει ὅσα με πρὸς τὸ θεοσεβεῖν ἀσφαλῶς ἔχειν τῆς πίστεως τὸ περὶ ταῦτ' ἐνίους πραγματεύεσθαι ἀμαθῶς οὑτωσὶ καὶ ἁπλοϊκῶς, καθάπερ πολλοὺς τῶν ἀνθρώπων ὁρῶμεν, τὸν αὐτὸν τρόπον οὐδὲ τοῖς ἐπιστημονικῶς τὰ τοιαῦτα καὶ ἠκριβωμένως καταμεμαθηκόσι, ζημία τις ἢ ὄνησις ἐντεῦθεν πρὸς τὸ καθαρῶς θεοσεβεῖν ἐγγίνεται· καὶ τοῦτ' εὔδηλον καὶ παντὶ ξυνιδεῖν· γνῶσις γάρ ἐστιν, ὡς ἔφην καὶ τοῦτο διὰ φιλοσοφίας ἐπιστημονική, περί τινων κτιστῶν καὶ γεννητῶν ὄντων φύσεων ὑπὸ τῆς παντοκρατορικῆς δημιουργηθέντων δυνάμεως ὅπῃ τ' ἔχοι καὶ ὅπως ταῦτα φέρεται, θείοις πάντως ὅροις πειθαρχοῦντα καὶ προστάγμασι· καὶ τοῦτο μὲν πρόδηλον ὡς οὕτως ἔχει· ἀλλ' ἴσως ἐνίους ταράττει θάτερον τῆς ἀστρολογικῆς μέρος, ὃ περὶ τὸ προγνωστικὸν τῶν ἐσομένων καὶ ἀποτελεσματικὸν καταγίνεται, καὶ τὰς κινήσεις καὶ τὰς δραστικὰς ποιότητας τῶν ἀστέρων, καὶ τὰς ἐποχὰς ἐπὶ τοῦ ζωδίου καὶ τοὺς πρὸς ἀλλήλους σχηματισμούς, αἰτιά πως εἶναι τῶν γιγνομένων ἁπάντων σπουδάζει δεικνύναι καὶ συνδιατιθέναι κατ' αὐτὰς πάντα τὰ ξυμβαίνοντα περὶ τὸν κόσμον καὶ τἀνθρώπινα καλά τε καὶ φλαῦρα, καὶ κατὰ φύσιν, καὶ κατὰ γνώμην καὶ κατὰ τὴν τύχην· τοῦτό γε μὴν προδήλως πάνυ τοι καὶ ἀναντιρρήτως λυμαίνεται τῇ πίστει καὶ τῇ καθ' ἡμᾶς χριστιανικῇ θεοσεβείᾳ. Καὶ αὐτὸς ἐγὼ καὶ φρονεῖν οὕτως ἐμαυτὸν πείθω, πάνυ τοι καὶ καρτερῶς καὶ ἀτρέπτως, καὶ λέγειν παρρησίᾳ καὶ κηρύττειν πρὸς πάντας ἀξιῶ, τὴν ἀσφάλειαν ἐμαυτῷ τῶν δογμάτων τῆς ἀληθείας καὶ τῆς πίστεως παριστάνων καὶ τοῖς νῦν καὶ τοῖς ἔπειτα, καὶ καταμεμφόμενος εὖ μάλα καὶ καταγελῶν, ὅστις ἄλλος καὶ φρονεῖ καὶ λέγει· εὖ γὰρ δῆλον ὡς εἰ πάντα τῆς ἀνάγκης ταύτης τῶν ἀστέρων ἀπαραιτήτως αἰτιατὰ τὰ γιγνόμενα, πάντως ἀνεμέσητα ὅπως ἄρ' ἔχοι, καὶ οὐ μήποτε

κατ' ἀνθρώπους ἐπαινετέον, οὐδ' ὥστε θαυμάζειν, οὐδ' ὥστε τιμᾶν ἄξιον, οὐδὲ τοὐναντίον φαῦλον, οὐδ' ὥστε καταδικάζειν καὶ ὑπεύθυνον ἀκούειν δίκαιον, ἀναγκαστῶς οὕτω γιγνόμενον καὶ τῇ τῶν ἀστέρων περιφορᾷ συστρεφόμενον, ἀρετή τε πᾶσα καὶ κακία ἐκποδῶν ἐσεῖται, καὶ σπουδαστέον καὶ φευκτέον οὐδέν· ἀναγκαστῶς γὰρ καὶ ἀπαραλογίστως ἐπὶ πᾶν ὁτιοῦν ἱκνούμεθα, κἂν θέλωμεν, κἂν μὴ θέλωμεν, μᾶλλον δὲ καὶ τὸ θέλειν καὶ προαιρεῖσθαι οὐχ ἡμῶν αὐτῶν· ἀλλὰ καὶ τοῦτο πᾶσα ἀνάγκη, καὶ ἄκοντες ὡς εἰπεῖν θέλομεν, καὶ δυναστεία τις ἐστιν ἡ προαίρεσις καὶ τυραννὶς ἀλόγιστος, καὶ οὐκ ἔστιν ἡτισοῦν κρίσις, οὐδ' αἵρεσις, ἅτε πράττειν χρή, καὶ ἃ μή, πράττειν γὰρ χρὴ καὶ μὴ ποιεῖν χρή, καὶ ἄλλως οὐκ ἔστιν. Ἀλλὰ ταῦτα μαινομένων εἰσὶ λόγοι καὶ παιζόντων ἐν οὐ παικτοῖς, καὶ πολὺ τὸ σαθρὸν ἔχει καὶ πολὺ τὸ ἄπιστον . . . . Οὗτοί γε μὴν καὶ λυμαίνονται τοῖς εὐσεβέσι δόγμασι καὶ πονηρῶν νομίμων καὶ σπερμάτων εἰσὶ γεωργοὶ καὶ μυσταγωγοί, καὶ σφόδρ' ἔγωγε τοὺς τοιούτους ἀποστρέφομαι καὶ ἀποτροπιάζομαι καὶ τοὺς ἄλλους οὕτω φρονεῖν ἀξιῶ. Οὕτω μέν τ' ἂν παρεσκευασμένοι σωφρόνως τε καὶ φιλευσεβῶς, οἷοί τ' ἂν εἶεν βιοῦν καὶ τῇ σοφίᾳ κατὰ καιρὸν χρῆσθαι, καὶ τούτων τῆς μερίδος εἰμί τε καὶ εἴην κρίνων ἐπ' ἀληθείας ὀρθῶς . . . »

Καθὰ δὲ φαίνεται, ὁ ἀστρονομῶν Μετοχίτης δὲν ἦν ξένος καὶ τῆς ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Γρηγορᾶ ὑποβληθείσης τῷ Ἀνδρονίκῳ Β' διορθώσεως τοῦ καλενδαρίου (1), ἣν διὰ πολλοὺς τότε λόγους ἀπορριφθεῖσαν, ἐφήρμοσε μετὰ παρέλευσιν δύο καὶ ἡμισείας ἑκατονταετηρίδων ὁ πάπας Γρηγόριος ΙΓ' (2).

Ἀλλ' ἐὰν ἐν ταῖς ἄλλαις καινοτομίαις πραγματικῶς ἀναδείκνυται ἀνώτερος ἑαυτοῦ ὁ Μετοχίτης, ἐν τῇ τῆς γλώσσης

(1) Βλέπε τὰ κεφάλαια Κ-Λ τῆς ἀστρονομίας αὐτοῦ.
(2) Κ. Σάθα, 'Ιερεμίας Β', κεφ. ΣΤ'.

ὅμως δὲν ἐπέτυχεν. Εἰ καὶ συνεχῶς μεταχειριζόμενος τὸ παρὰ τοῖς Βυζαντινοῖς σύνηθες ἐπώνυμον Ῥωμαῖοι, οὐδὲν ἧττον πολλαχοῦ διακηρύττει, ὅτι ἡ αὐτοκρατορία ἦν Ἑλληνικὴ τὴν ἐθνικὴν παράδοσιν (1)· ἀλλ' ἡ ὑπὸ τῶν Βυζαντινῶν γραφομένη γλῶσσα, ἀποβαλοῦσα τὴν ἀρχικὴν εὐπρέπειαν μετετράπη εἰς ὁρμαθὸν λέξεων παταγῶς κροτουσῶν, πάντη δὲ στερουμένων καὶ τῆς ἀρχικῆς σημασίας καὶ τῆς ἀφελοῦς χάριτος (2). Τὸ ἐπικρατοῦν διθυραμβικὸν τοῦτο ὕφος θελήσας νὰ διορθώσῃ ὁ Θεόδωρος, ἔλαβεν ὡς ὑπογραμμὸν τὸν φίλτατον Πλάτωνα. Δυστυχῶς ὅμως ἐδημιούργησεν ὕφος τραχὺ καὶ σκοτεινόν, ὅπερ καὶ εἰς τοὺς συγχρόνους δὲν εὐηρέστησε καὶ ὑπὸ τῶν μεταγενεστέρων κατεδικάσθη (3).

Συγγράμματα.

Τοῦ μεγάλου λογοθέτου (4) τοῦ Μετοχίτου εἰς πάντα τὰ Φυσικὰ Ἀριστοτέλους. (Χειρόγραφον ἐν τῇ Μαρκιανῇ βιβλιοθήκῃ (cod. CCXXXIX) ἐκ φύλλων 557, ἀνῆκον εἰς Βησσαρίωνα τὸν Τραπεζούντιον, οὗ καὶ φέρει ἐν προμετωπίδι τὸ ἰδιόγραφον « βιβλίον ἐμοῦ Βησσαρίωνος καρδηνάλεως τοῦ τῶν Τούσκλων ». Περὶ τὰ μέσα τῆς ΙΣΤ' ἑκατονταετηρίδος μετε-

(1) « . . ἡμῖν, οἳ καὶ τοῦ γένους ἐσμὲν καὶ τῆς γλώττης αὐτοῖς (τοῖς Ἕλλησι) κοινωνοὶ καὶ διάδοχοι ». Ὑπομνηματισμοί, κεφ. 93.

(2) Προοίμιον ἀστρονομίας.

(3) Bloch, specimen operum Metochitae, σελ. 25, 30 καὶ ἐν τέλει. Τὴν κρίσιν τοῦ Βλὸχ παρατίθημι κατωτέρω ἐν τῇ καταγραφῇ τοῦ συγγράμματος τούτου.

(4) Οὕτω τιτλοφορεῖ τὸν Μετοχίτην ὁ Βησσαρίων ἐν τῇ ἰδιογράφῳ ἐπιγραφῇ τοῦ κώδηκος· ἀλλ' ὡς δηλοῦται ἔκ τε τοῦ ἐν ἀρχῇ καὶ ἐν τέλει τοῦ χειρογράφου δι' ἐρυθρᾶς γραφῆς κεφαλαιώδους συμπλέγματος, ἢ ὡς ἔλεγον οἱ βυζαντινοὶ κανικλώματος, ὁ Θεόδωρος συνέθετο τὸ πόνημα λογοθέτης ὢν τοῦ γενικοῦ.

Digitized by Google

φράσθη κατὰ μέγα μέρος (1) εἰς τὴν λατινικὴν διάλεκτον ὑπὸ Γεντιανοῦ τοῦ Ἑρβέτου. Δύο δ' ἐγὼ γινώσκω ἐκδόσεις τῆς λατινικῆς ταύτης μεταφράσεως, ἐξ ὧν ἡ μὲν πρώτη ἐπιγράφεται. Theodori Metochitae in Aristotelis Physicorum, sive naturalium ausculationum libros octo, et parva (quae vocantur) naturalia, Paraphrasis longe doctissima, et quae prolixi Commentarii vicem explere queat. Nuper adeo a doctissimo viro D. Gentiano Herveto Aurelio e Graeca in latinam linguam conversa, nuncque primum in lucem edita. Basileae per Nicolaum Bryling, anno MDLIX, 8, σελ. 675. ἡ δὲ δευτέρα, ἀγνοουμένη ὑπό τε τοῦ Φαβρικίου καὶ ἄλλων, φέρει τὸν τίτλον· « In Aristotelis universam naturalem philosophiam, quae in Gymnasiis optime institutis praelegi solet, Theodori Metochitae Paraphrasis longe doctissima, quae prolixi Commentarii vicem explere queat. Hoc est· In libros octo Physicorum aut Naturalium ausculationum. In libros quatuor de coelo et mundo. In libros duos de ortu et interitu. In libros quatuor Meteorologicos. In libros tres de anima. Et in Parva (quae vocantur) Naturalia. Omnia nuper e Graeca in latinam linguam conversa, atque in studiosorum Philosophiae gratiam nunc emendatissime in lucem edita. Basileae, per Nicolaum Bryling, 1562. 8, σελ· 675. » (2)

Ἐν μὲν τῇ πρώτῃ προτάσσεται εἰσαγωγὴ τοῦ ἰατροῦ Φιλίππου Βεχχίου, ἐπαινοῦντος οὑτωσὶ τὸ σύνταγμα τοῦ Μετοχίτου. « luculentas Theod. Metochitae in Aristotelis praeclariss.

(1) Παρελείφθη ἡ μετάφρασις τοῦ τε προοιμίου καὶ τῶν ὑπομνημάτων εἰς τὰ περὶ ζώων βιβλία. Περὶ τῶν ἐν ἄλλαις βιβλιοθήκαις ἀποτεθησαυρισμένων κωδήκων τοῦ συγγράμματος βλέπε τὸν Φαβρίκιον (Biblioth. Graec. III, σελ. 226, 230, X, 418).

(2) Ὁ Φαβρίκιος (X, 414) ἀναφέρει καὶ ἀνατύπωσιν ἐν Ραβέννῃ (1614), ὁ δὲ Λαββέος καὶ προγενεστέραν ἐν Παρισίοις.

Digitized by Google

atque utilissimos Physicae ausculationis paraphrases, quae sine controversia prolixissimos tam Graecorum quam Latinorum commentarios multis parasangis excedunt. » Ἐν δὲ τῇ δευτέρᾳ (1562) προοίμιον τοῦ καθηγητοῦ τῶν φυσικῶν ἐπιστημῶν ἐν τῇ ἀκαδημίᾳ τῆς Βασιλείας Ἐρρίκου Πανταλέοντος, ὅστις ὁμοίως ἐγκωμιάζει τὸ πόνημα τοῦ Θεοδώρου λέγων. « Hic ergo Theodorus Metochita, magni judicii homo, regia via incedens, omnes libros Aristotelis, quos de naturali philosophia conscripsit, et quae in scholis optime institutis publice praelegi solent, paraphrasticos doctissime exposuit, sensum Aristotelis breviter explicando, ut sine controversia multorum Graecorum et Latinorum commentarios, praesenti studio superavit. »

Ἐκ τοῦ ἀνεκδότου πρωτοτύπου παρατιθέμεθα τό τε προοίμιον καὶ τὸν πίνακα, μὴ μεταφρασθέντα ὑπὸ τοῦ Ἑρβέτου.

« Τυφλοῖς ὀλίσθους ἐμποιεῖν παγχάλεπον καὶ πάντων ἀληθῶς κάκιστον εἶναι, λόγος εἷς ἐστι τῶν Πυθαγορείων τῶν χρυσέων, ἐπιτιμῶν εὖ μάλα καὶ λοιδωρούμενος τοῖς μὴ ἄρα πάσχουσιν ἐπὶ τῇ κοινῇ καὶ ἀδήλῳ(;) τῆς φύσεως τύχῃ· ἐδόκουν γὰρ ἂν ἀμέλει βέλτιον αὐτοὶ λογίσασθαι καὶ πολλῷ γε δὴ ἀμείνους ἴσως εἶναι, ἣν .... τρόπον ὡς οἷόν τε ἐστιν ἠξίουν εὐγενῶς τε καὶ φιλανθρώπως ἀπαντᾷν τῇ συμφορᾷ καὶ χεῖρα διδόναι τοῖς κάμνουσι καὶ τἄλγημα σφίσιν ἀνακουφίζεσθαι, καὶ ἰᾶσθαι καὶ διοικεῖν ἑτοίμην ἐν ῥαστώνῃ τὴν χρείαν, ὡς ἐν τῷ... τράπεζαν καθιστάναι τοῖς ἀνθρώποις καὶ παρατεθεῖσθαι· νῦν δὲ στρωματόδεσμον λύειν, νῦν δ᾽ ἄλλο τι ποτ᾽ ὀρέγειν ὧν ἂν δέοι, καὶ ὅλως πᾶσαν ὑπανοίγειν αὐτοῖς εὐκολίαν ὁδοῦ καὶ χρήσεως. Καὶ μὴν εἰ μετὰ τῆς αὐτῆς ἄρα γνώμης τις καὶ κρίσεως αἱροῖτο θραῦσαι (;) καὶ λύειν ἡντινακοῦν ἄλλην δυσχέρειαν ἀνθρώποις, καὶ κάμιτον λογικῆς τινος καὶ γνωστικῆς ἐργασίας χεῖρα παραπλησίως ὀρέγων ὡς εἰπεῖν .... ἰέναι καὶ ἀνύσιμα πονεῖν ἐπὶ

τινος καταληπτικῆς πορείας καὶ διεξόδου πάνυ τὸ ἐργῶδες ἐχούσης καὶ δυσχερὲς χρῆσθαι φιλάνθρωπον καὶ τοῦτ' ἂν εἴη μᾶλλον καὶ χρηστῆς ἔργον προθέσεως καὶ ἴσως ἐπαίνων ἀξίας· ὡς ἄρα δὴ κἀγὼ μετὰ τοιούτων οἵων νῦν . . . . τῶν λογισμῶν ἐκεχείρηκα φιλανθρωπίαν, ὡς ἐμαυτὸν πείθω . . . . . ἔδοξα γὰρ δὴ πρὸς τὸ τῆς Ἀριστοτελικῆς περὶ φύσεως καὶ τῶν τῆς φύσεως πραγματείας ἀφορῶν, τοῦτο μὲν βαθύνουν καὶ πολύστροφον ταῖς ἐπιβολαῖς καὶ λογικαῖς ἐργασίαις καὶ θαυμαστὸν οἷον ὑψίνουν τε καὶ ἠκριβωμένον πάνυ τοι διὰ τῶν λεπτοτάτων αὐτῶν, τοῦτο δὲ καὶ τὸ τῆς ἑρμηνείας ἔτ' ἐπὶ τούτοις ἐπίτηδες, οὐκ οἶδ' ὅπως, ἐπιμελῶς ἠσκημένον τῷ ἀνδρὶ δυσθήρατον καθάπαξ καὶ δύσληπτον καὶ ἀνήμερον κομιδῇ καὶ δυσπρόσιτον, ἐπιβούλῳ σκοπῷ καλύπτον τἄνδον τοῖς πολλοῖς ἀόρατα, καὶ τὸ ἐκ τοῦ ἑαυτῶν τρόπων καθόλου καματηρὸν καὶ δύσκολον ἐνταῦθα χρῆσθαι καὶ ὡς ἔπος εἰπεῖν ἀνόδευτον καὶ δυσδιεξίτητον τοῖς ἐπειγομένοις· ἔδοξα γοῦν βοήθειάν τινα καὶ ῥαστώνην ἐν τούτοις ἀμ . . γε πη πορίσασθαι, καθ' ὅσον οἷόν τ' ἂν εἴην, καὶ ὡς ἄρα βέλτιστον ᾠήθην δι' ὑπομνηματισμῶν ὁριστικῶς εὖ μάλ' ἐπιτέμνων παντὶ τρόπῳ, καὶ γυμνῶν τἀπόρρητα τοῖς τῶν καλλίστων καὶ μεγίστων ἐρασταῖς, καὶ οὐχ ἧττόν γ' ἐμαυτῷ πρὸς τὸ τῆς χρήσεως ἕτοιμον. Καὶ τοίνυν ἔδοξα καθ' ἕκαστον τῶν φυσικῶν αὐτοῦ συνταγμάτων τὸν νοῦν ἐπιστήσας, καθὼς ἄρα ποτ' ἂν οἷός τ' εἴην ἴσως, καὶ τὰ προτεθειμένα καὶ δεδειγμένα συλλογιστικαῖς ἀνάγκαις, ὡς εἴωθε, καὶ ἀσείστοις ἐπιχειρήμασιν, οἷς ἀνὴρ ἐκεῖνος πλεονεκτεῖ τῶν ἄλλων ἀκμαστικῶς καὶ κομιδῇ περιείργασται· ταῦθ' ἕκαστα κατὰ μέρος ἐπιλεξάμενος καὶ πρὸς τὸ σαφέστερον μετασκευάσας, ὡς οἷόν τε, καὶ συναγαγὼν εἰς ἓν ὁμοῦ σύνταγμα, ἢ ταμεῖον ὡς εἰπεῖν, τῷ χρόνῳ καὶ τοῖς φιλομαθέσιν ὅσοις μὴ περιφρονεῖν ἔσται, μηδ' ὡς ἀνόνητον ἀμέλει περιδεῖν τὸ σπούδασμα, ἄπονον μετάληψιν τῆς ἐκείνου καρποφορίας εἰς τὸν κοινὸν βίον ἀνθρώποις, καὶ χορηγίας εἰς φιλοσο-

Digitized by Google

φίαν ἐνσκευάσασθαι· καὶ κάμνουσιν ἴσως ἐνίοις, ὥς τε καθ ἑαυτοὺς χρῆσθαι, καὶ μὴ ῥᾷστ' ἐποπτέουσι, τράπεζαν ταύτην τινὰ παραθέσθαι πανδαισίας εὐγενοῦς, ἅμα μὲν ἡδίστην, ἅμα δ' ὑγιεινοτάτην, τῷ τῶν λογισμῶν κράτει, καὶ πολλῆς εὐζωΐας ἀφορμήν, εἰς τὰ λογικὰ πράγματα, καὶ τὴν ἀνθρωπίνην ὄντως γνωστικὴν βιοτὴν παρέχουσαν εὖ μάλα χρῆσθαι, καὶ ἀπολαύειν ῥᾷον ἐν ἀφθόνοις, ἢ ὡς ἄν τις ἴσως ἔδοξεν· οὐ μὴν ἀλλὰ καὶ στρωματόδεσμον ὑπολύειν αὐτὸς δόξαιμ' ἂν τοῖς ἀπορωτέροις ἐπικλιθῆναι καὶ καταπαῦσαι τὸν κάματον καὶ τὴν ταλαιπωρίαν τῶν λογισμῶν, ἀλλὰ καὶ χειραγωγίαν τινὰ τῇ διανοίᾳ φιλανθρωπεύσασθαι, ὅσοις τοι τοὺς τοῦ ἀνδρὸς ἐπελθεῖν ἀγῶνας καὶ δρόμους εἰς φιλοσοφίαν, ἔρως μὲν τάχα σφοδρὸς ἐπιγίνεται, πονήρως δ' ἔχει τὰ τῆς διεξόδου σφίσι, καὶ τὸ λαβυρινθῶδες ἐνταῦθα καὶ δυσδιεξίτητον ὀκλάζειν ἀναγκάζει καὶ ἀποτρέπεσθαι· τάχα γὰρ δὴ καὶ ἐξέσται παντί γε ὁτῳοῦν ἐκ τῆς παρούσης συντάξεως ἔχειν ἅπαντα τοῦ ἀνδρὸς περὶ πάντων ὅσα ἔδοξε ἐπὶ τοῖς οὖσι καὶ τῇ φύσει καθόλου τε καὶ καθ' ἕκαστα, καὶ ἀπόνως ἔχειν, αἳ δυσχερῶς ἦν μάλιστα καὶ ξὺν μόχθῳ συλλογίσασθαι· ὡς θ' ἅμα τέ τινα χρείαν ἐμπεσεῖν περὶ ὁτουοῦν καὶ ἅμα ῥᾷστα πορίζεσθαι καὶ φέρειν, ὅ τι ποτ' ἔδοξεν εἰς τὸ προχειριζόμενον αὐτὸ, τῷ θαυμασίῳ καὶ τεχνίτῃ τῆς φύσεως ὡς καὶ τῶν τῆς φύσεως καὶ γενέσεως συνηγόρῳ καὶ ὑποφήτῃ ταύτης Ἀριστοτέλει, καὶ φέρειν ὡς ἐκ ταμείου τὸν προειρημένον τρόπον, ὡς ἄρα δὴ συνεσκεύασται ἡμῖν πάνθ' ἕκαστα καὶ ἐκτέθειται, ἢ μᾶλλον ἔγκειται πρὸς ἑτοίμην τὴν χρῆσιν, διὰ τῆς παρούσης ἡμῶν σπουδῆς· καὶ μὴν ὅπερ εἴρηται, οὐκ ἄλλοις μᾶλλον ἄν, εἴη ἢ καὶ ἡμῖν χρήσιμος ἥ γε σύνταξις αὕτη καὶ οἱ ὑπομνηματισμοί, ὡς ἂν ἑκάστοτ' ἐκ τοῦ προχείρου πορίζεσθαι πρὸς τὴν ἐπιοῦσαν χρείαν· ἐξείη δ' ἂν ἡμῖν καὶ ἀπονώτερον καὶ ξὺν ῥᾳστώνῃ χρωμένοις ἑκάστοτε τὴν διάνοιαν ἀρδεύειν ἐπὶ τοῖς προληφθεῖσιν, ἢ καὶ ἀναζωπυρεῖν τὴν ἐντεθεῖσαν ἕξιν καὶ ἀναμνήσει κρατύ-

Digitized by Google

νειν ἐπιόντας; ἀμέλει καμάτου παντὸς ἐκτός, ὡς ἄρα ἐπὶ τῶν τυχόντων ἐγχωροίη καιρῶν· ἵνα δὲ μὴ διὰ τὸ δυσχερὲς καὶ κομιδῇ καματηρὸν ὡς εἴρηται καὶ ἐργῶδες κατοκνοῦντες ἐπεγκύπτειν τοῖς τοῦ ἀνδρὸς ἑκάστοις βιβλίοις, κἀντεῦθεν ἀποτρεπόμενοι καὶ ἀσχολίαις ἴσως, ὅπως ἄρ' ἐμπιπτούσαις εἰργόμενοι, μὴ συνεχίζεσθαι τὴν μνήμην τῶν εἰλημμένων ἤδη πρότερον, παραχρουῶμεν πᾶσα ἀνάγκη τοὺς θησαυροὺς καὶ τὰ πολύτιμα κειμήλια τῶν τοῦ ἀνδρὸς δογμάτων εἰς φιλοσοφίαν καὶ τὴν τῶν ὄντων ἔρευναν. Ὁ μὲν οὖν σκοπὸς οὗτος τῆς παρούσης ἡμῶν συντάξεως· καὶ εἰ δέ τισιν ἄλλοις, ἀχρεῖος ἂν ἴσως καὶ παρορᾶσθαι δίκαιος, ἀλλ' ἡμῖν γ' εὖ μάλα προὔργου καὶ χρήσιμος· ἀτὰρ δὴ καὶ σοί γε βέλτιστος, ὦ φίλτατ' ἐμοί, εἰ μή τι σοι δοίη πλέον ἡ θεία χρηστότης ἢ καθ' ἡμᾶς, καὶ δοίη γε εἴθε· ὡς τοῦτο γὰρ εὐχὴ καὶ πόθος ἡμῖν· ἀλλ' ἡμεῖς γε θησαυρὸν τουτονὶ ὅντινα δὴ ὡς ἄρ' ἔχομεν, πάντως δ' ὀφείλομεν οἶμαί σοι πάνθ' ὡς ἄρ' ἔχομεν, ἐνεσκευασάμεθα χρόνοις ὕστερον χρῆσθαι καὶ ἴσως οὐκ ἀπεριφρόνητόν σοι, ἀλλὰ καὶ πλείονος ἀμέλει λόγου ἢ ὅσα κομιδῇ πλεῖστα βιοτικῆς εὐκληρίας φθάσανθ' ἡμῶν παρεσκεύασταί σοι τῆς τοῦ πάντα θαυμαστοῦ καὶ φιλανθρώπου δεσπότου, καὶ πρὸς πάντας καὶ πρὸς ἡμᾶς πλεῖν ἢ πρὸς πάντας εὐγενείας καὶ εὐποιΐας πολυφορωτάτης ἐπαρκούσης ὅσαι ἡμέραι καὶ ὅσαι ὧραι (1)· περιέξει δὲ αὕτη συντάξεις καὶ κατὰ λόγον ἑξῆς τὰ τῆς φυσικῆς Ἀριστοτέλους πραγματείας κατὰ μέρος ἕκαστα, ἀρξαμένη πρὸ πάντων, ὡς ἄρα ἦν εἰκός, ἀπ' αὐτῶν τῶν καθόλου περὶ τῶν φυσικῶν σπουδασθέντων τῷ ἀνδρί, καὶ προϊοῦσα ἐπὶ τῶν κατὰ μέρος αὐτῶν συνταγμάτων, ὡς ἄρ' ἔδοξέ μοι κατὰ καιρὸν εἶναι χρήσασθαι καὶ διαθέσθαι τὸ ἀκόλουθον τῆς τάξεως· δηλοῖ δὲ ὁ πίναξ ὃν ἐνταῦθα προστιθέαμεν.

(1) Κατὰ πᾶσαν πιθανότητα ἀποτείνεται πρὸς Νικηφόρον τὸν Χοῦμνον.

ΠΙΝΑΞ

(1) Ἰδιόγραφος προσθήκη Βησσαρίωνος. « Ἕπονται τὰ περὶ οὐρανοῦ· εἶτα τὸ περὶ γενέσεως· εἶτα τὸ περὶ ψυχῆς. Ἐνταῦθα δὲ οὐχ ἔχει ὡς ἐκεῖ κεῖνται ».

Τὰ ἐκ τοῦ περὶ ζώων πορείας βιβλίου.
Τὰ ἐκ τοῦ πρώτου τῶν περὶ ζώων μορίων βιβλίων.
Τὰ ἐκ τοῦ δευτέρου τῶν περὶ ζώων μορίων βιβλίων.
Τὰ ἐκ τοῦ τρίτου τῶν περὶ ζώων μορίων βιβλίων (1).
Τὰ ἐκ τοῦ πρώτου τῶν περὶ ζώων γενέσεως βιβλίων.
Τὰ ἐκ τοῦ δευτέρου τῶν περὶ ζώων γενέσεως βιβλίων.
Τὰ ἐκ τοῦ τρίτου τῶν περὶ ζώων γενέσεως βιβλίων.
Τὰ ἐκ τοῦ τετάρτου τῶν περὶ ζώων γενέσεως βιβλίων.
Τὰ ἐκ τοῦ πέμπτου τῶν περὶ ζώων γενέσεως βιβλίων.
Τὰ ἐκ τοῦ πρώτου τῶν μετεωρολογικῶν βιβλίων.
Τὰ ἐκ τοῦ δευτέρου τῶν μετεωρολογικῶν βιβλίων.
Τὰ ἐκ τοῦ τρίτου τῶν μετεωρολογικῶν βιβλίων.
Τὰ ἐκ τοῦ τετάρτου τῶν μετεωρολογικῶν βιβλίων.
Τὰ ἐκ τοῦ πρώτου τῶν περὶ αἰσθήσεως καὶ αἰσθητῶν βιβλίων.
Τὰ ἐκ τοῦ δευτέρου τῶν περὶ αἰσθήσεως καὶ αἰσθητῶν βιβλίων).

Στοιχείωσις ἐπὶ τῇ ἀστρονομικῇ ἐπιστήμῃ. (Δύο κώδηκες ἐν τῇ Μαρκιανῇ (CCCXXX, CCCXXIX) ἀνήκοντες εἰς Βησσαρίωνα, οὗ τὸ ἰδιόγραφον ἐν τῷ δευτέρῳ μόνον ἀναγινώσκεται. Ὁ μὲν πρῶτος γραφῆς τοῦ ΙΔ' αἰῶνος, ἀποτελεῖται ἐκ φύλλων 347, ἐξ ὧν πολλὰ ἐν ἀρχῇ, ἐν μέσῳ καὶ ἐν τέλει ἄγραφα, καὶ περιέχει καὶ τὰ τρία τμήματα τῆς ἀστρονομικῆς στοιχειώσεως. Ὁ δὲ δεύτερος, γραφῆς τοῦ ΙΕ' αἰῶνος ἐκ φύλλων 93 ἀποτελούμενος περιλαμβάνει περὶ τὸ ἥμισυ τοῦ κειμένου τοῦ Α' βιβλίου, ἤτοι μέχρι τῶν μέσων τοῦ κεφαλαίου μϐ', ἢ τοῦ φύλλου 90 τοῦ πρώτου χειρογράφου· ἀλλὰ καὶ ἐν τῷ μεταξὺ τῶν φύλλων 85-86 διακόπτεται ἡ

(1) Προσθήκη Βησσαρίωνος. « Τὰ ἐκ τοῦ τετάρτου τῶν περὶ ζώων μορίων βιβλίων ».

Digitized by Google

συνέχεια αὐτοῦ, ἡ καταλαμβάνουσα τὰ φύλλα 63-72 τοῦ μεγάλου κώδηκος.

Ἐκ τοῦ σπουδαίου τούτου συγγράμματος παρατιθέμεθα ὁλόκληρον τὸ προοίμιον, διὰ τὰς ἐν αὐτῷ περιεχομένας περιέργους εἰδήσεις περί τε τοῦ συγγραφέως καὶ τῆς ἐπὶ τῶν χρόνων αὐτοῦ καταστάσεως τῆς ἀστρονομίας, ὑποσημειοῦντες καὶ τὰς ἐν τῷ ἑτέρῳ κώδηκι (CCCXXX) διαφοράς.

« Προοίμιον, ἐν ᾧ καὶ διήγησις τοῦ συγγραφέως περὶ τῶν καθ' ἑαυτόν (1).

Ἐμοὶ πρόθεσις βίου καὶ σπουδή τις ἔτ' ἐκ παιδὸς ἡλικιώτις, λόγοι. Καὶ προσεῖχον μὲν τέως εἰς τήνδε τὴν ὑπόθεσιν τοῦ βίου, τῶν φυσάντων ἐντολῇ, πειθόμενος εὖ μάλα σφίσιν ὡς εἰκός· οἱ τήνδε μάλιστα τοῦ βίου χρῆσιν ὅπως ἄρα πάντως δ' εὖγε ποιοῦντες ἐμὲ καὶ τἀμὰ πράγματα χρόνοις ὕστερον ὥς γ' ἐδόκουν, εἵλοντό μοι καὶ ἤνυτον ὁτιοῦν ἀμέλει χρώμενος ὡς ᾤοντό γε, οὐκ ἀτευκτῶν φύσεως ὀρῆν ἐχούσης, πρὸς τὴν αὐτουργίαν τήνδε· ἔπειτ' ἄρα προϊὼν τῶν χρόνων καὶ τῆς ἡλικίας, καὶ προϊὼν αὐτῆς οὐχ ἥκιστα τῆς σπουδῆς, καὶ κατολίγον ἐμαυτοῦ γιγνόμενος, θερμότερον ἅπτομαι τοῦ πράγματος, καὶ τῆς ἐπιμελείας ταύτης, τῆς οἴκοθεν αὐτὸς ἐμαυτοῦ λοιπὸν γνώμης καὶ παρασκευῆς. Καὶ δῆτ' ἔδοξα πειρώμενος ἐνταῦθα πῶς ἂν εἴποι τις ἐμαυτοῦ καὶ πάνυ τοι χαίρων, εὖ μάλ' ἀνθεκτέον εἶναί μοι καθόσον οἷός τ' ἂν εἴην τῆς σπουδῆς ταύτης περὶ τοὺς λόγους, ὡς οὐ μόνον ἄρα βέλτιστόν μοι τόδ' ἐσόμενον, ἀλλὰ καὶ ἥδιστον πάνυ τοι ξυνόντι ἐν παντὶ τοῦ βίου τῷ προστυχόντι. Καί με δεινὸς ἔρως τοῦ πράγματος ἔσχεν, οὐκ οἶδ' ὡς εἴ τιν' ἄλλον τῶν νεανικῶν καὶ θερμοτέρων ἄλλου του. Καί με τοὺς γεννήτορας ἀφελομένου τοῦ καιροῦ, καὶ τῆς ἀπ' αὐτῶν πειθανάγκης καὶ τῶν κέντρων εἰς τήνδε τὴν

(1) Ἐλλείπει ἡ ἐπιγραφὴ τοῦ κεφαλαίου.

ἐπιμέλειαν ἐμαυτοῦ καὶ τῆς ἐν λόγοις διατριβῆς, αὐτὸς ἤρκουν ἀντὶ πάντων ἐμαυτῷ. Καὶ δῆθ' οὕτως ἔχων ἑκάστοτ' ἀεί, πρόσω εἴην εὖ μάλα χρώμενος αὐθόρμητος τῆς (1) σπουδῆς αὐτῆς περὶ τοὺς λόγους καὶ τοῦ περὶ αὐτοὺς πόθου. Καὶ τοίνυν ἔτη γεγονὼς τρία ἐπὶ τοῖς δέκα, τῶν μὲν τῆς γραμματικῆς ἐκλογισμῶν καὶ ὁρισμάτων περὶ τὴν λέξιν καὶ τῆς ἀκριβείας καὶ τῆς κατὰ τὴν γλῶτταν διαβασάνου (2) πάσης καὶ διακρίσεως ἀφοπλίσεως, πρὸς δέ, καὶ τῆς εἰς ταύτην ἐκ ποιητικῶν ἀκουσμάτων καὶ ὑποδειγμάτων συμμαχίας καὶ παρασκευῆς καὶ ὀρθότητος εἰς τὴν ἑξῆς χρῆσιν, (3) ἀπαλλάττομαι, τάχιστα μέν, οὐκ ἔξω δ' ἴσως τοῦ καιροῦ οὐδ' ἀνικάνως ἔχων (3), ἀπαλλάττομαι δ' οὖν. Ῥητορικῶν δὲ τοὐντεῦθεν ἐπιτεχνήσεων τῇ γλώττῃ προσαψάμενος, ἔπειτ' ἐδόκουν εὖ πῶς εἶναι ταύτῃ δὴ χρῆσθαι, συνεξεταζόμενος καὶ γυμναζόμενος τοῖς παλαιοῖς ἐνταῦθα δοκίμοις, καὶ ὧν πολὺ τὸ κλέος ἐξ ἐκείνου περὶ τήν δε τὴν ἄσκησιν συνδιατίθεσθαι, καί πως ἐμαυτὸν ἐκ τῶν ἐκεῖθεν παραδειγμάτων καὶ πινάκων καὶ τύπων, ἀναζωγραφεῖν καὶ πλάττειν τῆς συνήθους καὶ συνεχοῦς διατριβῆς καὶ σχολῆς, καὶ τῶν ἐπιμελῶν τε καὶ ἐπιμόνων ἀναγνωσμάτων, ὅλῃ φορᾷ τοῖς ἀνδράσιν ἐπινεύων, εἴ πως δυναίμην κατ' αὐτοὺς χρῆσθαι, καὶ ἀποτρεπόμενος εὖ μάλα καὶ καθάπαξ ἀνεπιστρόφως πρὸς τὴν ἐπιπολάσασαν ταύτην ὕστερον ἀκαιρίαν καὶ τῶν παλαιῶν καὶ γεννικῶν θεσμῶν ἐκτροπήν, τὴν νέαν ὄντως καὶ νεωτερικὴν καὶ λίχνον, καὶ κάλλεσιν ἐπιθέτοις ὥς γ' ἔδοξε βέλτιον εἶναι καὶ φλαύροις καὶ οὐδὲν ὑγιὲς ἔχουσιν, οὐδὲ μεγάλοις πρέπον, καταβακχεύουσαν ἄσεμνα γλώττης οἴστρῳ καὶ ψόφῳ διακένῳ, καὶ βρονταῖς ἀτόπων καὶ παρανόμων ῥημάτων καταχροτοῦσαν τὴν ἀπαθῆ καὶ ἀμαθῆ μάλιστα τῶν καλλίστων ἀκοήν, καὶ ὡς ἀληθῶς ἀωρίᾳ πλείστῃ ξυνοῦσαν καὶ ἀναρμοστίᾳ τῆς εὐγενοῦς καὶ

(1) τῆς τε. (2) διὰ βασάνου. (3)-(3) Ἐλλείπουσιν.

Digitized by Google

σώφρονος ἕξεως. Ἐντεῦθεν λοιπὸν τὰς τῆς Ἀριστοτέλους λογικῆς ποικιλίας στροφὰς καὶ δρόμους, καὶ πάντα παλαίσματα καὶ ὅλως τοὺς τῆς συλλογιστικῆς αὐτοῦ τεχνολογίας παντοίους φραγμοὺς καὶ μηχανήματα, ὧν ἄρα σπουδαίῳ δεῖ κατεπιχειρεῖν τῶν ὄντων καὶ προὔργου τό δε μάλιστα φιλοσοφία πρὸς τὴν χρείαν οἶμαι τῆς εὑρέσεως τῶν δικαίων ἑκάστων ἁπάσης οὐσίας. Ταῦτα δ' οὖν ἐπιμελῶς ἀσκήσας, ἃ μὲν ἐκ παραδόσεως, ἔστι δ' ἃ καὶ οἴκοθεν εὖ μάλα προσέχων (1) τὸν νοῦν, ἅμα δ' οὖν καὶ τὰς τῆς φύσεως τοῦ ἀνδρὸς αἰτιολογίας, ὅσαι τε καθόλου καὶ ὅσαι καθέκαστα, προσάπτομαι καὶ μαθηματικῶν λόγων καὶ τῆς ἐν τούτοις ἐπιστημονικῆς δυσαντιβλέπτου καὶ ἀνεπιχειρήτου παντάπασιν ἀσφαλείας, μετρίως ὅπως ἄρα καὶ κατὰ τοὺς πολλούς· οὐ γὰρ εἶχον ὅ τι δρῴην ἄν, ἐκλελοιπότος παρ ἡμῖν οὐκ οἶδ' ὅπως πάλαι τῶν χρόνων τοῦ δε τοῦ σπουδάσματος· πολλ' ἔτη γὰρ ἤδη καὶ μαθηματικῆς ἀκριβείας, οὐδεὶς οὔτε διδάσκαλος οὔτ' ἀκροατὴς ὤφθη παραπλησίως (2) καθάπερ καὶ τῶν ἄλλων θαρρῶν ἑαυτῷ καθάπαξ ἔπειτα χρῆσθαι, καὶ δείκνυσθαι νῦν ἄρ' ἐν τοῖς καθ' ἡμᾶς τούτοις Ἕλλησι, ξὺν οὐδενὶ δέει, ἂν εἴ τις ἔπειτ' ἐξετάζοι τὴν ἕξιν κατελέγχειν ἴσως πειρώμενος· τοσούτῳ (3) δ' οὖν ἤρκει μόνον τοῖς νῦν περὶ λόγους ἔχουσι, καὶ ταύτῃ πως ἀμηγέπῃ προσχεῖν καὶ ἅψασθαι καθάπερ ὀφειλήν τινα τῇ φιλοσοφίᾳ καὶ τῷ πρὸς αὐτὴν ἔρωτι πῶς ἂν εἴποι τις ἀποτιννύουσιν, ὅσον τῇ περὶ τοὺς ἀριθμοὺς εἰσαγωγικῇ Νικομάχου προστυχεῖν, καὶ τῇ τοῦ Εὐκλείδου περὶ τὰ γεωμετρικὰ στοιχειώσει, καὶ τοῦτο μέχρι τινός· καὶ τὸ πλέον ἦν, ὅσον περὶ τὴν τῶν ἐπιπέδων θεωρίαν, καὶ τούτων μάλισθ' ὅσ' ἐπιπολῆς (4), ὡς ἂν ἐρεῖ τις, ἔχοι καὶ οὐ βαθεῖαν πράττεται τοῦ προσιόντος σφίσι καὶ προσαπτομένου κατάληψιν καὶ περίνοιαν· τῶν γὰρ ἐν τῷ δεκάτῳ τῆς στοιχειώσεως ρη-

(1) προσέχων εὖ μάλα. (2) παρρησίᾳ. (3) τοσοῦτο. (4) ἐπὶ πολῆς.

Digitized by Google

τῶν τε καὶ ἀλόγων γραμμῶν τε καὶ εἰδῶν, καὶ τῶν ποικίλων ἀποτομῶν, ἀνίδεος ὡς εἰπεῖν ἦν, ἄρρητός τε καὶ ἄλογος σφίσιν ἡ ἐποπτεία· καὶ οὐκ εἶχον ὁπηοῦν ἐνταῦθα χρῆσθαι, οὔτ' οἴκοθεν τῆς αὐτὸς αὑτοῦ φύσεως καὶ δυνάμεως ἕκαστος, οὔτ' ἄλλου του μεταλαμβάνειν ὅπως ἄρα, καὶ λοιπὸν ἔπειτα προσεπικτᾶσθαι καὶ προστιθέναι· τὴν δὲ περὶ τὰ στερεὰ τῆς ἐπιστήμης πολυπραγμοσύνην καὶ μάλιστα τὴν τῶν περὶ τὰ κωνικὰ θαυμάτων τῆς μαθηματικῆς ἄρρητον παντάπασι καὶ ἀνεννόητον, πρὶν ἢ ἐντυχεῖν ὁντινοῦν καὶ προσχεῖν εὖ μάλα εὕρεσιν καὶ ὑποτύπωσιν Ἀπολλωνίου τοῦ ἐκ Πέργης, ἀνδρὸς ὡς ἀληθῶς θαυμαστοῦ τῶν ἐξαρχῆς ἀνθρώπων ὅσα ἐμὲ εἰδέναι περὶ τὴν γεωμετρικὴν ἐπιστήμην, αὐτοῦ τε τὴν περὶ τὰ κυλινδρικά, καὶ Σερήνου κατ' αὐτὸν ἀνδρὸς ἢ ὅτι ἔγγιστα. Ἔτι δὲ τὰ περὶ σφαῖραν κινουμένην τε καὶ μή, θατέρου δὴ μέρους τῆς μαθηματικῆς σχήματα καὶ εἴδη καὶ συμπτώματα, οἷς ἄρα καὶ συνεισάγονται αἱ τῆς ἀστρονομικῆς ἕξεως ὑποθέσεις Θεοδοσίου καὶ ὡντινων ἄλλων, καὶ οὐχ ἥκιστ' Εὐκλείδου ἁρμονικούς τε λόγους καὶ κατατομὰς συμφύτους τῇ τοῦ παντὸς κατασκευῇ· καὶ ὄντως ἀπόδειξιν ἄσειστον καὶ ἀκλόνητον τῆς τῶν ὄντων ἀλληλουχίας καὶ τῆς θείας προνοίας καὶ καλλιτεχνίας ὡς εἰπεῖν ὑπόμνησιν παμπλείστων πανσόφων ἀνδρῶν, τί τίς ἂν λέγοι; Ἐδόκει δὴ περὶ τῶν τοιούτων τέως ἐννοεῖσθαι ταὐτόν, ὥς περ ἂν εἴ τις περὶ τῶν μήτε ὄντων μήτε φύσιν μὴ ποθ' ὅλως ἐχόντων, μήτ' εἶναι, μήτε γίγνεσθαι· καὶ ὅς τις ἂν περὶ τούτων ἐγχειροίη καὶ ὁτιοῦν ἢ λεγειν ἢ ἐρῶν ζητεῖν καὶ οἴκοθεν αὐτὸς πονεῖν, ἢ ἀκροᾶσθαι, μήτε ὡς ἀληθῶς πονεῖν καὶ τὰ μὴ ὄντα ζητεῖν, ἢ τὰ μὴ παρόντα κατὰ τὸν λόγον ποθεῖν, καὶ διαλέγεσθαι πειρᾶσθαι μὴ συνήθει, ἀλλά τινι παρατρόπῳ καὶ ἀλλοτρίᾳ φωνῇ, καὶ ἧς οὐθ' ὅλως αὐτὸς μετέσχεν, οὐθ' οἱ ἀκούοντες ἐπαΐουσιν. Ἕλλην ἴσθι, τὰ δὲ (1) Ἰνδῶν φθέγγεσθαι, ἢ

(1) Ἕλλην ἴσως τὰ ἐξ Ἰνδῶν.

τὰ ἐκ Σκυθῶν, ἢ Περσῶν, ἢ τούτων δή τις θάτερα ταῦτα δὴ τἀλλότρια! Καὶ σώφρων ἦν ἀληθῶς, καὶ τοιοῦτός γ' ἐδόκει καὶ νοῦν ἔχων, ὅστις ἀφίστατο τῶν τοιούτων, καὶ οὐ προσεῖχεν ὁπωσοῦν σφίσι χρῆσθαι, καὶ τὸν καιρὸν ἐνταῦθα δαπανᾷν ἀνόνητα. Καὶ γέλως τοὐναντίον, εἴ τις ἔπειτα πειρῷτο, δοκῶν ὁτιοῦν ἐνταῦθα περαίνειν, ἢ πάντως ἑαυτὸν ἀπατῶν, ἢ τοὺς ἄλλους ἀπατᾷν πειρώμενος. Τί λέγεις; ληρεῖν μοι δοκεῖς, ἄνθρωπε, τῶν ὑψηλῶν οὕτως καὶ ὑπερηρμένων καὶ ἀλήπτων κατεπιχειρῶν ἀμαθῶς καὶ χωρὶς συμμαχίας τινὸς καὶ χειραγωγίας, ὡς ἀνυσίμων καὶ φύσιν ἐχόντων περαίνειν, κατ' ἐκείνω τὼ Θετταλὼ μειρακίω, τὼ διὰ τῆς ἐποικοδομήσεως τῶν ὀρῶν εἰς ἄλληλα πειρωμένω πρὸς οὐρανοὺς ἀνιέναι, ἢ μᾶλλον κατὰ τὴν παροιμίαν εἰς οὐρανοὺς τοξεύεις, περὶ τῶν οὐρανίων ἐπιβάλλων (1) νοεῖν καὶ λέγειν βαθεῖ σκότῳ καλυπτόμενος ἀμαθίας, ὅστις ἂν εἴης, κἂν τ' ἄλλα πάνσοφος· καὶ γὰρ σφόδρα κἀγὼ περὶ τῶν τοιούτων ἀνδρῶν ἐῤῥόνουν οὕτω καὶ κατεμεμφόμην τῆς ἀκαιρίας ταύτης, ὡς ἀνήνυτα πονεῖν ᾑρημένων καὶ τῶν περὶ τῶν τοιούτων ὅλως ἐπιχειρεῖν καὶ τρίβειν καὶ πειρᾶσθαι δείκνυσθαι, ἐδόκει παγγέλοιον οἷον εἶναι. Καὶ οὐκ ἔξω φημὶ λόγου μήτ' ἀληθείας οὐδ' ἀπεικότως, ἐπεὶ καὶ χάριεν ἂν εἴη, μᾶλλον δὲ παντάπασιν ἀσυλλόγιστον οἶμαι, σκυτορραφεῖν μὲν μὴ ἐξεῖναι μὴ προμεμαθηκότα καὶ ὁπηοῦν τῶν εἰδότων τέως, μὴ δὲ τεκταίνειν μὴ δὲ χαλκὸν ἐργάζεσθαι, μὴ δὲ ναυπηγεῖν, μὴ δ' ἁλιεύειν ἀσκεῖν καὶ κατὰ τῶν ἰχθύων σοφίζεσθαι, μὴ τ' ἄλλ' ὁτιοῦν δρᾷν τῶν εὐτελῶν καὶ βαναύσων ἔργων, ὅτι μὴ διδαχθέντα, περὶ δὲ τῶν οὕτω μεγίστων καὶ θαυμασίων ὄντως καὶ ἀξιολογωτάτων τῆς ἀνθρωπίνης μεγαλοφυΐας καὶ σοφίας εὑρημάτων, μᾶλλον δὲ τῆς ἐκ θεοῦ μεγαλοδωρεᾶς τοσαύτης περὶ τὴν γνωστικὴν τῆς ψυχῆς τελείωσιν ῥᾴδιον εἶναι καὶ τοῦ

(1) καὶ νοεῖν.

Digitized by Google

παντὸς ἅμα τε ἅπτεσθαι βούλεσθαι, καὶ ἅμα ἅπτεσθαι καὶ περαίνειν, καὶ δίχα τινὸς ἡγεμόνος ἢ παραδόσεως ἡστινοσοῦν καὶ τῶν προεγνωκότων ἐκδοχῆς, ἀστρονόμον ἀναφαίνεσθαι καὶ πάσης μαθηματικῆς ἄλλης ἐπιστήμης ἀντιποιεῖσθαι, οὐκ ἀεί (1) γέ τιν᾽ ἐρεῖν τοῦτο δοκῶ μοι τῶν νοῦν ἐχόντων καὶ ὅλως ἐν λόγοις μένων, Τοιγαροῦν εἶχον μὲν καὶ αὐτὸς οὕτω φρονῶν, καὶ ὡς ἔφην οὐκ ἀπεικότως· καὶ δῆτα λοιπὸν ὑπ᾽ αὐτῶν ἔγωγε τῶν λογισμῶν τῶν γε τοιούτων ἀπετράπην, τὰ μὲν ἄκων μάλιστα, τὰ δ᾽ ἑκών γε εἶναι, ὡς μηδὲν ἔχων ἔπειθ᾽ ὁτιοῦν δρᾷν ἐνταῦθα, καὶ τὴν ἐν τούτοις διατριβὴν ἀνόνητον ὄντα μοι καὶ μάταιον πόνον καὶ πλάνον ὄντως ἀσχολίαν, ὅλος τ᾽ ἐπὶ θάτερα γίγνομαι· καὶ ἃ πρότερον εἴρηται τὰ θ᾽ ἱερὰ γράμματα κατ᾽ ὀφειλὴν πάντως ἐπιὼν καὶ τὸν ἐν τούτοις ἀνορύττων ἐμαυτῷ θησαυρὸν, καὶ συλλέγων τὰ ἐξ ἱστοριῶν παλαιά, τὰ μὲν οἰκεῖα καὶ θεῖα καὶ ὅσα τῆς θεοσεβείας ἀρχῆθεν ἡμῖν ἥκει πάτρι᾽ ἐς δεῦρο, τὰ δ᾽ ἀλλότρια, καὶ τὴν ἐκ μακρῶν τῶν χρόνων ἀγωγὴν τοῦ βίου περὶ τἀνθρώπινα· καὶ τοῖς φυσικοῖς Ἀριστοτέλους, ἠθικοῖς τε καὶ λογικοῖς ἐπεγκύπτων, καὶ τοῖς ῥητορικοῖς τῶν ὀνομαστῶν ἐκείνων τε (2) τὴν ἑρμηνείαν δρόμοις, καὶ ταῖς τῶν λόγων παλαίστραις τρυφῶν τε καὶ συνασκούμενος ἐπιμέλειαν ἐποιούμην τῆς γλώττης ἥντινα δή, καί τι γ᾽ ἐδόκουν ἐμαυτὸν κατὰ καιρὸν ἀνύττειν ἐνταῦθα· καὶ τὸ γόνιμον ἀμέλει τῆς ψυχῆς ἐντεῦθεν ὑπανοίξας, ἐκδόσεις τινὰς ἐποιησάμην, φοράν τινα πορίσας κατ᾽ ἐμὲ γ᾽ αὐτὸν, πῆ μὲν ἑλληνικαῖς ἀφορμαῖς γυμναζόμενος, ἀρχαῖον τὸ ἔθος, πῆ δὲ καὶ κατὰ θείαν ἄρα τινὰ λειτουργίαν καὶ χρείαν διδοὺς οἶμαι τὴν γλῶτταν. Ἔτος ἐπὶ τούτοις μοι γίνεται (3) τρίβοντι καθόσον οἷον τ᾽ ἦν εἰκοστὸν καὶ πρὸς, κἄπειτα μετατίθεμαι τῆς σχολῆς, καὶ προσίεταί με βασιλεὺς οὑτοσὶ καθ᾽ ἡμᾶς πάντα μέγιστος, ἐν τοῖς

(1) ἄν. (2) περὶ τήν. (3) γίγνεται.

ἀρχείοις καλέσας, ὑπ' ἄκρας περὶ πάντα φιλοκαλίας, περὶ οὗ τί τίς ἂν χρήσαιτο μνησθεὶς ὅλως; παρελθεῖν μὲν γὰρ οὑτωσί πως τινα, μηδὲν ὁτιοῦν ὑποσημηνάμενον ἐνταῦθα, μὴ δ' ἐπιμείναντα προσβραχὺ, ὡσανεὶ μὴ δ' αἰσθόμενον, ἔοικεν οἱ προσέσχε, καί τοι γε δέον εὖ μάλ' αὐτίκα ξυντυχόντα τῇδε κροτῆσαί τε καὶ σκιρτῆσαι κατάπληκτόν τινα καὶ κάτοχον ὥσπερ γενόμενον πρὸς τοσοῦτο θαῦμα τῆς ἀνθρωπίνης φύσεως καὶ τοῦ βίου· παρελθεῖν γοῦν οὕτω καθάπαξ, σαφής τε καὶ μέγιστος ἀβελτηρίας καὶ ἠλιθιότητος τῆς ἐσχάτης ἔλεγχος. Ἀτὰρ δὴ περὶ τοσούτου πράγματος αὖθις, ἐργῶδες πάνυ τοι λέγειν πειρᾶσθαι καὶ ταῦτ' ἐν παρόδῳ τοῦ λόγου, ἄλλῃ ποι προτεθειμένου κἀκεῖσε βλέποντος, περὶ οὗ καὶ βίβλους ὅλας καὶ ξυγγραφὰς ἐμοὶ δοκεῖν παμπλείστας ἐξεργασάμενόν τινα καὶ τῶν μέγιστα δυναμένων ἐν λόγοις καὶ μέγιστον ἔργον καὶ μέγιστον (1) ἀγῶνα τοῦτον προτεθειμένον πάσης ἀσχολίας ἀνώτερον, οὐκ ἔστιν ἔπειθ' ὅμως, ὥστε καὶ τὰ εἰκότα καὶ δίκαια τοῦ πράγματος ἀποπλῆσαι· καὶ μαίνοιτ' ἂν ὅς τις ἂν ἄλλως λέγει. Ἀλλ' ὅμως γ' ἐρεῖν ἀνάγκη καὶ ἡμᾶς ἄττα δὴ, νῦν γε εἶναι πρὸς τὴν μνήμην ὁπηοῦν ἀφοσιουμένους, καὶ μέμψις οὐκ ἂν εἴη τις, οὐδ' ἀμαθίας ἔγκλημα τούτου δή· ἐπειδὴ κἂν εἰ πλεῖστά τις λέγοι, καὶ μάλισθ' ὡς ἂν οἷός τ' εἴη, παραβαλλόμενος καὶ σπουδάζων εὖ μάλα καὶ τῶν ἄκρων ἐν λόγοις τοῦτ' αὐτὸ πάντας ἐκδέχεται πέρας κοινὸν ὥσπερ ἄρ' ἐμοὶ τὸ τοῦ προσήκοντος ἀτευκτῆσαι (2) καὶ κατόπιν τῶν δικαίων λειφθῆναι. Καὶ τοίνυν λέγομεν, ὅτι βασιλεὺς οὑτοσὶ μέγας ὡσπερεὶ τύπος τις ὑπὸ τῆς προνοίας ἀπὸ πάντων καλῶν ἀνίσταται τῇ φύσει τελειότατος, καθάπερ οἱ ζωγράφοι δύναιντ' ἂν πίνακας ἀρχετύπους πλάττειν ἀπὸ τῶν ἄκρων ὅρων τοῦ κάλλους, ὡς ἄρ' ὁ νοῦς οἷός τ' ἂν εἴη κατασυλλογίσασθαι πᾶσαν ἰσότητα καὶ συμμετρίαν· καὶ δὴ κἀπὶ τοὐμοῦ νῦν τοῦδε βασι-

(1) μόνον. (2) ἀπευκτῆσαι.

Digitized by Google

λέως, ὥς γ' ἔφην, οὐ τὰ μὲν εὖ ἔχει, καὶ ἴσως τὰ πλείω, τὰ δ' ἄλλως καὶ ἧττον ἢ ὡς τ' ἄλλα, ἀλλ' ὁμοῦ πάνθ' ἑξῆς βέλτισθ' ὅμοια καὶ οὐδὲν ὅτι οὔ, καὶ ὅσα σώματος καὶ ὅσα ψυχῆς· καὶ ὁράτω τις τοῦ σώματος μὲν αὐτίκα κάλλος, ὑγείαν, ῥώμην οἷα πρὸς ἔσχατον τῆς εὐγενοῦς ἕξεως καὶ οἷα καθάπαξ ἀπαράλληλα· καὶ τούτων ὁτῳοῦν ἄρ' ἑνὶ τὸ 'φάμιλλον οὐκ ἔστιν οὗ καθορᾶν, εἰ δὲ μή, οὐκ ἔστι μετὰ τῶν ἄλλων ὁμοῦ πάντων τοσούτων, ἢ μετὰ πολλῶν κοινωνεῖν ἄλλων ἢ καὶ μὴ πάντων. Καὶ μὴν ἤθους ἔτ' ἀμέλει κρᾶσιν οἵαν ἀνεννόητον παντάπασι, τί τίς ἂν ἐρεῖ; Πολλὴ μὲν γὰρ ἡ σεμνότης καὶ τἀξίωμα κἀκ πρώτης ἡλικίας τῶν ἁπαλῶν ἔτι χρόνων ξύμφυτος, τῷ μεγέθει τῆς ἀρχῆς ἁπαντῶσα πρέπουσα, πολὺ δὲ τὸ χάριεν αὐτόθεν ἐπανθοῦν καὶ γλυκαῖνον, ὥς τε καὶ προσορᾶν, ὥς τε καὶ χρῆσθαι ξὺν ῥαστώνῃ πάσῃ πᾶσαν ἄλλην νικῶσαν· (1) καὶ ἀμφότερ' εὖ μάλα κοινωνοῦντα, καὶ ὡς εἰπεῖν ἡρμοσμένα μουσικώτατα καὶ σύμφωνα, ὡς μὴ τὸ μέν, καταστράπτειν τὴν ἐντυγχάνουσαν ὄψιν ἀπέλαστον καθάπαξ καὶ ἀμιγές, τοῦ δέ, τὴν ὥραν περιφρονεῖσθαι καὶ ταπεινὰ πράττειν, ἀλλὰ πᾶσιν ἱμέροις ἕλκουσαν, ἔπειθ' ὅμως πάντων ὑπεράνω φέρειν καὶ ὑπερκεῖσθαι, καὶ κανόνα βασίλειον ἐνταῦθα δείκνυσθαι κάλλιστ' ἀμφοτέρωθεν εὐοδούμενον (2) κρείττω ἢ καὶ λογίζεσθαι καὶ θαυμάζειν ἀξίως ὅς τις ἂν πειρῷτο. Τῶν δ' ἄρα κατὰ ψυχήν, νοῦ τοσούτῳ (3) δὴ τὸ κράτος τῷ βασιλεῖ, καὶ τάχος ὡς εἶναι παντὸς ὡς ἀληθῶς νοῦ, καὶ γνώμης πάσης ἐπέκεινα ξυνιδεῖν καὶ καταλογίσασθαι. Καὶ τὰ μὲν ἄλλ' ἐῶ, νῦν τε (4) εἶναι· ἢ τί γὰρ ἂν χρησαίμην τρέχων οὕτω τοῦ λόγου; ἃ δὲ τοῖς πολλοῖς χρόνιος ἄσκησις καὶ κατεσπουδασμένη πρόθεσις ἀρχῆθεν πρὸς τὴν αὐτουργίαν τοῦ νοῦ καὶ τὴν τοῦ λογικοῦ κατὰ φύσιν προκοπὴν δοκεῖ πορίζειν καὶ κατατεχνιτεύουσι καὶ σοφίζουσι πόνοι πολλοί, ταῦτα τῷ

(1) νικώσῃ. (2) ἐνθυνόμενον. (3) τοσοῦτο. (4) γε.

Digitized by Google

βασιλεῖ δύναται καὶ βρύει μόνη φύσις, καὶ ταῦτ' ἔστιν αὐτόθεν οἴκοθεν αὐτῷ, καὶ σοφός ἐστιν αὐτῇ κατὰ Πίνδαρον, πολλὰ εἰδώς, καὶ οὐδὲν μὲν οὖν μή ποτ' οὐκ ἐπιτηδεύσας οὐδὲ μογήσας, οὐδ' ἐπιμελείας παμπλείστης δεῆσαν καὶ πολυετοῦς ἐπὶ τὴν σοφίαν τριβῆς αὐτῷ· καὶ ταῦτ' ἔστιν ἀπόνως αὐτῷ· καὶ ὡς μάλιστα ῥᾷστα κατὰ τὰς τῶν πηγῶν αὐτόθεν εἰς ἐπίδηλον καὶ φιλανθρώπως ἐπιμελείας ἁπάσης ἡστινοσοῦν δίχα προχεούσας ἄφθονα τὰ ῥεύματα· καὶ οὐ ξὺν πόνῳ πολλῷ καὶ προνοίᾳ τῆς εὑρέσεως καὶ ὡς ἄρα δέοι ἂν ἐπιεικῶς ἀνορύττειν τε τοὺς θησαυροὺς τῆς φορᾶς καὶ καταναγκάζειν τὴν φύσιν εἰς τὴν γονὴν καὶ τὴν ἐπίδειξιν τῶν ὄντων, καὶ ὅλως μόχθῳ τε καὶ δαπάνῃ χρόνου πραγματεύεσθαι καὶ διοικεῖν ἄρα πη παρήκει τὴν χρῆσιν. Νῦν (1) δὲ πᾶσα μὲν ἀνεπιμέλητος καὶ ἄπονος πηγάζει τῷ θαυμαστῷ πάντα βασιλεῖ περινοίας ἀνατομὴ καὶ ἀνάδοσις καὶ χύσις, καὶ περὶ παντὸς ὁτουοῦν, καὶ ὅσα τῶν καθ' ἡμᾶς φημὶ καὶ θεῖα, καὶ ὅσα περὶ τὴν τῶν ὄντων εὕρεσιν καὶ θεωρίας ἡ σοφία κατεπιχειρεῖ καὶ φιλοπονεῖ καὶ νομοθετεῖ, καὶ ταῖς εὐτυπώτοις ψυχαῖς ἡ τέχνη παντοῖ' ἐγχαράττει καὶ κατευστοχεῖ παιδείας κόμματα· οὐ γὰρ ἑκάστοις ἅπαντ' ἔξεστι· πολλοῦ μέν τ' ἀνάξιον εἴη ὅστις περιπλείονα, ἢ κατὰ τοὺς ἄλλους ἢ καὶ κρεῖττον ἴσως οἷός τ' ἂν εἴη κάλλισθ' ἑαυτῷ χρῆσθαι· βασιλεῖ δὲ τῷ μεγίστῳ πολυαρκὴς μὲν ἡ φύσις περὶ παντὸς ὁτιοῦν, ἕτοιμος δὲ φέρειν εὐγενεῖς μεγαλονοίας παντοίους καρπούς· καὶ πᾶν ὅ τι ποτ' ἂν προβαλὼν καὶ τὸν νοῦν αὐτῷ καθαπερεὶ λίθον ὑποκρούσας, αὐτίκα πᾶν (2) ἀλλόμενον ὄψει καὶ βίᾳ προῆκον αὐτόθεν, μένον τέως ἄδηλον οἴκοι καὶ ἀδόκητον καὶ πάσης ἀφορμῆς πῶς ἂν εἴποι τις, ὥστε καὶ δρᾶν ἔχειν εὖ μάλ' ἅπτεται, καὶ λόγοι γένωνται (3) πρὸς τὴν ἐντυχίαν τῆς χρήσεως ἑκάστης θαυμαστοί· νῦν μὲν περὶ τῶν θείων νομίμων

(1) Νυνί. (2) πῦρ. (3) γεννῶνται.

Digitized by Google

ἀφ' ἱερῶν ἀδύτων ἀστράπτοντες καὶ δόγματα καὶ θέσεις περὶ πάσης θεοσεβείας καὶ πάσης ἀφηγήσεις τῆς καθ' ἡμᾶς ἱερᾶς ἁγιστείας, καὶ γραφῶν ἔρευνα· καὶ νοῦς ἐν αὐτοῖς ἀπόρρητος ὥσπερ θησαυρὸς κρυπτόμενος, μεταλαμβάνει φωτὸς καὶ μεταδίδοται κάλλιστα τοῖς ἐν χρείᾳ καὶ φιλανθρωπότατα. Καὶ ἥδεσθαι τοίνυν ἐστὶν ἅπαντας τοὺς ἐντυγχάνοντας, ὅσοις τις πάντως αἴσθησις καὶ ἐνθουσιᾶν ἐστιν αἱρομένους καὶ κροτοῦντας ἄσχετα τῷ θαύματι· νῦν δὲ λόγων κρίνονται δρόμοι καὶ γλώττης ἄεθλοι καὶ φωνῆς ἄσκησις καὶ τέχνη· καὶ φύσις ἔοικεν εὐγενὴς ἐντεῦθεν καὶ ἡρμοσμένη τὸ ἐξ ἀρχῆς πάντων εἶναι διδάσκαλος, τεχνιτεύσασα πάντα τὰ νῦν ἐκ διαδοχῆς τινος καὶ χειραγωγίας καὶ δόξης τῶν φθασάντων ἐκείνων, καὶ πείρας καὶ τριβῆς ἐθίμου καὶ χρόνων μακρῶν εἰς ἡμᾶς ἥκοντα, κειμήλιά τινα πολυπόθητα καὶ πάσης ἐπιμελείας καὶ σπουδῆς ἄξια, καὶ πατρῷοι κλῆροι. Ἡ τίς γὰρ οὐχ οὕτως ἂν ἐρεῖ τὴν ἀρίστην ἕξιν ταυτηνὶ καὶ κρίσιν καὶ διοίκησιν τοὐμοῦ βασιλέως ἐν τούτοις καθορῶν οἴκοθεν ἀποίητον οὑτωσὶ παντὸς τυγχάνουσαν τοῦ εἰκότως, ὅπη τε καλῶς ἔχοι χρῆσθαι καὶ ὅπη μή; νῦν δὲ φιλοσοφίας ἁπάσης ξυναίσθησις καὶ οἷον ἄρρητός τις ὡς ἔπος εἰπεῖν ἐπαφή· καὶ τοίνυν τὰ μὲν αὐτῆς τῶν σεμνῶν καὶ ὑπερηρμένων, ἃ καὶ τέως δυσκατέργαστα καὶ δυσθήρατα, ῥᾷστα βασιλεὺς προσίεται καὶ τάχιστ' ἀκούσας θαυμαστῶς ὅπως, τοῖς δὲ καὶ προσεξεργάζεται καὶ συνεισφέρει τῶν οἴκοι ταμείων αὐτὸς καὶ συμπορίζει καὶ συμπεραίνει κάλλιστα· καὶ τὰ μὲν συνηγορεῖ τῇ φύσει καὶ χαρίζεται, καὶ τεχνολογεῖ καθ' ἕκαστα τῶν γενομενων ἢ γιγνομένων τὰς ἀφορμάς· τὰ δέ, καὶ ταῖς μαθηματικαῖς ἀκριβείαις γεννικῶς ἀπαντᾷ καὶ συμπολυπραγμονεῖ καὶ συνίησιν εὖ μάλ' ἑπόμενος γνώμης ὀρθότητι καὶ συντονίᾳ, τῶν σκοπῶν τῆς ἐπιστήμης οὐκ ἀτευκτῶν οὐδ' ἀποπίπτων· νῦν δὲ, διαλέξεων παντοίων παλαίστρας καὶ τέχνης λογικῆς εὑρέσεις καὶ συστροφαὶ περὶ πᾶν ἀγώνισμα προτεθὲν κατὰ φύσιν αὐτῷ

Digitized by Google

κράτος ἔχουσαι καὶ κατεπιχειρήσεις ἀφίκτους. Καὶ πλεῖστ᾽ ἔχομεν λέγειν ἔτ᾽ ἀμέλει περὶ τῆς βασιλικῆς τοῦ νοῦ μεγαλοφυΐας, ἀλλὰ τί τις ἂν χρήσαιτο παρόδῳ λόγων ἄλλων καὶ σκοπῶν ἄλλων περὶ ταῦτα γενόμενος, ὧν οὐκ ἔστιν ἱκανῶς ἐφικέσθαι καὶ τυχεῖν, κἂν εἴ τις, ὡς ἔφημεν, τῶν δοκίμων τε καὶ τὰ μέγιστα δυναμένων κομιδῇ (1), ὅλον ἑαυτὸν εἰς ταῦτα μάλιστα δοίη καὶ σπουδῆς ἔργον ἀξιολόγου μόνον τοῦτο προθέμενος, ἔπειθ᾽ ὡς ἂν οἷός τ᾽ εἴη περαίνει τελευτῶν. Ἀτάρ γε τοσοῦτο λέγειν νῦν ἔχομεν καὶ προστιθέναι, ὡς ἄρα τοῖς περὶ λόγους ἡμῖν ἔχουσιν ὅσοις δὴ κατὰ θεῖον γέγονεν ἐγγίζειν βασιλεῖ, καὶ λόγων ἀμηγέ πῃ κοινωνεῖν, καὶ προσέχοντας εὖ μάλα τὸν νοῦν τῶν ἑκάστοτε λεγομένων ἀρύττεσθαι, μέγιστον ἀπαντᾷ τὸ κέρδος τῆς ξυνουσίας ταύτης καὶ προκοπὴ συνεχῶς τῆς καθ᾽ ἡμᾶς αὐτοὺς ἕξεως· καὶ τοῦτο μὲν ἀεὶ πλέον ἔχει καὶ φέρεταί τις ὧν ἀκροᾶσθαι δύναιτ᾽ ἂν ἕκαστος, καὶ πηγάζοι βασιλεύς, καὶ τοῖς οἴκοι προσοῦσιν ὅσαι ἡμέραι καὶ ὅσαι ὧραι προστίθεται καὶ προσεπαύξει τοῖς λόγοις· τοῦτο δ᾽ ἀμέλει συμπαραβάλλεσθαι κατὰ λόγον ἀνάγκην ἔχοντες καὶ παρασκευάζεσθαι πρὸς τοσοῦτον μέγιστον ἄρα καὶ ἀκριβέστατον θέατρον, μᾶλλον δὲ κριτήριον ἀπαραλόγιστον καὶ γεννικὸν καὶ τῶν λόγων ἑλλανοδίκην τόνδε, καὶ βραβευτὴν τῶν ψήφων καὶ τῶν ἐπάθλων, πῶς οὐχ ὁστισοῦν ἔπειθ᾽ ὡς ἂν οἷός τ᾽ εἴη καθ᾽ ἑκάστην ἀνίσταιτ᾽ ἂν θερμότερος ἐπὶ τοὺς λόγους αὐτοὺς καὶ κρείττων ὁπηοῦν αὑτοῦ γίγνοιτο; ἢ τίς γὰρ οὕτω δυστυχὴς ἄνθρωπος καὶ ταπεινοῖς οἶμαι ξυλλογισμοῖς καὶ γνώμῃ, ὅς οὐκ ἂν παντὶ σθένει καὶ πάσῃ παρασκευῇ χρήσαιτο ὅλῃ ῥύμῃ πρὸς τὴν χρείαν φέρων καὶ τὸ φρόνημα ἐξάπτων τῆς τοσαύτης τοῦ βασιλέως φιλοτιμίας τε καὶ φιλοκαλίας καὶ κρίσεως τῶν εἰκότων ἑκάστοις; Καὶ μὴν οὐ περὶ τοὺς λόγους ἐστὶ μόνον ὄνασθαι

(1) δοκίμων τε κομιδῇ καὶ τὰ μέγιστα δυναμένων.

Digitized by Google

λοιπὸν οὕτω τῆς τοῦ θαυμαστοῦ βασιλέως μεγαλοφυΐας, ἀλλὰ καὶ περὶ πάντ' ἄλλα βέλτισθ' ὁμοῦ, καὶ πᾶσαν ἄλλην ἕξιν εὐγενῆ καὶ ἀρετήν· καὶ οἷός τ' ἂν εἴη τῶν ξυντυγχανόντων ἕκαστος ἑαυτοῦ ἀμείνων γίγνεσθαι καὶ ὁρᾶσθαι, πάσης ἀμέλει δοκιμασίας καὶ περιουσίας ἀγαθῆς ἢ πρότερον εἶχεν, ὡς ἂν δύναιτ' ἄρα καὶ φύσεως ἔχοι καὶ γνώμης, ὁ μὲν ὁσονοῦν ὁ δὲ πλεῖον, ὁ δὲ πλεῖστον, καί τις ἄλλος ἐπ' ἄλλου πλεῖον, καὶ τοῦτ' ἀεὶ πλεῖστον εἰς ὅσον ἔξεστιν ἱκνεῖσθαι· ἁπάσης γὰρ τῶν καλλίστων ἰδέας ὁ βασιλεὺς ἀρτιουργός ἐστι καὶ τελεσφόρος γνώμων καὶ κανὼν εὖ ἠσκημένος, ὅστις ἔπειτα χρῆσθαι βούλοιτο καὶ κατ' αὐτὸν ἑαυτὸν ἰθύνειν· θεοσεβείας γε μὴν ἀσφαλεστάτης τὰ πρῶτα καὶ παντὸς ὁτουοῦν ἀμιγοῦς κιβδήλου καὶ φλαύρου, σπουδαστής ἐστιν, οὐκ οἶδ' ὡς εἴ τις τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος καὶ πάντ' ἐντεῦθεν ἐξηρτήσατ' ἐπιδήλως τὰ σφέτερ' αὐτοῦ, καὶ βασιλείαν καὶ φίλτατα, καὶ σῶμ' αὐτὸ τελευτῶν καὶ οὐδὲν ὅ, τι οὐκ ἂν εὖ μάλα ῥᾷστα· καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ κομιδῇ πάντων ἥδιστα προέσθαι πάντα δεῆσαν ἕλοιτ' ἂν αὐτίκα πρὶν ἢ καὶ ὅ, τιοῦν τῶν ὅλως νομίμων τῆς εὐσεβείας ἡμῶν καὶ τῶν σμικροτάτων δοκούντων καὶ τέως περιφρονήτων ἀφύλακτον παριδεῖν καὶ κρινόμενον ἐν δευτέρῳ, καὶ μὴ πολλοῦ τινος λόγου· ὑπὲρ τούτων οἱ πλείους αὐτῷ πόνοι, ὑπὲρ τούτων οἱ πλείους ὅσαι ἡμέραι λόγοι καὶ πρὸ τῶν ἄλλων ἁπάντων τῶν γε τῆς ἀρχῆς νομιζομένων δικαίων, καὶ οἷς ἐπιστατεῖν ἔλαχεν. Ἀληθείας δ' ἐραστὴς τοσοῦτος, ὡς κἀνταῦθα λέγειν ἔχοιμ' ἄν, ὡς οὐκ οὐδ' εἴ τις ἄλλος τῶν ἀπὸ παντὸς αἰῶνος, ὧν (1) καὶ ἀσάλευτος οὗτος ὅρος πάσης φροντίδος ἀξιούμενος, καὶ παντὸς ὑπεράνω πράγματος, μὴ δ' ἐν παιδιαῖς, μὴ δ' ἐν ὅτῳ δὴ τὴν γλῶτταν ὁτιοῦν κινεῖν ἄλλως, ὅτι μὴ τῆς ἀληθείας ἐπιμελῆ καὶ τοῦ ψεύδους ἀλλοτρίαν καθάπαξ, κἂν τού-

(1) ᾧ γε.

Digitized by Google

τοις ἄρα τοῖς λόγοις ἐν οἷς δοκεῖ πως ἀζήμιον εἶναι τὸ ψεῦδος, καὶ οὐδὲ ψεῦδος ἴσως· ἀλλ' ἀήθης ἔστω καὶ τοῖς τοιούτοις ἡ γλῶττα φησίν, ἡ πάντ' εὐγενὴς γλῶττα. Δικαιοσύνης δὲ πέρι, τί τις ἂν ἐρεῖ ὅσος ὁ περὶ ταύτην ζῆλος καὶ τῆς ψυχῆς ἡ πρόθεσις, ἔνδον ἀκάματος καὶ παντὸς ἀήττητος φλέγουσα; ἐπιεικείας δέ, οἴκτου δέ, καὶ συμπαθείας περὶ πάντας ὁτιοῦν κάμνοντας, ἢ πενίαις, ἢ νόσοις, ἢ ὁτῳοῦν ξυνόντας ἐργώδει, ὡς ἐκτήκεσθαί οἱ τὴν καρδίαν αὐτίκα καὶ πάσχειν αὐτόν, ὡς αὐτὸν ἀτεχνῶς κάμνοντα, καὶ πάντων μάλιστα καὶ οὐκ οἶδ' ὡς εἴ τῳ ἄλλῳ τοῖς μὴ ξυναλγοῦσι καὶ γνώμην βοηθὸν αὐτίκα διδοῦσι τῇ κοινῇ φύσει δυσχεραίνειν καὶ χαλεπῶς προσφέρεσθαι. Καί τί ἄν τις ἐν τούτοις ἔτι τρίβοι; φέρων ἄλλως καὶ ἴσως ἔξω πάνυ τοῦ καιροῦ, περὶ ὧν οὐκ ἔστιν ὅλως, ᾗ περ ἔφην, ἱκανῶς ἔργου ἂν (1) ὅσα τις εἴποι (2) σφόδρα πονήσας; Καὶ τοίνυν ἐπανακτέον οἷ πρότερον ὁ λόγος εἶχε. Βασιλεὺς δὴ μέγας ὑπ' ἄκρας καὶ τοῦτ' εἴρηται φιλοκαλίας· ἐδόκουν γὰρ ὁτιοῦν περὶ τοὺς λόγους ἀνύττειν· προσλαμβάνεταί με τοῖς ἀρχείοις· καὶ δὴ τὸν τρόπον τοῦτον ἐν αὐτοῦ γίγνομαι, καὶ ὥστε τῶν αὐτοῦ μεταλαβεῖν καλλίστων καὶ φιλανθρώπων καὶ πάσης εὐποιΐας καὶ λόγων καὶ πραγμάτων· ἐδόκει δὴ καὶ ἦν ξυντεταγμένος ἔγγιστα τὴν ἀρχὴν δοὺς τῇ περὶ τὸν βασιλέα συμμορίᾳ, ξυνεῖναί οἱ πάνυ τοι πλεῖστον ἔχων σὺν ὀλίγοις τοῦ τῶν λόγων (3) τῶν αὐτοῦ πάντα θαυμαστῶν ἀκροᾶσθαι καὶ λέγειν ἔχειν αὐτὸς ὡς ἄρ' ἐξῆν. Ἀτὰρ νέον ἔτ' ὄντα με τῶν τ' ἐξ αὐτῆς γενέσεως χρόνων καὶ τοῖς ἐν τοῖς βασιλείοις τριβῆς· ἔτος γὰρ ἦν μόνον καὶ μικρόν τι πρός, ἐξ οὗ δὴ καὶ γενοίμην ἐν τούτοις· τιμῆς ἀξιοῖ βασιλεύς, καί μοι τῆς αὐτοῦ φιλανθρωπίας συγκλήτου κοινωνίᾳ καί τισιν ἄρ' ὀνόμασιν ὡς οἶμαι νομίζεται βασιλεῦσιν, ὧν ἐστι τιμᾶσθαι καὶ τῶν ἄλ-

(1) ἐρεῖν ἄν. (2) εἴπῃ. (3) τοῦτο καὶ λόγων.

Digitized by Google

λων πλέον ἔχειν σεμνύνει· τοὐντεῦθεν ἦν μέν μοι συνεχὴς ἡ περὶ τοὺς λόγους σπουδὴ καὶ τῶν πρὸς αὐτοὺς ἄτρεπτος ἐρώτων, οὐ πάνυ σφόδρα εἰ δή τις ἄλλος· καί μοι καί τινες ἐκδόσεις γίγνονται καὶ βιβλία βασιλικῶν ἐπαίνων, ὅπως ἄρ' οἷός τ' ἦν ἕν τε καὶ δεύτερον καὶ ἄλλων ὧντινων ἄρα προσεῖχον δ' ἀμέλει· καὶ γὰρ οὐδὲ παντάπασιν ἐδόκουν ἀπᾴδειν, οὐδ' ἀμούσως ἔχειν καὶ ἀναρμόστως, καὶ πόρρω φέρειν, καὶ πολιτικοῖς οἷς τισιν ἄρα, πλήν γε οἷς νομίζεται προσήκειν τοῖς περὶ λόγους ἔχουσι· τά τε ἄλλα λοιπὸν ἐν τούτοις καὶ πρεσβείαις ἔκλογος καθυπουργήσας τῶν ἐπ' ἐμαυτοῦ ταῖς μεγίσταις καὶ πλείσταις, ὡς ἄρ' ἔδοξα, μὴ καθάπαξ ἔξω τοῦ καιροῦ, πρόσω τῆς ἀγαθῆς εἴην ἀεὶ τύχης ἀνεμεσήτως ἐρεῖν· καί μοι τοσούτων ἐπαντλεῖ τῶν εὐποιϊῶν παντοίων τε καὶ παμπλείστων βασιλεὺς ὁ φιλανθρωπότατος καὶ μεγαλοδωρότατος, ὧν οὐκ ἔχοιμ' ἂν ἀποδιδόναι πᾶσι καὶ λόγοις καὶ πράγμασιν ἱκανῶς δίκαι' εὐγνωμοσύνης ὀφλήματα· πλήν γε ὅτι κρείττω ἢ καὶ πρότερον ἦν εὔξασθαι καὶ ὅλως ἐλπίσαι τὰ περὶ τοῦ βασιλέως ἡμῖν· οὐ γὰρ εἷς ὁ τρόπος τῆς πρὸς ἡμᾶς αὐτοῦ φιλανθρωπίας τε καὶ μεγαλοψυχίας, οὐδὲ δεύτερος, οὐδὲ μὴν ἔγγιστα οὐθ' ὡς ἂν ὅλως καταριθμήσασθαι ῥᾳδίως τοσούτους καὶ παντοίους ἡμῖν ὄλβους ἐξ αὐτοῦ καὶ πορισμοὺς εὐδαιμονίας, καὶ τοσαῦτα καὶ παντοῖα κλέα καὶ τιμῶν θρίαμβον καὶ γνήσια κήδη· καὶ πᾶσαν ἐπέραστον πάνυ τοι καὶ παμπόθητον οἰκείωσιν ἐπί τε λόγων καὶ βουλευμάτων καὶ πράξεων, καὶ ὥστε πολιτικὰ ἄττα μεταχειρίζειν κἀπὶ τῶν κοινῶν λειτουργοῦντα προσέχειν, ὡς ἄρ' αὐτὸς δοκιμάζοι· καὶ δυναίμην ἂν ἔγωγε καὶ πάντα πράγματα· ἐρρέτω δ' Ἀδράστεια καὶ λεγόντων ἄλλοι καὶ πρὸς ἀεὶ βασκανίαν ἔφεδρον εὐλαβητέον ἡμῖν ἴσως ἀξιώσειέ τις ἄν, τοσοῦτό γε μὴν ἔτι δίκαιος ἂν εἴην προσθεῖναι, ὅτι πρὸς τοῖς ἄλλοις οἷς ἡμᾶς εὖ ποιεῖ βασιλεὺς καὶ περὶ τὴν τῆς σοφίας ἕξιν ἀεί πως αἴρει καὶ διαθερμαίνει περιουσιάζειν, εἰς ὅσον οἷόν τέ ἐστι

Digitized by Google

διὰ παντὸς περὶ τὴν τῶν λόγων κτῆσιν καὶ χρῆσιν καὶ βέλτιον ἡμῶν αὐτῶν πράττειν. Καὶ τοίνυν ἐγὼ μέν, ᾗ πρότερον ἔφην, ἀεί πως εἶχον περὶ τὴν τῆς φωνῆς ἄσκησιν, παρὰ τοσοῦτον καὶ φιλοσοφίας αὐτῆς προσαπτόμενος, καί τι νέμων ἐνταῦθα σχολῆς, παρόσον, καὶ τοῦτο δὴ τέως εἴρηται. Τῆς δ' ἐν μαθήμασι καὶ κατὰ τὴν ἀστρονομικὴν ἐπιστήμην σπουδῆς, παντάπασιν ἐξιστῶν ἐμαυτὸν καὶ κατολιγωρῶν ὡς ἀνηνύτου πράγματος· καί μοι τοῦτ' ἐδόκει γὰρ μάτην εἶναι πονεῖν καὶ τὸν καιρὸν ἄλλως δαπανᾶν καὶ ζητεῖν τἀκίχητα· μὴ καταφρονῶν αὐτοῦ δὴ τοῦ πράγματος, ὡς μηδὲν ὁτιοῦν ἀμέλει μή ποτε χρηστὸν ἔχοντος· μὴ μαινοίμην οὕτω· ἀλλὰ τῶν ἀξιούντων ἄρα περὶ ταῦτα σπουδάζειν καί τι πλέον ἔχειν οἰομένων ἐντεῦθεν παρρησίᾳ, πολλὴν καταψηφιζόμενος οἶμαι μάλιστ' ἀκαιρίαν πόνων, καὶ ἀμαθίαν, καὶ κόμπον καινόν, καὶ κομιδῇ πλάνην εὐέλεγκτον, καὶ περὶ τῶν μὴ προσόντων σφίσιν ἀλαζονείαν καὶ λῆρον ἀνόνητον· καὶ ὡς ἔπος εἰπεῖν, ὅλος εἶχον ἐν τούτοις, καὶ οἷός τ' ἦν ἀτρέπτως διὰ βίου παντὸς τῶν λογισμῶν τέως ἔχεσθαι τούτων καταμωκώμενος εὖ μάλ' ἂν ὅστις ἄλλως, ἢ ὡς ἐγὼ φρονεῖν ἐροῖτο. Καὶ βασιλεὺς δ' αὐτὸς ἤρα μέν, ὡς ἀξιολόγου καὶ μεγίστου πράγματος, ἀεὶ τῆς σπουδῆς ταύτης, ὅτι μάλιστ' εἴπερ οἷός τ' ἐστὶ κτᾶσθαι, καὶ ζημίαν ᾤετο καθάπαξ τοῦ βίου, τὴν ἐρημίαν τῆς ἐπιστήμης ταύτης· ἔστεργε δ' οὖν, ἅτε μὴ ἐξὸν ἄλλως, ὡς εἴχομεν, καὶ ποθῶν ὅμως καὶ ζητῶν ἀεὶ τὰ κάλλιστα, καὶ πάλαι πρότερον τῶν χρόνων ἀξιολογώτατα δόξαντα τοῖς πανσόφοις ἐκείνοις ἀνδράσιν, ἀπετέπετ' ὑπ' ἀνάγκης, ἁπτόμενος μὲν πῶς ἂν εἴποι τις, ἀλλ' ἑκών γε εἶναι μὴ ἔχων ὅτι χρήσαιτο. Γίνεται (1) δέ οἱ ῥοπὴ περὶ ταῦτα καὶ μεταβολή τις ἀθρόα κἀμοί γ' ἐκ παρακλήσεως αὐτοῦ ζέουσα, ἀφορμῆς τῆσδε. Ἦν δή τις τῶν περὶ λόγους ἐχόντων ἐν

(1) γίγνεται.

Digitized by Google

τῇ βασιλίδι τῇδε καθ' ἡμᾶς πόλει, Μανουὴλ ὄνομα Βρυέννιος, ἀνήρ, ὡς ἔδειξε πειραθεῖσι, περὶ πᾶσαν μαθηματικὴν ἕξιν, ἀστρονομικήν τε μάλιστ' ἐπιστημονικώτατος, εἰ δή ποτέ τις ἄλλος· τέως γε μὴν ἐνταῦθα, μάτην πονεῖν ἐδόκει χρόνον οὐκ ὀλίγον ἐκ παιδὸς ἔτι σχεδὸν εἰς γῆρας, καὶ πλάνον ἀνήνυτον φορεῖσθαι τὰ μὴ ὄντα προσποιούμενος, καὶ χρώμενος ἔοικεν ἄλλως ἀλαζονείᾳ μάλιστ' εὐελέγκτῳ, καὶ οὐκ οἶδ' ὅπως ἂν φαίην, ἀβελτηρίᾳ· καὶ τοῦτο (1) ἐδόκει γε οὕτω πᾶσι, κἀμοί γ' ἐδόκει τοῦτο πολὺ μάλιστα· τόδ' ἀλλοῖον ἦν τὸ κατ' αὐτὸν πρᾶγμα, ἢ ὡς αὐτός τε ᾤμην καὶ οἱ πολλοί· ἀλλ' ἔδοξεν ἄνθρωπος μεθύστερον δίκαιος ὢν οἷς ἐσπούδαζε καὶ μετ' ἀληθείας προσέχων τὸν νοῦν· καί τινι τῶν οἰκείων κατὰ γένος ὡς ἄρ' ἔφη ταῦτα σοφωτάτῳ περιτυχὼν ἀνδρί, καὶ τοῦδε τὰς ἐπιστημονικὰς ἀρχὰς ἐκδεξάμενος, εἶτα σφόδρα ἐπ' αὐτοῖς πονῆσαι· καὶ φύσεως εὖ λαχὼν οἶμαι περὶ τήνδε μοῖραν τῆς σοφίας, ὡς ὁρῶμεν πολλάκις ἐνίους μὲν τούσδε περὶ ταῦτα δεξιῶς ὄντας τῆς τῶν λόγων ἀσκήσεως, ἄλλους δὲ τούσδε περὶ ταῦτ' ἄλλα, καὶ ὅλως ἐν ἄλλοις ἄλλους πλέον πεφυκότας, καὶ προσνενευκότας εὖ μάλα προκόπτειν τῆς σπουδῆς ἔχοντας· πολύν τινα θησαυρὸν τῆς μαθηματικῆς ἕξεως, ἥπερ ἔφην, ἐπιμελεῖ τριβῇ καὶ χρόνοις ἐξασκούμενος συλλέξασθαι· οὐκ ἐδόκει δὲ τέως τῷδε (2) βίῳ χαίρων, οὐκ οἶδ' ὅπως κατὰ φύσιν ἀπράγμονι καὶ ἀνεπιτηδεύτῳ (3) καὶ στέργων ἔοικεν ᾗ ξυνέλαχε τύχῃ καθ' ἑαυτὸν ἥδεσθαι τοῖς καρποῖς τῆσδε τῆς σοφίας· συνέπραττε δὲ οἱ πρὸς τὴν ἀδοξίαν ταῦτα, καὶ τὸ μὴ δήλους εἶναι τοὺς ἀρχηγοὺς αὐτῷ τοῦ τοσούτου πράγματος, χρῆναι δὲ πάντως εἶναι, καὶ οὐδεὶς ἂν ἄλλως ἐρεῖ. Θηρᾶται δ' εὖ μάλα ῥᾷστα τοῦ πανσόφου καὶ μεγίστου βασιλέως, πάνυ τοι σοφὸς ὢν καὶ περὶ τήνδ' ἐπιστήμην ἠνυκὼς εἰ δή τις ἄλλος, ξυντυχίᾳ μιᾷ· καὶ οὐκ ἐδέησεν αὐτῷ

(1) τοῦτ'. (2) τόδε. (3) ἀνεπιδείκτῳ.

Digitized by Google

πραγμάτων πολλῶν καὶ λόγων καὶ πόνων πολλῶν εἰς τὴν εὕρεσιν τῆς τοῦ ἀνδρὸς ἀπλανοῦς σοφίας· τοὐντεῦθεν οἷος περὶ πάντα καλὰ τοῦ βασιλέως ὁ ζῆλος καὶ φιλανθρωπότητος πρόθεσις εὖ πράττειν ἅπαντας καὶ τὸν βίον αὐτὸν μάλιστ' ἐν ἀφθόνοις εἶναι πάντων ἀγαθῶν, καὶ προσεπαύξειν ἑκάστοτε· παρρησίᾳ δείκνυσιν ἡμῖν αὐτίκα τὸν νέον θησαυρὸν τόνδε σοφίας, λανθάνοντα ἀγνοίας οἶμαι σκότῳ καὶ κομιδῇ πράττοντα δυστυχῶς, ἀδικίᾳ πῶς ἂν εἴποι τις ἢ ἀμαθίᾳ τῶν καλῶν· καὶ μὴν ἔτι προτρέπεται καὶ παρακαλεῖ κοινωνεῖν καὶ μεταλαμβάνειν εὖ μάλα ὅστις φιλοκερδής ἐστιν ἀκόρεστος περὶ πάντα βέλτιστα. Ἐμὲ δ' αὐτίκα δριμὺς ἔρως ἅπτεται τοῦ πράγματος· ἥ τε γὰρ τοῦ μεγίστου βασιλέως προτροπὴ καὶ παράκλησις πολλή τις ἦν ἐπείγουσά με κομιδῇ, ὥστ' ἐρρωμένως ἀντιλαμβάνεσθαι τοῦ ἔργου, φιλοκάλῳ πάντως καὶ συνήθει γνώμῃ πάντα μοι βουλομένου κάλλιστα· κἀγὼ γ' ἐδόκουν μηδὲν ἀηδὲς εἶναί μοι, μὴ θ' ὥστε καὶ καταγελᾷν ἄρα δή τινας ξὺν λόγῳ καὶ καταμωκᾶσθαί μου, εἰ προσαπτοίμην εὖ μάλα καὶ πειρῴμην ἐπικτᾶσθαι τοῖς προσοῦσιν ἃ μή ποτ' (1) εἶχον πολυπόθητα κειμήλια σοφίας, καὶ πάντων δικαίως ἂν ἀξιούμενα τοῖς γε δὴ σώφροσι καὶ καλῶς ὁρῶσι καὶ κρίνουσι, καὶ ὧν οὔτε βασκανία τις, οὔτ' ἀμαθία κρατοῦσα τυφλοὺς αὐτοὺς περὶ τὰ πολύτιμα δείκνυσιν. Ἐπῄνουν τε τὸ τοῦ σοφοῦ Σόλωνος ἀξιῶν καὶ αὐτὸς καὶ γηράσκων ἀεὶ διδάσκεσθαι· καὶ κατ' αὐτὸν δὲ Σωκράτη, εἰ δὲ βούλεταί τις Πλάτωνα, ἀγαπητὸν ἐνόμιζον εἰ καὶ μετὰ γῆρας σοφίας ἡτισοῦν κτῆσις ἀφίκοιτό μοι· ἀλλ' οὐδ' ἄρα τῆς ἀγαθῆς μοι τύχης καὶ τοῦ περὶ ἐμὲ πράγματος ὀτουδὴ καὶ τῶν πολλῶν φροντίδων, αἵ με κατὰ πᾶσαν ἀνάγκην εἶχον, καὶ τῆς ἀσχολίας ἀνάξιον ᾠήθην τόνδε τὸν πόθον καὶ τὴν σπουδήν, εἴ πως οἷός τ' ἂν εἴην, βελτιοῦν οὕτως ἐμαυτὸν καὶ κοσμεῖν σο-

(1) πώποτ.

Digitized by Google

φίας ἐπικτήσεσι, καὶ προκόπτοντ' ἀεὶ δεικνύειν τῆς τῶν ἀγαθῶν ἕξεως, καὶ πλουτῶν ἐν τούτοις εὖ μάλ' ἴσως, καὶ ὧν ἔτ' ἐνέδει μοι προστιθέναι καὶ συνεισφέρειν τοῖς τοῦ νοῦ ταμείοις, καὶ τῶν ἴσως τἄλλ' ἐνδεέστερον ἐχόντων ἢ ὡς ἐγώ, τὰ σφίσι προσόνθ' ὅμως ἅττα δή, τάχιστ' ἐκδέχεσθαι καὶ μεταλαμβάνειν, συγκαταλέγων σπουδῇ πάσῃ ταῖς ἡμετέραις, ὡς φήθη τις ἂν ἴσως μακραῖς οὐσίαις, καὶ τοῖς οἴκοι πλείοσιν οἷς τέως ἀθρόως εἶχον. Μετὰ τούτων ἤδη τῶν λογισμῶν ἔγωγε τρί' ἤδη καὶ τετταράκοντα γενόμενος ἔτη, τὸν ἄνδρ' ἐκεῖνον, οὗ πρότερον ἐμνήσθην, οἴκοι λοιπὸν προσλαβόμενος καὶ συνεῖναί μοι καταστησάμενος, ἵν' ὁπότε καιροῦ χώραν ἔχοιμι καὶ σχολῆς, ὅπως ἂν ἀμέλει γίγνοιτο, τυγχάνοιμι, καθ' αἵρεσιν χρώμην· οὐ γὰρ οἷόν τ' ἦν ἄλλως, οὐδ' εἶχον ῥαδίως παντὶ καιρῷ χρῆσθαι, οὔτε μὴν ὁτῳοῦν κατὰ βούλησιν ὡρισμένην ἐμαυτὸν ὡς ἡδέως εὖ μάλ' ἀκροατὴν δίδωμι. Καὶ δὴ γίγνεταί μοι τὴν ἀρχὴν τἀνδρὸς ὄνασθαι καὶ καταμαθεῖν τὰς περὶ τῶν κατ' οὐρανὸν σωμάτων καὶ κινήσεων τῆς ἀστρονομικῆς ἐπιστήμης ὑποθέσεις αὐτὰς ἀπὸ φωνῆς οὕτω ῥᾷστα· τοὐντεῦθεν δὲ τοσοῦτο μόνον αὐτῷ προσχρησάμενος ὅσον τὰς ἐν βραχεῖ βιβλίῳ προχείρους κανονικὰς τοῦ Θέωνος διατάξεις σὺν αὐτῷ διελθεῖν, ἔπειτ' ἔδοξα λοιπὸν ἐμαυτῷ χρῆσθαι καὶ δὴ πειρᾶσθαι εἴ πως οἷός τ' ἂν εἴην οἴκοθεν αὐτὸς ἔπειτ' ἀνύτειν εἰς τὴν πρόθεσιν καὶ τὴν σπουδήν· καὶ μετ' αὐτὰς ἄρα τὰς ἀρχάς, ἃς ἐδεξάμην ἐκείνου, μόνος ἐπειθ' ὑπανοίξας τῶν ἀδύτων τῆς ἀστρονομικῆς τε καὶ πάσης ἄλλης μαθηματικῆς ἐπιστήμης εἴσω γενέσθαι, καὶ κάλλιστ' ἀνορύξας τοὺς κρυπτομένους αὐτῆς θησαυρούς, τῇ φιλοπονίᾳ τῆς εὑρέσεως ἐντρυφᾷν ἔχειν ἃ χρόνοις ὅτι πλείστοις καὶ τριβῇ καὶ συντονίᾳ σχολῆς ἐπιμόνῳ καὶ χειραγωγίᾳ συνεχεῖ τῶν προλαβόντων αὐτῶν περαίνειν ἔξεστι καὶ συλλογίζεσθαι. Ταῦτα δὴ τ' ἔπειτα τῆς οἴκοθεν αὐτὸς ἐπιμελείας πορίζειν ἐμαυτῷ φιλοτιμούμενος, αἰσχυνόμενος οὐκ οἶδ' ὅπως ἐμαυτὸν

Digitized by Google

καὶ τοὺς ἄλλους δὲ ἴσως ἐν τούτῳ, εἰ πάντων φαινοίμην ἀκροατὴς κατὰ τοὺς πολλοὺς καὶ ὅσοι φύσει δυστυχεῖ χρῶνται πρὸς τὸ τῶν καταλήψεων ἐργῶδες, μηδὲν ἑαυτοῖς θαρροῦντες μηδ' ἑαυτοῖς ἀρκεῖν ὁπηοῦν καὶ αὐτοὶ νομίζοντες. Καὶ τοίνυν τὰ τῆς μαθηματικῆς τοῦ Πτολεμαίου συντάξεως ἐπελθεῖν αὐτὸς βιβλία καὶ κατασκέψασθαι καὶ τὸν ἐν αὐτοῖς νοῦν τε καὶ σκοπὸν συλλέξασθαι προθέμενος, ἐδόκουν μὲν τὴν ἀρχὴν ἐγκύψας καὶ ὅλως ἀψάμενος ἄλλοις τε πλείστοις καὶ αὐτῷ δὲ μάλιστα τῷ καθηγητῇ μοι τῆς ὅλης σπουδῆς ἀτεχνῶς μαίνεσθαι, καὶ παντάπασιν ἀδυνάτως πως ἂν εἴποι τις ἐφίεσθαι καὶ κατεπιχειρεῖν, καὶ ὥσπερ ἀτλαντικά τινα πελάγη πεζῇ διαδραμεῖν ἐπιβάλλειν. Καὶ τοῦτ' ἐδόκει σφίσιν οὐ καθάπαξ ἀκαίρως, πρὸς τὰς ἐκεῖσε δυσδιεξόδους καὶ λαβυρινθώδεις στροφὰς καὶ πλοκὰς τῶν γραμμικῶν δείξεων, ἐφορωμένοις· οὐ μὴν ἀλλ' οὐκ ἀπέστην ἥκιστ' ἔγωγε τῆς ὁρμῆς προθέμενος ἐφάπαξ· καὶ δὴ προσχὼν τοῖς βιβλίοις, ἐργώδει μὲν ὅμως ἐπιμελείᾳ καὶ ξὺν πόνῳ πολλῷ, δοκῶ δ' οὖν ἀνύτειν εὖ μάλ' εἰς τὴν πρόθεσιν θαυμαστῶς ὅπως καὶ παντάπασιν ἀδοκήτως, ἄλλοις τε καὶ οὐχ ἥκιστ' ἐμαυτῷ καὶ τῆς ἀκριβείας τοσαύτης μεγαλονοίας τε καὶ περινοίας τοῦ ἀνδρὸς κατευστοχήσας καὶ τυχὼν τῶν ἐπιλογισμῶν καὶ τῶν δείξεων, ἔδοξ' ἔπειτα λιπαρῶς ὡς μάλιστ' ἐπιμεῖναι τῇ σπουδῇ καὶ τῷ πόνῳ, καὶ τρίψας τῇ σχολῇ ταύτῃ λοιπὸν τοσοῦτον ὅσον οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πλεῖον ἔτι τὰ βιβλί' ἐπελθεῖν γενικῶς, καὶ τὸν ἐν αὐτοῖς ἅπανθ' ὥς γ' ἔδοξα τοῖς τε ἄλλοις καὶ οὐχ ἧττον ἐμαυτῷ, τούτου δέ μοι καὶ πλεῖον ἔμελλε, νοῦν συμπεράναι καὶ συλλέξασθαι κάλλιστ' ἐς τέλος, καὶ πάσης ἄλλης μαθηματικῆς ἐπιστήμης ἐπιμέλειαν κομιδῇ ποιοῦμαι. Καὶ τὰ μὲν ἄρα καὶ φιλοτιμία τις ἦν καὶ φιλοπλουτία σοφίας ἁπάσης ὡς εἰπεῖν (1), τὰ δὲ καὶ κατ' ἀναγκαστὴν οἶμαι τὴν χρείαν

(1) φιλοτιμία καὶ φιλοπλουτία τις ἦν ὡς εἰπεῖν σοφίας ἁπάσης.

Digitized by Google

ἦν· τὰ γάρ τοι μαθηματικὰ καθάπαξ ἅπαντα, σύγκρατον ὡς ἀληθῶς ἔχει τὴν φύσιν καὶ κοινωνεῖ πάνυ τοι καὶ ἀλλήλοις συνδεῖται· ὅθεν δὴ καὶ ὁ θαυμάσιος Πλάτων ἐν τοῖς Νόμοις φησὶ τὰς αὐτῶν ἐπιστήμας περὶ ἀδελφὰ τὰ ὑποκείμενα γινομένας, εὔλογον ἀδελφὰς καὶ ταύτας νομίζειν, ἵνα μὴ ἀπαιδευτῇ φησὶ τὸ Ἀρχύτειον, ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι ἦμεναι ἀδελφὰ ἀλλήλων τε ἐχόμενα τρόπον ἁλύσεως κρίκων καὶ ἐφ᾽ ἕνα σύνδεσμον καταλήγοντα, καὶ μίαν ἀναφαίνεσθαι προσήκειν τῶν μαθημάτων τούτων τὴν συγγένειαν τῷ κατὰ τρόπον μανθάνοντι· τὸν δὲ σύμπαντα ταῦτα οὕτως εἰληφότα, τοῦτον δὴ καλεῖ τὸν ἀληθέστατα σοφώτατον καὶ διϊσχυρίζεται. Καὶ τὸ μὲν τοῦ Πλάτωνος οὕτω καὶ τοῦ Ἀρχύτου· μετ᾽ ἀληθείας δ᾽ ἁπάσης ἐρεῖν, ὡς ἄτμητα ταῦτα τὰ μαθήματα καὶ ἀλλήλων κατὰ πᾶσαν ἀνάγκην ἐπίχρεια· οὐ γάρ ἐστιν οὐκ ἔστιν ἄνευ γεωμετρικῆς τε καὶ σφαιρικῆς ἀκριβείας καὶ τῶν κατ᾽ αὐτὰς δείξεων ἀριθμητικῶν τε ἐπιλογισμῶν καὶ τῶν κατὰ μουσικὴν ἁρμονικῶν ἀναλογιῶν καὶ συνθέσεων καὶ ἀφαιρέσεων καὶ στάθμης τῶν κατ᾽ αὐτὴν λόγων, ἀστρονομικῆς ἐντελέστατα τυχεῖν ἕξεως καὶ τῶν τῆς Πτολεμαίου συντάξεως οὐδ᾽ ὁντιναοῦν ἐν καταλήψει γενέσθαι, καὶ ὁ λόγος ἴσως δείξει προϊὼν σαφέστερον. Ἐδόκει δὴ λοιπὸν οὕτω, καὶ οὕτως ἐν τούτοις εἶχον· τὰ μὲν κατὰ ταὐτὸν μετιὼν σὺν τοῖς Πτολεμαίου, χρῆναι γὰρ οὕτω καὶ οὐκ ἦν ἄλλως τοῖς ἐκείνου χρῆσθαι, τὰ δὲ καὶ μεθύστερον. Τούτου μοι τοῦ σκοποῦ καὶ τοῦ πόνου ἡ τῆς γεωμετρικῆς θεωρίας εἰς τέλος ἔρευνα, ὅση τε ἐν ἐπιπέδοις Εὐκλείδῃ στοιχειοῦται καὶ ὅση ἐν στερεοῖς, καὶ μὴν ἔτι καὶ ἄττα τῷ ἀνδρὶ προσεξείργασται ὀπτικά τε καὶ κατοπτρικὰ καὶ δεδομένα καὶ τὰ περὶ τῶν κατ᾽ οὐρανὸν φαινομένων, ὡσπερεὶ πρόθυρά τινα ταῦτα καὶ προαύλια τῶν ἐντὸς ἀπορρήτων τε καὶ ἀδυνάτων (1) ἀστρονομίας

(1) ἀδύτων.

Digitized by Google

καὶ τῆς ὅλης αὐτῆ κατασκευῆς, Θεοδοσίου τε σφαιρικὰ καὶ ὅσα περὶ διακρίσεων, οἰκήσεών τε καὶ νυκτῶν καὶ ἡμερῶν, ἄλλοτ' ἄλλων πᾶσα ἀνάγκη καὶ ἄστρων ἐπιτολῶν τε καὶ δύσεων παντοίων τε καὶ ἀλλοίων ἐν ἄλλοις καὶ οὐ πάντα παραπλησίων, καὶ περὶ τῶν τοῦ ζωδιακοῦ τμημάτων καὶ τῶν διαφόρων αὐτῶν (1) σχημάτων ἐν τῇ περιστροφῇ τοῦ παντός. Ταῦτα μέν γε καὶ φανερῶς εἰς ἀστρονομίαν ἤδη φέρει καὶ τὰς κατ' αὐτὴν ὑποθέσεις ἐξεργάζεται· καὶ ταῦτ' ἐν ἁπλαῖς αἷςτισιν ἄρ' ἐπαγωγαῖς ἀνὴρ δείξεσι, καὶ γραμμικαῖς ἔστιν οὗ κρατύνει δείξεσι. Καὶ μὴν ἔτι περὶ ταὐτὰ καὶ ἄλλων ὡντινοῦν φιλοπονίαι καὶ ἀριθμητικῶν εἰσαγωγαὶ καὶ βαθύτεραι θεωρίαι, καὶ οὐκ οἶδ' ὅτι δεῖ τὰ ὀνόματα καταριθμεῖσθαι· πλήν γε ὄντι (2) καὶ πρὸς ταῦτα κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν ἐπιμελῶς ἤνυτον· ἃ δὲ δὴ τ' εἴρηταί μοι πρότερον Ἀπολλωνίου τοῦ Περγαίου κωνικὰ θαυμοστῆς ὄντως γεωμετρικῆς ἕξεως καὶ κράτους ἐν ταὐτῃ τοῦ ἀνδρὸς δείγματα, καὶ Σερήνου κυλινδρικὰ μάλιστ' ἐπονήθη μοι δυσδιεξίτητα ταῖς καταγραφαῖς ἐντυχεῖν καὶ κομιδῇ πως ἐργώδη συσχεῖν παντάπασιν, ὅσα γ' ἐμὲ εἰδέναι διὰ τὴν ἐπίπεδον ἐπίσκεψιν, καὶ ἔστιν ὁτῳοῦν χρῆσθαι καὶ πειρᾶσθαι, εἰ ἀληθὴς ὁ λόγος· ταῖς δὲ τῶν ἁρμονικῶν παμπλείστων (3), καὶ οὐκ οἶδ' ὅτι χρὴ καταριθμεῖσθαι τὰς κλήσεις, συντάξεσιν οὐκ ἂν ἔχοιμι λέγειν, ὅσον ἐντρυφῆσαί μοι γέγονε· καὶ γάρ μοι θαυμάσιον καὶ ἥδιστον πάνυ τοι τὸ μάθημα δοκεῖ, πειραθέντι μάλιστ' ἐπιμόνως καὶ τὸν διὰ πάντων τῶν ὄντων φυσικῶν τε καὶ ὅσα τέχνη σοφίζεται, καθ' ὅσον οἷόν τ' ἦν ἐπιλογισαμένῳ καὶ συμπεράναντι, καὶ ὡς ἔπος εἰπεῖν ἐποπτεύσαντι μετρίων, ὅπως ἄρα κατ' ἐμὲ γ' αὐτὸν τῆς ἁρμονικῆς ἀνάγκης καθάπαξ ἀπαραλογίστου σύνδεσμον καὶ τὴν ἄρρητόν τε καὶ ἄρρηκτον ἐν μέ-

(1) αὐτοῦ. (2) ὅτι.
(3) παμπλείσταις παμπλείστων.

Digitized by Google

τροις καὶ τακτικοῖς ὅροις ἀσάλευτον κατ' αὐτὴν τὴν μουσικὴν ἐπιστήμην ἀλληλουχίαν κατὰ φύσιν ὑπὸ τῆς δημιουργικῆς προνοίας τε καὶ σοφίας, καὶ κατὰ τέχνην συγγενῆ τῇ φύσει καὶ παραδειγματικὴν ἀκόλουθον εὕρεσιν, πλήν γε ὅτι ταὐτὰ μάλιστ' εἰπεῖν οἰκείως συμφωνοῦσαν· καὶ ὅστις ἄρα πειράσεται, γνοίη πάντα καθόσον ἂν οἷός τ' εἴη κατοπτεύειν οἶμαι καὶ ξυλλογίζεσθαι· ἡμῖν δ' οὐ καιρὸς ἂν εἴη ταύτῃ γε τρίβειν ἴσως, καὶ τὸν λόγον ἐπανακτέον. Τέταρτον ἔτος ἤδη μοι τουτὶ περιήκει τῆς περὶ ταῦτα καὶ μάλιστα περὶ τὴν ἀστρονομικὴν πραγματείαν σχολῆς καί τινας ἀμέλει καὶ ἀποδείξεις, ὡς ἔνιοι νομίζουσι, προήνεγκα τῆς νέας μοι ταύτης σοφίας, πάθη προειπὼν ἐπὶ ῥητοῖς ἐκλειπτικὰ σεληνιακά τε καὶ ἡλιακά, καὶ τούτοις τἀληθὲς τῆς ἐπιστήμης ταύτης καὶ τὸ κράτος ἀληθεῦον ἀπλανὲς βεβαιώσας τοῖς πολλοῖς, οἳ περὶ τὸ φαινόμενον ὁλοσχερῶς κεχήνασι, καὶ ἥδεσθαι ταύτῃ καὶ θαυμάζειν ἔχουσι, καὶ τὰς πίστεις τῆς ἀκριβείας τῆς ἐπιστήμης ἐκ τῶν ὁρωμένων ἀξιοῦσθαι πράττεσθαι. Καί μοι γίνεται λογισμὸς οὗτος κινήσας εἰς τόδε τὸ σύνταγμα· τὰ μὲν γὰρ τῆς Πτολεμαίου συντάξεως βιβλία πεπλατυσμέναις καὶ ποικίλαις καὶ πολυστρόφοις ἀποδείξεσι γραμμικαῖς, συμπεραίνει καὶ ἀνευρίσκει τὰς ἀστρονομικὰς ἑκάστας παραδόσεις, καὶ πολλοῦ πόνου δεῖ πρὸς τὴν ἐκείνων κατάληψιν, εἰ καὶ ἀκριβέστατα καὶ ἀσφαλέστατ' ἀνὴρ τεχνολογεῖ περὶ πάντων ὧν προτίθεται· κἀντεῦθεν ἐργῶδές ἐστι τοῖς εἰσαγωγικοῖς δι' αὐτῶν πειρᾶσθαι τῆς ἀστρονομικῆς ἐπιστήμης καί τινος αὐτοῖς χειραγωγίας δεῖ πρότερον, ἐμοὶ δοκεῖν ἁπλαῖς ἐπιβολαῖς τὰ κεφάλαια τῆς ἐπιστήμης χαριζομένης ἀπόνως, καὶ ὑποτυπώσεως κατὰ μέρος διεξιούσης σαφῶς τε καὶ ῥᾳδίως ἐντυχεῖν ἑκάστας ὑποθέσεις τῶν οὐρανίων· τὸ γὰρ ἐξ αὐτῶν τῶν τοῦ Πτολεμαίου βιβλίων συλλογίζεσθαι ταύτας, δυσχερές, ᾗ περ ἔφην, πάνυ τοι καὶ δυσκατέργαστον, καὶ διὰ τὸ πολύχουν μὲν καὶ συνεστραμμένον τῶν ἀποδείξεων, μάλιστα δὲ διὰ τὸ τοὺς

λόγους αὐτῷ καὶ τὰς γραμμικὰς ἐπιχειρήσεις (1) γίγνεσθαι σχεδὸν ὡς πρὸς ἀκροατὰς οὐκ ἀμαθεῖς παντάπασι τῶν ἁπλῶν τε καὶ καθολικῶν τῆς ἀστρονομίας ὑποθέσεων, ἀλλ' ὥσπερ τινὰς προλήψεις αὐτῶν ἔχοντας, καὶ ὡς τούτων ὁμολογουμένων, ἀνὴρ ἐκεῖνος ἐπιχειρεῖ καὶ ἐπεξεργάζεται καὶ δεικνύει βεβαιῶν ἑκάστοτε τὰ προτιθέμενα· καὶ διὰ τοῦτο χρεία τινὸς βοηθείας, ὡς ἔφην, καὶ προλαμβανούσης διδασκαλίας ἁπλούστερον ὁδηγούσης τοὺς προσερχομένους τῇ ἐπιστήμῃ ταύτῃ τὴν ἀρχὴν παντάπασιν τῶν αὐτῆς ἀμαθεῖς καὶ ἀπείρους· κἂθ' οὕτω λοιπὸν ἐξέσται καὶ προσάγειν (2) αὐτοὺς τοῖς τοῦ ἀνδρὸς θαυμαστοῖς βιβλίοις, ὡς ἔχοντας ἱκανῶς ἕπεσθαι. Οἱ δὲ πρόχειροι κανόνες ἐποιήθησαν αὐτῷ τῷ Πτολεμαίῳ καὶ μεθύστερον Θέωνι ἐστενωμένῃ παντάπασι παραδόσει, καὶ ὡς εἰπεῖν ἀλογοπραγήτῳ νομοθεσίᾳ ἁπλοϊκῶς οὑτωσὶ καὶ δεσποτικῶς καὶ χωρίς τινων αἰτιῶν καὶ ἀφορμῶν καὶ διασαφήσεων, ἐκτιθέμενοι μόνον ἐπιλογισμοὺς ἀριθμῶν καὶ διακελευόμενοι τά, καὶ τὰ ποιεῖν καὶ μεταχειρίζειν δι' αὐτῶν, καὶ μετὰ πάσης ῥᾳστώνης (3) καθάπαξ ἀπόνως καὶ χωρίς τινος ἀποδείξεως, καὶ τοῦ λόγον ἔχειν αἰτίαν τινὰ διδόναι, συμπεραίνειν καὶ ἀνευρίσκειν ὃ βούλεται καὶ προτίθεταί τις, εἴτε τινος ἐποχὴν ἀστέρος καθ' ὁντιναοῦν χρόνον, εἴτ' ἐπιτολὴν, εἴτε στηριγμοῦ φαντασίαν, εἴτε πλατικὴν ἀπόστασιν ἀπὸ τοῦ μέσου τοῦ ζωδιακοῦ, εἴτε συζυγίαν τινὰ τῶν φώτων πανσεληνιακὴν ἢ συνοδικὴν, εἴτε πάθος ἐκλειπτικὸν σελήνης ἢ καὶ ἡλίου· καὶ ταῦτ' ἔστιν ὁντιναοῦν ψηφοφορεῖν καὶ μεταχειρίζειν ἐκ τοῦ προχείρου καὶ πάνυ τοι ῥᾷστα τῶν εἰρημένων κανόνων ἀπολαμβάνειν, ἴσως γε μὴν σχεδὸν ἔστιν ὅτε, καὶ παντάπασιν ἀμαθῆ, περὶ ὧν διαγορεύει καὶ ἀληθεύει· ἀναπόδεικτον γὰρ καθάπαξ καὶ ἀλόγιστον ὅτι

(1) Ἐπιχειρήσεις ταύτας καὶ ἀποδείξεις.
(2) ἐξέσται προσάγειν. (3) καὶ καθάπαξ.

ἂν ἀνύττειν ἔχωμεν διὰ τὸ τῆς νομοθεσίας τῶν εἰρημένων προχείρων κανόνων, καὶ οὐδ' αὐτὰς τὰς ἐκθέσεις καὶ καταγραφὰς τῶν κανόνων ἀκριβῶς ἔχομεν αἰτιολογεῖν, πῶς καὶ διὰ ποίας χρείας κἀκ τίνων ἀφορμῶν ἕκαστος αὐτῶν ἐκτέθειται, καὶ τοὺς αὐτῶν ὅλως σκοπούς. Καὶ ἴσως ἂν περὶ ὁτουοῦν ἐρωτώμενοι, τοῖς τοιούτοις μόνον προχείροις κανόσι χρώμενοι, λέγειν ἂν ἔχοιμεν ψηφοφοροῦντες κατὰ τὰς αὐτῶν διατάξεις καὶ παραδόσεις, καὶ ἀληθῶς καὶ ἀπλανῶς λέγειν· ἀγνοεῖν δὲ πῶς ἕκαστ' ἔχει ὧν λέγομεν καὶ ὥσπερ βακχεία τις ἂν εἴη καὶ φοιβασμὸς τὸ πρᾶγμα, παντάπασιν ἀναίτιός τε καὶ ἄλογος. Ἀριστοτέλης μέν γε φησίν, ὡς οὕτω λέγειν ἐστὶ περὶ τῶν ζητουμένων, ἄν τις τὰ φύσει καὶ πρῶτα αἴτια προτιθείη τῶν ἀποφάνσεων. Καὶ Πλάτωνι δέ, παντὸς τοῦ λεγομένου δεσμὸν ὥς τε συνέχεσθαι καὶ ἡδρᾶσθαι, τὴν αἰτίαν δοκεῖ προτιθέναι. Ἀλλ' ἐνταῦθα ἁπλῆ τις ὡς ἔφην ἐστὶν οὑτωσὶ καὶ ἀναίτιος ὅλως παράδοσις καὶ νομοθεσία τῶν γε τοιούτων κανόνων, καὶ ὁ χρώμενος κατ' αὐτοὺς ὁπηοῦν, ἀληθεύει μέν, πραττομένοις δέ τισι λόγους περὶ ὧν ἀληθεύει, λέγειν οὐκ ἂν ὁτιοῦν ἔχοι, διὰ τῆς ἐξ αὐτῶν τῶν κανόνων διδασκαλίας. Ἴσως δ' ἂν (1) ἔμοιγε δοκεῖ βέλτιστον εἴη, μετὰ τὴν τῆς ὅλης ἐπιστήμης ἀστρονομικῆς κατάληψιν καὶ τοῦ κατ' αὐτὴν σκοποῦ, καὶ τῶν ὅλων αὐτῆς ὑποθέσεων, ὁτιοῦν μεταχειρίζοντά τινα, καὶ ψηφοφορίαν ἡντιναοῦν προστιθέμενον, (2) ῥᾷστα δὴ μάλιστα τῶν τοιούτων κανόνων πορίζεσθαι, καὶ ἀπόνως ἢ τῶν τῆς συντάξεως τοῦ Πτολεμαίου βιβλίων ξὺν πόνῳ πολλῷ καὶ πραγματείᾳ μεγίστῃ· καὶ ἔγωγε νῦν γε εἶναι μετὰ τὴν ἀστρονομικὴν ταύτην ἐπιστήμην φιλοπονίαν καὶ τῶν αὐτῆς ἀνεμεσήτως ἐρεῖν κατάληψιν, οὕτω δὴ περὶ ὧν ἂν ἑκάστοτε βουλοίμην, δοκιμάζω χρῆσθαι, διὰ τὸ πρόχειρον αὐτὸ τῆς χρήσεως καὶ τὸ τῆς εὐ-

(1) Ὡς ἔμοιγε. (2) Προτιθέμενον.

Digitized by Google

ρέσεως ἐρραστωνευμένον (1) ἄπονον. Καὶ ταῦτα μὲν οὕτως ἔχει· χωρὶς δὲ τούτων ἔτ' ἐπίπονον καὶ τοῦτο κοινὸν τοῖς κατ' ἀμφότερα τὰ συντάγματα χρωμένοις, ὅτι πόρρω τῶν καθ' ἡμᾶς χρόνων καὶ Θέων καὶ Πτολεμαῖος τὰς ἀρχὰς τῶν ψηφοφοριῶν ὑποτίθενται, ἀφ' ὧν δέοι ἄν, περὶ ὧν ἑκάστοτε προτιθέμεθα ἀρχομένους καὶ κατιόντας εἰς ἡμᾶς νῦν, ἐκ μακροῦ περαίνειν τοὺς ἐπιλογισμοὺς καὶ τὰς ψηφοφορίας ἑκάστας, ἃς βουλόμεθα διὰ πλείστων τῶν ἐτῶν. Θέωνι μὲν γὰρ ἐν τοῖς κανόσιν, αἱ ἀρχαὶ τῶν ἐπιλογισμῶν ὑποτίθενται κατὰ τὸ πρῶτον ἔτος Φιλίππου τοῦ Ἀριδαίου τοῦ μετὰ Ἀλέξανδρον τὸν κτίστην (2) τὸν μέγαν Μακεδόνων βασιλέα, πρὸ πολλῶν οὕτω δὴ πάνυ τοι τῶν χρόνων. Πτολεμαίῳ δ' ἔτι πορρωτέρω κατὰ τὴν ἀρχὴν Ναβονασάρου τοῦ βασιλέως Ἀσυρίων· ἔστι δ' οὗτος ὁ Ναβουχοδονόσορ οἶμαι ὃν ἐκ τῶν θείων Γραφῶν ἔχομεν· ἐκεῖθεν τοίνυν ἐκ μακροῦ κομιδῇ τὰς ψηφοφορίας ἀνύττειν εἰς ἡμᾶς ἀνάγκην ἔχομεν· καὶ τοῦθ' ὅτι μὲν λυσιτελεῖ καὶ κατά τινα λόγον χρειωδέστατόν ἐστιν εἰς πίστωσιν τοῦ τῆς ἀστρονομικῆς ἐπιστήμης ἀσφαλοῦς, καὶ τῶν ἀπλανῶν αὐτῆς θέσεων, ἀληθὲς εἴρηται Πτολεμαίῳ τοῖς τῆς συντάξεως βιβλίοις· κἀγώ γε συμφωνῶ καὶ συντίθεμαι τἀνδρί· καὶ πάνυ τοι πρὸς τὸν σκοπὸν τόνδε καλῶς ἔχει, καὶ ἡμῖν γε κατὰ καιρὸν ἐν τοῖς ἑξῆς εἰρήσεται· πρὸς δ' αὐτὴν ἀμέλει τὴν μεταχείρησιν τῶν ἑκάστοτε κατὰ χρείαν ψηφοφοριῶν ἐργῶδές ἐστι, καὶ φροντίδος οὐκ ὀλίγης ἴσως καὶ πόνου δεῖται, πόρρωθεν οὕτω τῶν χρόνων ἐπιχειρεῖν καὶ τρίβειν εἰς ἡμᾶς ἢ καὶ τοὺς μεθ' ἡμᾶς ὀντιναοῦν περαίνοντα· καὶ τοῦτο μᾶλλον ἔτ' ἂν εἴη τοιοῦτον τοῖς μεθ' ἡμᾶς ἑξῆς οὕτω χρῆσθαι μέλλουσιν. Ἔδοξε δή μοι πρὸς βοήθειάν τινα τοῖς εἰσαγομένοις ἁμηγέπη καὶ χειραγωγίαν, ὡς ἂν δὴ μετὰ ῥᾳστώνης πειρῷντο, μέσῃ τινὶ τῶν εἰρημένων ἀμφοτέρων ὁδῷ

(1) Καὶ ἄπονον. (2) Ἐλλείπουσιν αἱ λέξεις τὸν κτίστην.

Digitized by Google

χρήσασθαι· τό τε τῶν Πτολεμαίου βιβλίων πεπλατυσμένον καὶ διὰ πάντων αἰτιολογικὸν καὶ διεξοδικὸν καὶ ἠκριβωμένον ἀποδείξεσι καθ' ἕκαστα φευγούσῃ, καὶ τὸ στενὸν οὕτω καὶ νομοθετικὸν μόνον καὶ ὡς ἂν εἴρηται δεσποτικὸν τῆς τῶν προχείρων κανόνων ἐκδόσεως, ὡς καθάπαξ ἀναίτιόν τε καὶ ἀλόγιστον, καί τισι μὲν ἁπλαῖς ἐπιβολαῖς κατ' ἐπιτομὴν τὰς ὑποθέσεις ἑκάστας τῆς ἀστρονομικῆς ἐπιστήμης ἐν κεφαλαίοις ὑποτυπώσασθαι, καὶ παραδοῦναι χωρὶς ἀποδεικτικῶν ἐπιχειρήσεων καὶ μηχανημάτων τὴν πίστιν ἀναγκαζόντων τοῖς ἐντυγχάνουσιν, ἀτὰρ δὴ καὶ λόγους τῶν κανονικῶν ἐκθέσεών τε καὶ καταγραφῶν, καὶ τί δῆθ' ἕκαστα βούλεται, καὶ πρὸς ὃ φέρει, καὶ ὅθεν ὥρμηται προδιδάξας, τὴν αὐτῶν ἀμέλει χρῆσιν τὸ μέρος δὴ τοῦτο διευκρινῆσαι, καὶ ξὺν λόγῳ περαίνουσαν εὐστόχως ὑποδεῖξαι, ὡς ἂν δὴ καὶ τοῖς χρωμένοις ἐξῄει λόγους ὁπηοῦν τῆς ἐργασίας ἑκάστοτ' αὐτῆς διδόναι· τοῦτό τε, καὶ μὴν ἔτι τὰς ἀρχὰς τῶν κανονικῶν ἐκθέσεων ἀφ' ὧν ἂν εἴη τὰς προχειριζομένας τῶν οὐρανίων κινήσεις ἐπιτρέχειν καταριθμεῖσθαι καὶ ἀνευρίσκειν, ταύτας δὴ τὰς ἐποχὰς τῶν ἀξιολογωτάτων ἑκάστων τῆς ἀστρονομικῆς ἐπιστήμης ζητημάτων καὶ διεργασιῶν, εἴτουν ἀρχὰς τῶν οὐρανίων κινήσεων νέας ἐφ' ὅσον οἷόν τ' ἂν εἴη δι' ἀκριβῶν ἐπιλογισμῶν τε καὶ ψηφοφοριῶν καταστήσασθαι καὶ τῆς πολλῆς ἄνω τῶν χρόνων πλάνης καὶ τῶν ἐκ μακροῦ δρόμων, ἀπαλλάξαι τοὺς μετιόντας τὴν ἐπιστήμην, πάντα τὸν ἐγχωροῦντα τρόπον διοικούμενος, καὶ μεταχειρίζων τὸ ἄπονον καὶ εὐπόριστον σφίσι τῆς ἐργασίας καὶ χρήσεως. **Καὶ** δῆτα λοιπὸν τὰς ἀρχὰς ταύτας ἔδοξα καταστήσασθαι μάλιστ' ἔγγιστα οὑτωσὶ τῶν χρόνων τούτων τῆς ἡγεμονίας τοῦ θαυμαστοῦ βασιλέως ἡμῶν ὅπη ἂν παρήκοι ἐν προοιμίοις πάντως τῆς αὐτοῦ βασιλείας, οὐ πρὸς τιμὴν τοῦθ' ὡς ἔοικε μόνον τῆς παρούσης σπουδῆς οἰκονομεῖν, ἀξιώσειε δέ τις ἂν ὡς ἀληθῶς ἐρεῖν καὶ καθόλου τοῦ μαθήματος αὐτοῦ καὶ τῆς ἐπιστήμης, ἀλλ' οἶμαι δή τινα καὶ μετρίαν

ἀντιδιδοὺς ταύτην τὴν χάριν τῷ δεσπότῃ καὶ ἀρχηγῷ μοι. Καὶ δὴ πρότερον εἴρηται τῆς γ' ἐπιστημονικῆς ταύτης τῶν κατ' ἐμὲ λόγων καὶ τῆς σοφίας ἥν τινα ἄρα· ταύτην δή τις ἄν μοι θεῖτο προσθήκης καὶ ἐπικτήσεως, ἄλλως τε καὶ δεῖγμα τοῦτ' ἂν εἴη κατὰ καιρὸν ὡς ἀληθῶς καὶ μετὰ παντὸς τοῦ δικαίου, ὡς αὐτός ἐστιν αἴτιος καὶ ἀρχηγὸς ταυτησὶ τῆς νέας ἀναδείξεως τῆς ἀστρονομικῆς ἐπιστήμης, καὶ ὅτι κινδυνεύουσα παντάπασιν ἀπολιπεῖν τὸν βίον πολλῶν ἤδη τῶν χρόνων ἀφανὴς ἐκ μέσου γενομένη, καλλίστη τις αὕτη καὶ πρώτη τῆς ὅλης σοφίας μοῖρα, ἐπ' αὐτοῦ τοὐμοῦ βασιλέως καὶ ὑπ' αὐτοῦ μάλιστα, καὶ τῆς αὐτοῦ φιλοκαλίας τε καὶ φιλανθρωπίας ἡμῖν τοῖς περὶ λόγους ἔχουσι, καινίζεται, καὶ σβεννυμένη καθάπαξ, ἤδη νῦν γε λοιπὸν ἀνάπτειν ὡς ἄρ' ἐξ ἀρχῆς δοκεῖ. Καὶ δὴ λοιπὸν ἀρχόμεθα περὶ φιλοσοφίας καθόλου τὴν ἀρχὴν ὁπηοῦν διελθεῖν ἀξιοῦντες καὶ διαιρετικοῖς κανόσι καὶ τέχνῃ πρὸς τὸ μαθηματικὸν αὐτῆς περαίνοντες ».

Ἐν τέλει τοῦ μικροῦ Χειρογράφου (CCCXXIX) εὕρηται καὶ ὁ ἑξῆς πίναξ τῶν περιεχομένων κεφαλαίων· οὐ μόνον δὲ οὗτος ἐλλείπει ἐκ τοῦ μεγάλου κώδηκος, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κειμένῳ τούτου παραλείπονται αἱ ἐπιγραφαὶ τῶν κεφαλαίων 39, 43, 46, 48, 67, 68, 69, 71, 78, 86 καὶ 91.

« Τοῦ συμπενθέρου τοῦ ὑψηλοτάτου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου, σοφωτάτου καὶ ἀστρονομικωτάτου μεγάλου λογοθέτου Θεοδώρου τοῦ Μετοχίτου, ἀστρονομικῆς κατ' ἐπιτομὴν στοιχειώσεως βιβλίον πρῶτον. Τάδε ἔνεστιν ἐν τῷ α' βιβλίῳ.

Digitized by Google

ἐπικληθέντα μαθήματα, καὶ τί τούτων ἕκαστον καὶ περὶ τί καταγίνεται.

ε. Ἔπαινος ἀστρονομίας, καὶ τίς ὁ σκοπὸς καὶ ἡ πᾶσα πραγματεία ταύτης.

ϛ. Περὶ τῆς πρώτης φορᾶς τῶν οὐρανίων σωμάτων τῆς ἀπ' ἀνατολῶν εἰς δυσμάς.

ζ. Περὶ τῆς δευτέρας φορᾶς τῶν οὐρανίων σωμάτων τῆς ἀπὸ δυσμῶν εἰς ἀνατολάς.

η. Ὅτι λοξὸς νοεῖται κύκλος ἐπὶ τῆς οὐρανίας σφαίρας μέγιστος καὶ αὐτὸς ὢν τῶν ἐν αὐτῇ κύκλων καὶ εἰς ἴσα δύο ἡμισφαίρια τέμνων αὐτὴν καὶ τὸν ἰσημερινὸν κύκλον.

θ. Ὅτι περὶ τοὺς τοῦ τοιούτου λοξοῦ κύκλου πόλους ἀπὸ δυσμῶν εἰς ἀνατολὰς πάντες φέρονται οἱ ἀστέρες.

ι. Ὅτι τὸ ὑπὸ τὸν ἰσημερινὸν τμῆμα τῆς γῆς ἀοίκητόν ἐστι καὶ διὰ τίνα τὴν αἰτίαν.

ια. Ὅτι τὰ παρ' ἑκάτερα τούτου τῆς γῆς τέτταρα τμήματα τὰ βόρεια καὶ νότια δύο ἄνω καὶ δύο κάτω πέφυκεν εἶναι οἰκούμενα ὡς εὔκρατα.

ιϐ. Ὅτι ἡ καθ' ἡμᾶς οἰκουμένη τῷ ἑνὶ τῶν τεττάρων τμήματι καταλαμβάνεται, τῷ βορείῳ τῷ ἄνω, καὶ πόθεν ἡ ταύτης καταλαμβάνεται ἀρχή, καὶ περὶ τῶν ἐπ' αὐτῆς νοουμένων παραλλήλων κύκλων.

ιγ. Περὶ τῆς τάξεως τῶν οὐρανίων σφαιρῶν, καὶ ὅτι πᾶσαι ὑποκάτω εἰσὶ τῆς ἀπὸ ἀνατολῶν εἰς δυσμὰς κατὰ τὴν πρώτην ὡς εἴρηται φορὰν κινουμένης σφαίρας, καὶ πᾶσαι ἐναντίως αὐτῇ ἀπὸ δυσμῶν εἰς ἀνατολὰς φέρονται.

ιδ. Ὅτι οἱ κύκλοι πάντες ἐφ' ὧν φέρονται ὅτε ἥλιος καὶ ἡ σελήνη καὶ οἱ πέντε πλανῆται οὐχ ὁμόκεντροί εἰσι τῷ παντί, ἀλλ' ἔκκεντροι, ὡς εἶναι τὰ μὲν αὐτῶν ἀπόγεια μέρη, τὰ δὲ περίγεια (1).

(1) Αἱ ἐπιγραφαὶ τῶν κεφαλαίων ιε-κζ' ἐλλείπονται ἐκ τοῦ πίνακος, ἐλήφθησαν ἐκ τοῦ κειμένου.

Digitized by Google

ιε. Ὅτι τὰ τοιαῦτα ἀπόγεια καὶ περίγεια αὐτῶν, οὐκ ἐπὶ τῶν αὐτῶν καταλαμβάνονται μορίων ἀεὶ τοῦ ζωδιακοῦ, ἀλλὰ διόλου μετατιθέμενα ἐν ἄλλοτε ἄλλοις.

ιϛ. Ὅτι τὸ τῆς ἡλιακῆς σφαίρας μόνης ἀπόγειον καὶ περίγειον ἐπὶ τῶν αὐτῶν μορίων τοῦ ζωδιακοῦ εἰσὶν ἀκίνητα, καὶ ὅτι μόνη ἡ πάροδος τοῦ ἡλίου, ἀεὶ ἐπὶ τοῦ μέσου ἐστὶ τοῦ ζωδιακοῦ, αἱ δὲ τῶν ἄλλων πάροδοι παρεκκλίνουσιν ἐφ' ἑκάτερα τοῦ μέσου καὶ βόρεια καὶ νότια.

ιζ. Ὅτι ἐπὶ τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ε' πλανωμένων ἀστέρων θεωροῦνται ὁμαλαὶ καὶ ἀνώμαλοι κινήσεις, καὶ ὅτι κατὰ β' τρόπους αἱ ἀνώμαλοι καταλαμβάνονται τῶν ἀστέρων κινήσεις, κατά τε τὸ ἐπὶ ἐκκέντρων ὡς εἴρηται φέρεσθαι καὶ κατὰ τὸ ἐπὶ ἐπικύκλων ἰδίᾳ πάλιν αὐτοὺς παροδεύειν τοὺς ἀστέρας.

ιη. Ὅτι τῆς σελήνης καὶ τῶν ἄλλων πλανητῶν καὶ κατ' ἀμφοτέρους τοὺς τρόπους κινουμένων ἀνώμαλον κίνησιν, μόνον ὁ ἥλιος καθ' ἕνα τούτων μόνον τρόπον ἀνωμάλως κινεῖται καὶ ἁπλῶς μόνος ἔχει τὰς αἰτίας τῆς ἀνωμάλου κινήσεως.

ιθ. Ὅτι οἱ ἀστρονόμοι Αἰγυπτιακοῖς ἔτεσιν ἀπαριθμοῦνται τὰς τῶν ἀστέρων κινήσεις καὶ οὐχ ἑλληνικοῖς, εἴτουν Ρωμαϊκοῖς, καὶ τίς ἡ τῶν Αἰγυπτίων ἐτῶν πρὸς ταῦτα διαφορά.

κ. Πῶς ἐμεθοδεύθη τοῖς ἀστρονόμοις ἡ τῶν ὁμαλῶν κινήσεων κατὰ χρόνους ὡρισμένως ἀπαρίθμησις, καὶ ὅτι ἀναγκαῖον ταύτην ὑποτεθῆναι τοπικὴν ἀρχὴν, ἀφ' ἧς ἔσται ἡ προχώρησις καὶ ἡ ἀπαρίθμησις, ἔτι γε μὴν καὶ χρόνου τινός ἀρχὴν ἀφ' οὗ ἔσται ὡσαύτως ὁ ἐπιλογισμός τῶν ὁμαλῶν κινήσεων ἡλίου καὶ σελήνης καὶ τῶν εἰρημένων ἄλλων ἀστέρων.

κα. Κανόνες τῶν ὁμαλῶν τοῦ ἡλίου κινήσεων.

κβ. Διασάφησις τῆς ἐκθέσεως τῶν αὐτῶν κανόνων.

κγ. Περὶ τῆς ἀνωμάλου τοῦ ἡλίου κινήσεως, καὶ ἔκθεσις κανόνος τῆς τοιαύτης ἀνωμάλου αὐτοῦ κινήσεως.

Digitized by Google

ριδ.

κδ. Διασάφησις τοῦ αὐτοῦ κανόνος τῆς ἀνωμάλου τοῦ ἡλίου κινήσεως.

κε. Παράδοσις μετὰ ἐπιλογισμοῦ χρονικῆς ἀρχῆς, ὅθεν δεῖ τὰς ψηφοφορίας τοῦ ἡλίου λογίζεσθαι.

κϛ. Παράδοσις ὅπως ἐστὶ καθ' ὁντιναοῦν δεδομένον χρόνον μετὰ τὴν ὑποτεθεῖσαν ἀρχὴν ψηφοφορεῖν καὶ ἐπιλογίζεσθαι τὰς ὁμαλὰς καὶ ἀνωμάλους κινήσεις καὶ ἐποχὰς τοῦ ἡλίου.

κζ. Περὶ διαφορᾶς ὡρῶν καὶ καθ' ὅσους τρόπους αἱ διαφοραὶ θεωροῦνται τῶν ὡρῶν, καὶ ὅτι ἀναγκαία ἡ περὶ τῶν ἀναφορῶν τῶν τοῦ ἰσημερινοῦ τμημάτων ἤτοι μοιρῶν κατάληψις.

κη. Ἔκθεσις κανόνος ἀναφορῶν ἐπὶ τῆς ὀρθῆς νοουμένης οὐρανίου σφαίρας· ἔτι δὲ ἔκθεσις κανόνων ἀναφορῶν ἐπὶ τῶν ἑπτὰ κλιμάτων καὶ ἐπ' αὐτοῦ τοῦ διὰ Βυζαντίου εἴτουν τῆς βασιλίδος πόλεως παραλλήλου.

κθ. Περὶ τῆς τοῦ ἡλίου λοξώσεως ἑκάστοτε ἀπὸ τοῦ ἰσημερινοῦ, καὶ κανὼν τῆς αὐτοῦ λοξώσεως καὶ διασάφησις τοῦ αὐτοῦ κανόνος.

λ. Περὶ τῆς εὑρέσεως τοῦ ὡροσκοποῦντος καὶ μεσουρανοῦντος ἑκάστοτε τμήματος τοῦ ζωδιακοῦ.

λα. Περὶ τῆς σελήνης καὶ τῶν ὑποθέσεων τῶν κατ' αὐτὴν κινήσεων.

λβ. Περὶ τῆς διαφορᾶς τοῦ τε ὁμαλοῦ καὶ ἀκριβοῦς ἀπογείου ἐπικύκλου τῆς σελήνης.

λγ. Περὶ τῶν ὁμαλῶν χρονικῶν κινήσεων τῆς σελήνης καὶ ἔκθεσις κανόνων αὐτῶν.

λδ. Διασάφησις τῶν ἐκτεθέντων τοιούτων κανόνων.

λε. Παράδοσις τῶν σεληνιακῶν ἐποχῶν κατὰ τὴν ὑποτεθεῖσαν ἡμῖν χρονικὴν ἀρχὴν τῶν ἑκάστοτε προχειριζομένων ψηφοφοριῶν.

λϛ. Διασάφησις τῶν τρόπων τῆς ἀνωμάλου κινήσεως τῆς σελήνης καὶ ἔκθεσις κανόνος τῆς σεληνιακῆς ἀνωμαλίας.

Digitized by Google

λζ. Διασάφησις τῆς τοῦ τοιούτου κανόνος ἐκθέσεως.

λη. Παράδοσις πῶς ἐστὶν ἀνευρίσκειν ἑκάστοτε διὰ τῶν ἐκτεθειμένων σεληνιακῶν κανόνων τὰς ὁμαλὰς καὶ ἀνωμάλους παρόδους καὶ ἐποχὰς τῆς σελήνης.

λθ. Περὶ τῶν ἑκάστοτε κατὰ πλάτος ἀποστάσεων τῆς σελήνης ἀπὸ τοῦ μέσου τοῦ ζωδιακοῦ, καὶ κανόνος ἔκθεσις τῶν κατὰ πλάτος ἀποστάσεων αὐτῆς.

μ. Παράδοσις πῶς δι᾽ αὐτοῦ τοῦ κανόνος εὑρίσκειν ἐστὶ τὰς κατὰ πλάτος τῆς σελήνης ἀποστάσεις ἀπὸ τοῦ μέσου τοῦ ζωδιακοῦ.

μα. Περὶ τῶν εἰς τὰς συνόδους καὶ πανσελήνους κοινῶν τοῦ ἡλίου καὶ τῆς σελήνης ὑποθέσεων.

μβ. Πῶς ἐστιν ἐπιλογίζεσθαι καὶ ἀνευρίσκειν τὰς συνοδικὰς τῶν φώτων συζυγίας καὶ πανσεληνιακὰς καὶ περὶ τῆς τοῦ Πτολεμαίου μεθόδου καὶ πραγματείας τῶν συνοδικῶν καὶ σεληνιακῶν κανόνων.

μγ. Μέθοδος κανόνων συνοδικῶν καὶ πανσεληνιακῶν ἐπὶ τῇ ὑποτεθείσῃ ὡς εἴρηται ἡμῖν χρονικῇ ἀρχῇ τῶν ἐπιλογισμῶν, ἑξῆς δὲ καὶ κανόνες συνοδικοὶ καὶ πανσεληνιακοί.

μδ. Παράδοσις πῶς διὰ τῶν τοιούτων κανόνων ἔξεστιν ἀνευρίσκειν τὰς ἑκάστοτε συνοδικὰς καὶ πανσεληνιακὰς συζυγίας.

με. Περὶ τοῦ ἑκάστοτε ἀνωμάλου τῆς σελήνης προδρομήματος.

μϛ. Ἔκθεσις κανονίου ὃ καλεῖται οὑτωσί πως Προκανόνιον, καὶ διασάφησις τῆς ἐκθέσεως αὐτοῦ.

μζ. Περὶ τῶν παραλλάξεων τῆς σελήνης.

μη. Ἔκθεσις κανόνων παραλλάξεων καθ᾽ ἕκαστον κλίμα, ἀλλὰ δὴ καὶ ἐπὶ τοῦ διὰ Βυζαντίου παραλλήλου.

μθ. Διασάφησις τῆς ἐκθέσεως τῶν αὐτῶν κανόνων.

ν. Ἔκθεσις κανονίου τοῦ ἐπικαλουμένου Διορθώσεως.

Digitized by Google

να. Διασάφησις τοῦ τοιούτου κανονίου.

νβ. Παράδοσις πῶς ἐστιν ἀνευρίσκειν ἑκάστοτε τὰς τῆς σελήνης παραλλάξεις.

νγ. Περὶ τῶν ἐκλειπτικῶν σελήνης καὶ ἡλίου ὑποθέσεων καὶ τίνες ὅροι ἄκροι ἐκλειπτικοὶ ἐπί τε τῆς σελήνης καὶ τοῦ ἡλίου.

νδ. Περὶ τῶν ἐκλειπτικῶν τῆς σελήνης κανόνων καὶ ὅτι ἀναγκαῖον αὐτοὺς εἶναι δύο, μεγίστου καὶ ἐλαχίστου ἀποστήματος, καὶ ἔκθεσις τῶν τοιούτων ἀμφοτέρων κανόνων.

νε. Διασάφησις τῆς τοιαύτης ἐκθέσεως τῶν κανόνων.

νϛ. Παράδοσις πῶς ἐστι δι' αὐτῶν ἀνευρίσκειν καὶ ἐπιλογίζεσθαι τὰς τῆς σελήνης ἐκλείψεις.

νζ. Περὶ τῶν ἡλιακῶν ἐκλείψεων καὶ ἔκθεσις κἀνταῦθα δύο ἐκλειπτικῶν ἡλιακῶν κανόνων.

νη. Διασάφησις τῆς ἐκθέσεως τῶν τοιούτων ἡλιακῶν ἐκλειπτικῶν κανόνων.

νθ. Παράδοσις μετὰ αἰτιολογίας πῶς ἐστιν ἀνευρίσκειν τὰς ἑκάστοτε ἡλιακὰς ἐκλείψεις.

ξ. Ἔκθεσις κανόνος εἰς εὕρεσιν ἐν ταῖς ἐκλείψεσιν ἑκάστοτε πόσα μόρια ἐκλείπει αὐτῶν τῶν ἐμβαδῶν τοῦ ἡλίου καὶ τῆς σελήνης.

ξα. Παράδοσις τῆς τοιαύτης εὑρέσεως.

ξβ. Περὶ τῶν ὑποθέσεων τῶν πέντε πλανωμένων ἀστέρων Κρόνου, Ζηνὸς, Ἄρεως, Ἀφροδίτης καὶ Ἑρμοῦ.

ξγ. Περὶ τῶν κοινῶν ὑποθέσεων τῶν τεσσάρων πλανωμένων ἀστέρων Κρόνου, Ζηνὸς, Ἄρεως καὶ Ἑρμοῦ.

ξδ. Περὶ τῶν τοῦ Ἑρμοῦ ὑποθέσεων.

ξε. Περὶ τῶν κοινῶν ὑποθέσεων Ἀφροδίτης καὶ Ἑρμοῦ.

ξϛ. Προδιάληψις περὶ τῶν κανόνων τῶν χρονικῶν κινημάτων τῶν πέντε πλανωμένων ἀστέρων.

ξζ. Διασάφησις τῶν αὐτῶν κανόνων.

Digitized by Google

ξη. Εὕρεσις τῶν ἐποχῶν τῶν τοιούτων πέντε πλανωμένων ἀστέρων, ἃς εἶχον ἐν τῇ ὑποτεθείσῃ ἡμῖν χρονικῇ ἀρχῇ εἰς τὰς ἑκάστοτε ψηφοφορίας.

ξθ. Ἔκθεσις κανόνων τῶν ἀνωμάλων κινήσεων αὐτῶν τῶν πέντε πλανωμένων ἀστέρων.

ο. Διασάφησις τῶν τοιούτων κανόνων.

οα. Παράδοσις πῶς ἐστιν ἀνευρίσκειν διὰ τῶν ἐκτεθειμένων κανόνων τὰς ἑκάστοτε παρόδους καὶ ἐποχὰς τῶν πέντε πλανωμένων ἀστέρων.

οβ. Προδιάληψις περὶ τῶν πλατικῶν ἀποστάσεων ἀπὸ τοῦ μέσου τοῦ ζωδιακοῦ τῶν πέντε πλανωμένων ἀστέρων.

ογ. Ἔτι περὶ τῶν πλατικῶν ὑποθέσεων ἀναγκαία διασάφησις τῶν αὐτῶν ἀστέρων.

οδ. Ἔκθεσις κανόνων τῶν πλατικῶν παρόδων καὶ ἀποστάσεων τῶν αὐτῶν πέντε πλανωμένων ἀστέρων.

οε. Διασάφησις τῶν αὐτῶν κανόνων.

ος. Παράδοσις πῶς ἐστι δι' αὐτῶν ἀνευρίσκειν ἑκάστοτε τῶν πέντε πλανωμένων τὰς πλατικὰς ἀποστάσεις ἀπὸ τοῦ μέσου τοῦ ζωδιακοῦ, καὶ εἰς οἷα αὐτοῦ μέρη εἰσὶ βόρεια ἢ νότια.

οζ. Περὶ τῆς τῶν στηριγμῶν φαντασίας καὶ τίς ἡ τούτου αἰτία.

οη. Ἔκθεσις κανόνων στηριγμῶν τῶν πέντε πλανωμένων ἀστέρων.

οθ. Διασάφησις τοῦ τοιούτου κανόνος.

π. Παράδοσις περὶ τῆς εὑρέσεως τῶν στηριγμῶν τῶν πέντε ἀστέρων.

πα. Διατὶ ὁ ἥλιος καὶ ἡ σελήνη στηριγμοὺς οὔτε ὑποποδίζουσι καὶ προποδίζουσι.

πβ. Περὶ τῶν φάσεων τῶν πέντε πλανωμένων ἀστέρων.

πγ. Διασάφησις καὶ ἔκθεσις τῶν φάσεων τῶν πέντε πλανωμένων ἀστέρων.

Digitized by Google

ριη'.

πδ. Παράδοσις πῶς ἐστι δι' αὐτῶν τῶν κανόνων ἀνευρίσκειν τὰς ἑκάστοτε φάσεις ἑκάστου τῶν τοιούτων ἀστέρων.

πε. Περὶ τῶν μεγίστων ἀποστάσεων ἀπὸ τοῦ ἡλίου τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ.

πϛ. Κανόνες τῶν αὐτῶν μεγίστων ἀποστάσεων.

πζ. Διασάφησις τῶν αὐτῶν κανόνων.

πη. Περί τινων ἐπισυμβαινόντων παραδόξων καὶ ἀξιοζητήτων ταῖς μεγίσταις τῶν τοιούτων δύο ἀστέρων ἀποστάσεσιν, αἰτιολογία καὶ διάκρισις.

πθ. Περὶ τῶν ἀπλανῶν ἀστέρων καὶ τῶν κατ' αὐτοὺς ὑποθέσεων, καὶ ὅπως εἰς τὰ ἑπόμενα τοῦ παντὸς καὶ αὐτοὶ κατ' ὀλίγον προχωροῦσι περὶ τοὺς πόλους τοῦ ζωδιακοῦ.

ϟ. Περὶ τῶν κατὰ μῆκος καὶ πλάτος ἀποχῶν τῶν τοιούτων ἀπλανῶν ἀστέρων.

ϟα. Ἔκθεσις κανόνων τῶν τοιούτων ἀπλανῶν ἀστέρων ».)

Προεισαγωγὴ εἰς τὴν τοῦ Πτολεμαίου Σύνταξιν (Τὸ πονημάτιον τοῦτο ἀποτελοῦν τὸ δεύτερον μέρος τῆς ἀστρονομικῆς στοιχειώσεως περιλαμβάνεται ἐν μόνῳ τῷ ἄνω μνημονευθέντι μεγάλῳ κώδηκι τῆς Μαρκιανῆς (CCCXXX, φύλ. 176-203). Καὶ ἐκ τοῦ ἀνεκδότου δὲ τούτου συντάγματος παρατίθημι τὸ προοίμιον, ἐν ᾧ ὁ Μετοχίτης ἐκτίθησι τοὺς ἀναγκάσαντας αὐτὸν εἰς συγγραφὴν τούτου λόγους.

« Προοίμιον, ἐν ᾧ ὅπως χρεία διασαφήσεως τινῶν κεφαλαίων δι' ὧν ἑκάστοτε ὁ Πτολεμαῖος τοὺς ἀστρονομικοὺς ἐπιλογισμοὺς καὶ τὰς τῶν γραμμικῶν ἀποδείξεων ἐφόδους συμπεραίνεται.

» Τὰ μὲν δὴ τῆς πρὸ ἡμῶν σπουδῆς, εἴτουν στοιχειώσεως ὡς καλεῖν ἀξιοῦμεν ἐπὶ τῇ ἀστρονομικῇ ἐπιστήμῃ, ἱκανῶς ἐμοὶ δοκεῖν εἵρμοσται, καί περ ἔσχηκε κατὰ καιρὸν ὡς ἐρεῖ τις ἂν ἴσως τῶν ταύτῃ προσχεῖν μελλόντων ἐπιστατικώτερόν τε καὶ βασκανίας ἐκτός. Νῦν δὲ σκοπὸν προθέμενοι κατ' ἐπιτομὴν ἐ-

Digitized by Google

πελθεῖν κεφαλαιωδῶς καὶ δηλοποιῆσαι μετὰ τῆς ἐγχωρούσης πάντα τρόπον ὡς οἷόν τε σαφηνείας τί βούλεται τῷ θαυμασίῳ Πτολεμαίῳ ἕκαστον τῶν τῆς συντάξεως βιβλίων, ἃ τρία εἰσὶν ἐπὶ τοῖς δέκα, καὶ ὑπομνηματίσαι τὰ συμπεραινόμενα ἐν αὐτοῖς διὰ τῶν πολυστρόφων καὶ ποικίλων γραμμικῶν δείξεων καὶ οἱονεὶ διά τινος βοηθείας καὶ ἡγεμονίας ὡς εἰπεῖν χειραγωγῆσαι τὸν βουλόμενον ἐντὸς γενέσθαι τῶν ἐν αὐτοῖς τοῖς βιβλίοις ἀδύτων τῆς ἀστρονομικῆς ἕξεως καὶ δυσδιεξιτήτων καὶ δυσελίκτων καὶ λαβυρινθωδῶν ὡς καὶ πρότερον εἴρηται περιστροφῶν καὶ ἐφοδίων τῆς θαυμαστῆς τοῦ Πτολεμαίου σοφίας· δοκιμάζομεν εὐθὺς ἐν προοιμίοις καὶ πρὶν ἢ τῶν καθ' ἕκαστον τῶν βιβλίων κεφαλαιωδῶς ὡς εἴρηται ὑπομνηματισμῶν ἅψασθαι, προσδιαλαβεῖν τινα καὶ διευκρινῆσαι καὶ σαφηνίσαι τεχνολογικῶς ὡς εἰπεῖν χρήσιμά τε καὶ ἀναγκαῖα προληφθῆναι τοῖς ἐντυγχάνειν μέλλουσι τοῖς δηλωθεῖσι τοῦ Πτολεμαίου βιβλίοις, καὶ ὧν ἄνευ τῆς ἐπιστήμης καὶ διδασκαλίας, ἀδύνατόν ἐστιν ὡς ἔγωγε οἶμαι, τελείως καὶ ἠκριβωμένως κατάληψιν σχεῖν τῶν τῆς μαθηματικῆς συντάξεως τοῦ Πτολεμαίου βιβλίων. Ἔσται γὰρ ἡμῖν ὁ περὶ τούτων οὑτοσὶ δὴ δηλαδὴ πόνος καὶ ἡ προλαμβάνουσα διδασκαλία, ὥσπερεὶ προπαρασκευή τις καὶ προαφόπλισις τοῖς βουλομένοις ἐπιχειρεῖν τῇ ἠκριβωμένῃ καταλήψει τῶν δηλωθέντων βιβλίων τῆς συντάξεως Πτολεμαίου »).

Ὑπομνηματισμοὶ εἰς τὰ ΙΓ' βιβλία τῆς τοῦ Πτολεμαίου Μαθηματικῆς Συντάξεως (1). (Ἐν τῷ αὐτῷ κώδηκι (φύλ. 209-287).

Θεοδώρου Μετοχίτου Ὑπομνηματισμοὶ καὶ σημειώσεις γνωμικαί. (Τὴν ἀξίαν τοῦ πολυτίμου τούτου συγγράμματος πρῶτοι κατέδειξαν οἱ Μοντεφαλκόνιος, Ραϊνέσιος,

(1) Τὰ τρία ταῦτα ἀστρονομικὰ τοῦ Μετοχίτου πονήματα εὕρηνται καὶ ἐν ἑνὶ κώδηκι τῆς βιβλιοθήκης τοῦ Ἐσκουριάλε (Miller, Manuscrits Grecs del' Escurial, σελ. 184).

Digitized by Google

Λαμβέκιος καὶ Φαβρίκιος, δημοσιεύσαντες καὶ τὸν πίνακα τῶν ἐν αὐτῷ περιερχομένων 120 κεφαλαίων (1). Ἐν δ' ἔτει 1790 ἰδίαν περὶ τούτου ἐδημοσίευσε διατριβὴν Ἰάνος ὁ Bloch (2), ἐπισυνάψας ὑπὸ τὴν καταγραφὴν τῶν ἑλληνικῶν κεφαλαίων καὶ λατινικὴν περίληψιν τῶν ἐν ἑκάστῳ περιεχομένων, ὡς καί τινα ἀποσπάσματα, καὶ συστήσας τοῖς ἀρχαιολόγοις τὴν μελέτην τοῦ ὑπὸ πολλὰς ἐπόψεις ἐνδιαφέροντος συγγράμματος, ὅπερ θεωρεῖ ἐπάξιον ἀδελφὸν τῆς Βιβλιοθήκης τοῦ Φωτίου καὶ τῆς Γωνιᾶς τῆς Εὐδοκίας (3). Τῷ 1811 ἐξέδοτο ὁ Ὀρέλλιος τὰ περὶ Καρχηδόνος καὶ Κυρήνης κεφάλαια (4). Ἐπὶ τέλους δὲ ὁλόκληρον τὸ χειρόγραφον ἀντιγραφὲν ὑπὸ Χριστιανοῦ Γοδοφρείδου Μύλλερ (5), ἐξεδόθη μετὰ τὸν θάνατον αὐτοῦ ὑπὸ Θεοδώρου Kiesseling (ἐν Λειψίᾳ 1821). Μετὰ δὲ τρία ἔτη ὁ Kluge ἐδημοσίευσε κατ' ἰδίαν τὸ περὶ τῆς πολιτείας τῶν Καρχηδονίων κεφάλαιον (6).

(1) Fabricii Bibliotheca Graeca, X, σελ. 417.

(2) Specimen operum Theodori Metochitae, quae inscribuntur Ὑπομνηματισμοὶ καὶ σημειώσεις γνωμικαί, Jano Bloch. Hauniae 1790.

(3) « Etsi hic scriptor, haud interioris sit notae, nec cum antiquis literarum Graecarum monumentis argumento styloque comparandus : tamen idem ingenio eximiaque eruditione praeditus, cum multa contineat et critico utilia et antiquitatis studioso jucunda, haud indignus putandus, qui copiosissime Photii Bibliothecae accessionis et appendicis instar subjungatur, Eudociaeque Violeto, quod similis fere est argumenti, inseratur ».

(4) Supplementum editionis Lipsiensis Nicolai Damasceni. Lipsiae.

(5) Περὶ τοῦ συγγράμματος λόγον ποιεῖται ὁ ἀνὴρ (Acta semin. reg. et societ. Philol. Lips. vol. II, σελ. 2).

(6) Aristotelis de politia Cartaginiensium· accedidit Theodori Metochitae descriptio reipublicae Carthaginiensis cum animadversionibus. Vratislaviae 1824.

Digitized by Google

Ο δὲ περικλεὴς καρδινάλιος Ἄγγελος Μάϊος πάντη ἀγνοῶν τὴν ὑπὸ Μυλλέρου ὁλοσχερῆ ἔκδοσιν τοῦ συγγράμματος, ἐδημοσίευσεν ὡς ἀνέκδοτον δῆθεν (1) τὸ κεφάλαιον δέκατον ἕβδομον ἐπιγραφόμενον Ὅτι πάντες ὅσοι ἐν Αἰγύπτῳ ἐπαιδεύθησαν τραχύτερον τῷ λέγειν χρῶνται (2). Τοῦ ἐκδεδομένου τούτου συγγράμματος γινώσκω ἐξ αὐτοψίας τρεῖς κώδηκας, ἐξ ὧν ὁ μὲν εἰς ἐν Βιέννῃ (Phil. VIII) (3), ὁ δ' ἕτερος ἐν τῇ Μαρκιανῇ (cod. DXXXII) (4), καὶ ὁ τρίτος ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει μετοχίου τοῦ Παναγίου Τάφου (ἀριθ. 116) (5).

Τοῦ σοφωτάτου καὶ λογιωτάτου μεγάλου λογοθέτου κὺρ Θεοδώρου τοῦ Μετοχίτου βιβλίον περιέχον τοὺς λόγους αὐτοῦ ὁμοῦ ὄντας ιη΄. (6) (Κώδηξ ἐπὶ μεμβράνης, γραφῆς τοῦ ΙΔ΄ αἰῶνος, ἀποτεθησαυρισμένος ἐν τῇ καισαροβασιλικῇ βιβλιοθήκῃ τῆς Βιέννης (IV, XCV), ἐκ φύλλων 373, κατὰ νεωτέραν ἀρίθμησιν. Ἐλλείπουσιν ὅμως φύλλα τινα ἐκ τῶν ὀκταδίων λ΄, λα΄, λϐ΄, λε΄, λϛ΄, μϐ΄, καὶ τοῦ τετραδίου μϛ΄. Περιέχονται — Λόγος Α΄ Νικαεὺς (φύλ 1-8 ν.)

(1) « Quam ex ejus capitibus historicis philologisque detraxi, nondum editis, ed partim a me deinde vulgandis ».

(2) Scriptorum veterum nova collectio, Romae 1826, tom. II, σελ. 684-688.

(3) Κατὰ λάθος συγχωνευομένων ἐν τῷ κώδηκι τούτῳ τῶν κεφαλαίων 60 καὶ 61, 104 καὶ 105, ἀριθμοῦνται τοιαῦτα κεφάλαια 118 ἀντὶ τῶν 120.

(4) Ἕνεκα πολυχρονίου διαμονῆς ἐν ὑγρῷ τόπῳ πᾶς σχεδὸν ὁ κώδηξ κατέφθαρται.

(5) Ἐν τῷ κώδηκι τούτῳ ἐπιγεγραμμένῳ Θεοδώρου τοῦ Μετοχίτου Μελέται φέρεται ἡ ἑξῆς τοῦ ἀντιγραφέως αὐτοῦ σημείωσις «Ἐνετίῃσιν παρὰ Μιχαήλου Μαλέα τοῦ Ἐπιδαυριότου· ἔτος αφξ΄ ἰουνίου κ΄. »

(6) Κατὰ πᾶσαν πιθανότητα οἱ αὐτοί εἰσιν ἐν Ἄθωνι ὑπὸ Χρυσάνθου καταγραφόμενοι λόγοι πανηγυρικοί.

Digitized by Google

ὁ νῦν ἐκδιδόμενος. — Εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Μαρίναν (φύλ. 8 v.-32 v.) ἀρχόμενος « Ἐμοὶ δὲ καὶ οὐρανὸς εἶναι δοκεῖ » καὶ τελευτῶν « λόγοις οἷς ἀμέλει σπουδάζομεν καὶ πράγμασιν ». — Εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ καὶ εἰς τὰς ἀγγελικὰς ἀσωμάτους οὐσίας (φύλ. 32 v. -59) ἀρχόμενος « Καὶ φύσις ἔοικε καὶ τέχνη » καὶ τελευτῶν « καὶ δυσχερὲς ἀφ' ἡμῶν ποιούμενος ». — Εἰς τὸν ἅγιον μεγαλομάρτυρα καὶ μυροβλήτην Δημήτριον (φύλ. 59-80 v.), ἀρχόμενος « Εἰ μὲν περί τινος ἄλλου » καὶ τελευτῶν « ἀλλ' ἄρα ἡμῖν καλῶς ἔχει πρὸς τὴν ὀφειλήν ». — Βασιλικὸς πρῶτος (φύλ. 81-96), ἀρχόμενος « Ὁ τοῖς ἄλλοις ἀμέλει περὶ μεγίστων ἔργων » καὶ τελευτῶν « τοσαύτη περιουσία τῶν καθ' ἡμᾶς ἀγαθῶν ». — Εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον (φύλ. 97-145 v.) ἀρχόμενος « ὅσα μὲν τῷ παρόντι λόγῳ τὰ δυσχερῆ πρόσεστιν » καὶ τελευτῶν « διδοὺς ἐκεῖθεν καὶ προαγγέλλων ». Βασιλικὸς δεύτερος (φύλ. 145 v. -158) ἀρχόμενος « Ἀλλ' ἄρα νῦν ἔγωγε μάλιστα » καὶ τελευτῶν « εἴρηται καὶ γέγονεν ἔφη Σιμωνίδης ». — Πρεσβευτικὸς (φύλ. 158 v.-179) ὁ νῦν ἐκδιδόμενος. — Μονῳδία ἐπὶ τῇ βασιλίδι Θεοδώρᾳ τῇ τοῦ βασιλέως μητρί (φύλ. 179-189). — Ἠθικὸς ἢ περὶ παιδείας (φύλ. 179 -233 v.) ἀρχόμενος « πολλάκις ἔγωγ' εἰλόμην μέτρι' ἄττα » καὶ τελευτῶν « καὶ μόνον ἀεὶ μὴ συλώμενον ». — Βυζάντιος ἢ περὶ τῆς βασιλίδος μεγαλοπόλεως (φύλ. 233 v. -302) ἀρχόμενος « πλεῖσται μὲν ἀφορμαὶ καὶ πᾶσι » καὶ τελευτῶν . . . . . (1) — Εἰς τὸν νέον μάρτυρα Μιχαὴλ (2)

(1) Ἐλλείπουσι φύλλα ἐκ τῶν ἐν οἷς περιέχεται ὀκταδίων λε΄, λϛ΄, καὶ μδ΄.

(2) Ὁ λόγος οὗτος φέρει καὶ τὸν ἑξῆς τίτλον « Εἰς τὸν ἅγιον Μιχαὴλ τὸν νέον τὸν κατ' Αἰγύπτου μαρτυρήσαντα ἐπὶ τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως Ῥωμαίων κῦρ Ἀνδρονίκου τοῦ Παλαιολόγου ».

(φύλ. 303-315) ἀρχόμενος « ἐθαύμασα πολλάκις ἔγωγε » καὶ τελευτῶν « διδόντος διὰ σοῦ βραβευτοῦ » — Ἔλεγχος κατὰ τῶν ἀπαιδεύτως χρωμένων τοῖς λόγοις (φύλ. 315-320) ἀρχόμενος « Ἐνιοί μοι δοκοῦσι πάνυ τοι δοξοσοφοῦντες » καὶ τελευτῶν « καὶ ἀπαλλάξεις αἴσχιον ἢ ποτ' ἂν ᾠήθης ». — Ἔλεγχος δεύτερος πρὸς τοὺς αὐτούς (φύλ. 320-328) ἀρχόμενος « ᾤμην ἔγωγε κόρον ὀψὲ λαβεῖν σε » καὶ τελευτῶν « ἢ εἴ σοι τοῦτ' ἄμεινον, ἄπαυστα βάσκαινε ». Χρυσοβούλλου προοίμιον. (φύλ. 329) νῦν ἐκδιδόμενον. — Πρὸς τοὺς μοναχοὺς τῆς Χώρας ἐπὶ τῇ τελευτῇ τοῦ πρώτου καθηγουμένου αὐτῶν Λουκᾶ, μονῳδία τε ἐπ' αὐτῷ καὶ προτροπὴ αὐτοῖς εἰς τὴν ἐπιμέλειαν τοῦ καλοῦ (φύλ. 330-339)· ἄρχεται « ἐμοὶ παντὸς μᾶλλον, ἄνδρες φίλοι » καὶ τελευτᾷ « κἀμοί τε καὶ ὑμῖν συνοῖσον ». — Πρός τινα φίλον ἐπὶ τῇ τελευτῇ τοῦ φιλοσοφωτάτου καὶ ὁσιωτάτου νέου Ἰωσὴφ (φύλ. 339-356)· ἄρχεται « ἐγὼ δὲ νῦν, ὦ θαυμάσιε », καὶ τελευτᾷ « σοῦ τε καὶ τῶν ἡμετέρων ἐλπίδων ἀξίως τῶν ἐπὶ σοί ». — Ἐπιστασία καὶ κρίσις τῆς τῶν δύο ῥητόρων εὐδοκιμήσεως τοῦ τε Δημοσθένους καὶ Ἀριστείδου (φύλ. 356-364)· ἄρχεται « Ἔτυχον μὲν σχολῆς ἐμοὶ παρούσης »· καὶ τελευτᾷ « γιγνόμεθα καὶ τυγχάνομεν, εἴτε καὶ μή ». — Εἰς τὸν ὅσιον Ἰωάννην τὸν νέον (φύλ. 364-373)· ἄρχεται « Διέτριβον μὲν ἐπὶ Θρᾴκης ὑπερόριος τῆς πατρίδος » καὶ τελευτᾷ « πρὸς τοῦτον ἀκαίρως προτρέψασθαι »).

Περὶ νεωτερικῆς κακοηθείας (Περικοπὰς δημοσιεύει ὁ Κρὴς Νικόλαος Παπαδόπουλος, ἐπαινῶν ἐν τοῖς μάλιστα τὴν πραγματείαν, ἣν κατ' αὐτὸν εἰς τὴν λατινικὴν μετέφρασεν ὁ Κερκυραῖος Πέτρος Ἀρκούδιος· « Inter plurima monumenta tam sapientiae tam eruditionis, quis vir hic plane doctus Graeciam nostram jam paene ad exptremam pau-

Digitized by Google

pertatem scientiarum redactam auxit atque ditavit, potissime laudandus est aureus libellus περὶ νεωτερικῆς κακοηθείας, quem nostra aetate latinum fecit Arcudius. Ibi enim ita de sacris institutis recentiorum more corruptis facundissime queritur, ut trecenta vulnera ecclesiae a corruptoribus illata demonstret (1).

Ἐπιτάφιοι εἰς Ἰωάννην Παλαιολόγον τὸν καίσαρα (υἱὸν Ἀνδρονίκου Β' καὶ Εἰρήνης τῆς Μομφερράτης), εἰς Μιχαὴλ τὸν Παλαιολόγον (2) (υἱὸν τοῦ αὐτοῦ Ἀνδρονίκου καὶ πατέρα τοῦ Ἀνδρονίκου Γ'), καὶ εἰς Εἰρήνην τὴν Παλαιολογίναν (3).

Εἰς τὸν σοφὸν Νικηφόρον τὸν Γρηγορᾶν ὑποθῆκαι καὶ περὶ τῶν οἰκείων συνταγμάτων διὰ στίχων. (Ἐκ τούτου δημοσιεύει ὁ Boivin (4) τοὺς ἐννέα πρώτους στίχους, θεωρῶν τὸν Μετοχίτην ποιητὴν ἀδοκιμώτατον. Καὶ ἐὰν μὴ ὑπὸ ποιητικὴν ἀξίαν, περίεργον ἄλλως εἶναι τὸ σύνθεμα, ὡς αὐτοβιογραφία τοῦ Θεοδώρου) (5).

Ἐπιστολαὶ πρὸς διαφόρους (6).

(1) Παρὰ Φαβρικίῳ (Bibl. Graec. X, 416).

(2) Ang. Maii (Scriptorum veterum Nova collectie II, σελ. XXXIV). Ducange, Familiae Byzantinae, 236.

(3) Ducange, αὐτόθι.

(4) Γρηγορᾶς Β' σελ. 1226, Βόν.

(5) Ὁ Miller (Catalogue des manuscrits del' Escurial. σελ. 19) λόγον ποιούμενος περὶ τοῦ ἐν Παρισίοις κώδηκος (1776) λέγει, ὅτι καὶ ἐν Ἐσκουριάλῃ εὕρηται.

(6) Miller, 514, 524 — Πρὸς τὸν Μετοχίτην ἀπευθύνονται ἐπιστολαὶ (α) Νικηφόρου τοῦ Γρηγορᾶ, ὡς καὶ ἡ ἑρμηνεία αὐτοῦ εἰς τὸ περὶ ἐνυπνίων τοῦ Συνεσίου δημοσιευθεῖσα ὑπὸ Πεταβίου (opera Synesii). (β) Θωμᾶ τοῦ Μαγίστρου (Fabricii X, 413). Νικηφόρου Χούμνου (Boissonade Anecdota Nova). (δ) Θεοδώρου τοῦ Ὑρτακηνοῦ (Notices et extraits des manuscrits. Paris V, 730-40. VI, 5-41).

Ὁ περικλεὴς Ἰωάννης Μεούρσιος (1), ἀπατηθεὶς ἐκ κώδηκος φέροντος τὸ ὄνομα τοῦ Μετοχίτου, κατὰ πᾶσαν πιθανότητα ὡς κτήτορος ἢ ὡς συγγραφέως, ἐξέδοτο ἐπ' ὀνόματι τοῦ Θεοδώρου τὸ τρίτον βιβλίον τῶν Χρονικῶν Μιχαὴλ τοῦ Γλυκᾶ (1618). Καὶ μετ' οὐ πολὺ μὲν κατεδείχθη τὸ σφάλμα ὑπό τε τοῦ Ριχάρδου, τοῦ Ραϋνώδου, καὶ τοῦ Λαββέου· ἀλλ' ἐπειδὴ ὁ τελευταῖος οὗτος ἔγραψεν, ὅτι ὁ Μεούρσιος ἐξηπατήθη ἴσως ὑπὸ Ἕλληνός τινος ἢ καὶ αὐτοῦ τοῦ χορηγήσαντος αὐτῷ τὸ χειρόγραφον Ἀνδρέα τοῦ Σχώτου, ὁ ἐν Βερολίνῳ γυμνασιάρχης Χριστόφορος Φριδερῖκος ὁ Βοδεμβούργιος γνωρίσας ἐξ αὐτοψίας τὸν κώδηκα, ἐδημοσίευσε διατριβήν, δι' ἧς ἀποδεικνύει, ὅτι ὁ Ὀλλανδὸς φιλολόγος ἠπατήθη ὑπ' αὐτοῦ τοῦ ἐν τῷ κώδηκι φερομένου ὀνόματος τοῦ Μετοχίτου καὶ οὐχὶ ὑπ' ἄλλου τινός (2).

Ἕνεκα δὲ τῆς ταυτότητος τοῦ ὀνόματος ὁ Engelmann (3) ἀπατηθεὶς ἀποδίδει εἰς Θεόδωρον τὸν Μετοχίτην τὰ ἐν τῷ πρώτῳ τεύχει τῶν Ἀτάκτων τοῦ Κοραῆ δημοσιευθέντα δύο ποιήματα Θεοδώρου τοῦ Πτωχοπροδρόμου. Εἰς τὸ αὐτὸ δ' ὑπέπεσεν ἁμάρτημα καὶ ὁ νεώτατος τῶν περὶ ἑλληνικῆς φιλολογίας γραψάντων καθηγητὴς Nicolai (4).

Θεόδωρον τὸν Μετοχίτην οἱ μὴν Μεούρσιος, Βόσιος, Γρέτζερος (5) καὶ ἄλλοι τῶν νεωτέρων (6) συγχέουσι πρὸς τὸν Λα-

(1) Ὁ αὐτὸς ἀναφέρει καὶ τὰ ἑξῆς ὡς τοῦ Μετοχίτου συγγράμματα — Ἱστορίας Ἐκκλησιαστικῆς βιβλία δύο, καὶ Βυζαντίδος βιβλίον ἕν. (Fabricii X, 416).

(2) De Theodori Metochitae scriptis νοθείας vulgo insimulatis (Miscellanea Lipsiensia, 1723, XII, σελ. 20-31).

(3) Bibliotheca Classica, 1858.

(4) Geschichte der Griechischen Literatur, 1865. σελ 710 — Καὶ ὁ αὐτὸς Nicolai ἐν Algemeine Encyklopädie von Ersch und Gruber B. 87, σελ. 370).

(5) Fabricii, Bibl. Graeca X, 412 σημ.

(6) Nouvelle Biographie par Didot, XXXV, σελ. 212 —Ὁ

Digitized by Google

τινόφρονα Γεώργιον, ἀπατηθέντες ἐκ τοῦ ὁμωνύμου· ἕτεροι δὲ ὡς υἱὸν τοῦ δευτέρου τούτο Μετοχίτου παραδίδουσι τὸν Θεόδωρον, καὶ υἱὸν μάλιστα σκληροκάρδιον, ἐπικαλούμενοι πρὸς ἐπικύρωσιν τοῦ παραλόγου ἰσχυρισμοῦ ἐπιστολήν τινα δημοσιευθεῖσαν ὑπὸ τοῦ χιογενοῦς παπολάτρου Λέοντος τοῦ Ἀλλατίου (1). Δημήτριος Ράλης, ὁ ἐπιλεγόμενος Καβάκης, μετὰ τὴν ὑπὸ τῶν Τούρκων κατάκτησιν τῆς πατρίδος αὐτοῦ Σπάρτης προσφυγὼν εἰς Ἰταλίαν διέπρεψεν ἐν τῇ ὑπηρεσίᾳ διαφόρων ἡγεμόνων ὡς ἀρχηγὸς σώματος ἑλλήνων ἱππέων. Οὗτος ἐν Ρώμῃ διατρίβων περὶ τὰ ἔσχατα τοῦ βίου καὶ τὰ τῶν λατίνων φρονῶν, γράφει πρὸς ἕνα τῶν υἱῶν, Μανίλιον Ράλην τὸν μετέπειτα παπικὸν ἀρχιεπίσκοπον Μονεμβασίας, ἐκτιθέμενος τὴν πρὸς τοὺς Μετοχίτας συγγένειαν τοῦ οἴκου αὐτοῦ καὶ ἀφηγούμενος πρὸς τοῖς ἄλλοις καὶ σκανδαλῶδες περὶ τοῦ Θεοδώρου ἐπεισόδιον, ὅπερ, ἂν ἠλήθευε, μεγάλως ἐκηλίδου τὸν χαρακτῆρα τοῦ ὡς ἐναρέτου χριστιανοῦ παριστα μένου ἡμῖν μεγάλου λογοθέτου. Παρατιθέμενοι καὶ τὸ περίεργον τοῦτο μνημεῖον (2), ὡς ἄγνωστον τοῖς πολλοῖς, διὰ τὸ δυσεύρετον τοῦ συγγράμματος ἐν ᾧ ἐδημοσιεύθη, θέλομεν ἀναιρέσει δι' αὐτῆς τῆς ἱστορίας τὰς ἐν αὐτῷ ἀποκαλυπτομένας περιέργους ἱστορικὰς εἰδήσεις, ὡς ἰσχυρίζονται οἱ παπισταί.

» Δημητρίου Ραοὺλ Καβάκη Σπαρτιάτου καὶ Βυζαντίου πρὸς τὸν υἱὸν αὐτοῦ Μανόλιον (sic).

συγγραφεὺς τοῦ περὶ Μετοχίτου ἄρθρου, συγχέων πρόσωπά τε καὶ πράγματα ὀνομάζει τὸν Θεόδωρον μέγαν λογοθέτην τοῦ πατριαρχείου (!) συνεργαζόμενον μετ' Ἀνδρονίκου Β' ὑπὲρ ἑνώσεως τῶν δύο ἐκκλησιῶν (!!).

(1) In Roberti Creightoni apparatum. Romae 1674. σελ, 616-621.

(2) Περὶ Ραλῶν βλ. Νεοελληνικὴν Φιλολογίαν, σελ. 76-77.

(3) Ὁμολογῶ χάριτας τῷ προθύμως ἀντιγράψαντι τὴν ἐπιστολὴν ἐξ ἀντιτύπου τῆς ἐν Παρισίοις βιβλιοθήκης φίλῳ Κ. Αἰμιλίῳ Λεγρανδίῳ.

• Ἐπειδή, ὦ υἱέ μου, πολλάκις μὲ ἠξίωσας περὶ τοῦ γένους ἡμῶν εἰπεῖν σε, οὗ εἴχομεν ἐν Κωνσταντινουπόλει Λασχάρεων τῶν Μετοχίτων, ἐγὼ δὲ ἔλεγον πρὸς σὲ πολλάκις καὶ κατὰ μικρὸν ἄλλον καὶ ἄλλον τοῦ γένους ἐνάρετον καὶ τίμιον ἃ εἶχον καὶ αὐτὸς ἐξ ἀκοῆς ἀρχόντων γερόντων, μάλιστα δὲ τὰ καιριώτερα παρὰ τοῦ φιλοσόφου Πλήθωνος καὶ παρ' ἄλλων μεγάλων ἀρχόντων καὶ γερόντων καὶ ἐν τῇ Κωνσταντινουπόλει ἴσως τὰ πολλὰ καὶ ἐν τῇ Πελοποννήσῳ, οὐκ ἐξέταζον, ἀλλὰ τυχερὰ καὶ ἀπὸ διηγήσεων ἑκατέρωθεν ἄκουον. Νῦν δὲ ἐφάνη με καλὸν καὶ νὰ γράψω πρὸς ἐνθύμησιν μέτριόν τι περὶ τούτου, διὰ δύο ταῦτα· ἓν μὲν καὶ πρῶτον, διὰ τοῦ γένους τοῦ καθόλου τὴν φθοράν; ἐπειδὴ καὶ τὰ μερικὰ συναπόλωνται· πολλῷ μᾶλλον καὶ δεύτερον, διὰ τὴν σὴν ἀγάπην, ἣν ὀφείλω, καὶ τοῦ ἤθους σου καὶ τὴν πατρικήν, ἴσως δὲ καὶ διὰ τὴν ἀγάπην καὶ τὴν ἀρετὴν τοῦ ἀθλίου γένους ἡμῶν ἐκείνου. Καὶ πρῶτον ἄρξομαι ἀπὸ τὰς πράξεις τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου· οὗτος δὲ ἄρξας τὰ πράγματα τῶν ἐκεῖσε Ρωμαίων, εὗρε μετὰ τῶν ἄλλων καὶ τὸ σχίσμα τῆς ἐκκλησίας· ἔδοξε δὲ αὐτῷ πρέπον καὶ ἀναγκαῖον ἰδεῖν ὡς πρὸς διόρθωσιν καὶ ἕνωσιν ταύτης· εἶχε δὲ πρῶτον ἄρχοντα εἰς τὸ ὁσπίτιον αὐτοῦ καὶ μεσάζοντα τὸν μέγαν λογοθέτην τὸν πρεσβύτερον τριῶν γενομένων ἐκ τοῦ αὐτοῦ γένους, ὃς ἦν καὶ σοφὸς καὶ ἄλλως μέγας ἄνθρωπος καὶ χρησμὸς τοῦ τότε καιροῦ. Λοιπὸν ἔδοξε καλὸν τὸν βασιλέα χρήσασθαι τοῦτον καὶ πρὸς τὴν ὕλην τῆς ἑνώσεως πρέσβυν πρός τε τὸν Πάπαν καὶ τὴν καθολικὴν ταύτην ἐκκλησίαν, πρὸς ἕνωσιν καὶ διόρθωσιν καὶ τῆς ἀνατολικῆς ἐκκλησίας πρὸς τὴν διαφορὰν ἣν εἶχον ποτέ· ὁποῖος ἦλθε καὶ ἐσυμπέρανε τὸ πρᾶγμα καλῶς καὶ καθὼς ὁ βασιλεὺς ἀπεδέχετο· ἔτρεχον δὲ τὰ πράγματα καλῶς ἕως οὗ ἔζη ὁ βασιλεὺς κύρις Μιχαήλ. Μετὰ δὲ τὸν θάνατον ἐκείνου, ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ κύρις Ἀνδρόνικος ὁ Παλαιολόγος. Εἶχε δὲ

ρκη.

καὶ οὗτος ἄρχοντα εἰς τὰ πράγματα καὶ μεσάζοντα πρῶτον τὸν υἱὸν τοῦ μεγάλου λογοθέτου τοῦ πρώτου, μέγας λογοθέτης ὢν καὶ αὐτὸς, καὶ εἰς οὐδὲν ἐλάττων ἦν τοῦ πατρὸς οὔτε κατὰ σοφίαν οὔτε κατὰ ἄλλου πράγματος οὐδενός. Ἀλλὰ καὶ ὁ βασιλεὺς ἔδωκεν αὐτῷ τοῦ Παλαιολόγου κυροῦ Ἰωάννου τὴν θυγατέρα, ὃς κατάγετον ἀπὸ τοῦ δεσπότου κυροῦ Ἰωάννου, ἀδελφοῦ ἀμφιθαλοῦς τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου· ἐποῖκε οὖν μετ' αὐτὸν πέντε υἱοὺς καὶ θυγατέρα μίαν, εἰς ἣν ἐπῆρεν γαμβρὸν τὸν σεβαστοκράτοραν, υἱὸν μὲν τοῦ Πορφυρογεννήτου κυροῦ Κωνσταντίνου τοῦ Παλαιολόγου, υἱοῦ δὲ τοῦ βασιλέως κυροῦ Μιχαήλ, ὃς ἐγεννήθην μετὰ τῆς βασιλείας τὴν ἀξίαν, ὃς καὶ ἐζήτει μεγάλως τὴν διαδοχὴν τῆς βασιλείας δικαίως· ὅμως δὲ οὐδὲν ἐκατόρθωσεν, ἀλλὰ ἀδικούμενος τέθνηκεν, νέος ὢν λυπημένος ἐκ τῆς ἀδικίας πολλά. Ἡ δὲ γυνὴ αὐτοῦ ἐτάφη ἐν τῷ ἡμῶν καὶ τοῦ γένους ἡμῶν μοναστήριον τὸν Χριστὸν τὴν Χώραν ἐγγὺς τοῦ μνημείου τοῦ κτήτορος καὶ συμβίου αὐτῆς. Εἶχε δὲ ἐπιγραφὴν ὁ τάφος αὐτῆς τοιάνδε.

» Ἡ σύζυγος τοῦ Πορφυρογεννήτου, κυροῦ Κωνσταντίνου τοῦ Παλαιολόγου καὶ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Ρωμαίων Ἠρήνη Ραούλαινα ἡ Παλαιολογίνη.

» Καὶ οἱ ἀπ' ἐκείνης τῆς Παλαιολογίνης γεννηθέντες πάντες, καὶ πάντες ἄξιοι, ἐλέγοντο καὶ ἐγράφοντο προσγενεῖς τῶν βασιλέων. Καὶ τοσαῦτα μὲν περὶ τῆς συγγενείας τῶν βασιλέων. Οἱ δὲ αὐτοῦ υἱοὶ ἔλαβον γυναῖκας τῶν ἐνδοξοτέρων ἀρχόντων θυγατέρας, καὶ ἐτεκνοποίησαν ἅπαντες. Μετὰ δὲ ταῦτα βουλόμενος ὁ βασιλεὺς στεφῆναι κατὰ τὴν τάξιν τῶν βασιλέων, ἔδοξε καλὸν τὸ κοινὸν μετὰ τῶν ἐκκλησιαστικῶν τῆς πόλεως βουλόμενοι ἀνατρέψαι τὴν ἕνωσιν τῆς ἐκκλησίας ἣν ἐποίησεν ὁ βασιλεὺς κύρις Μιχαήλ, καὶ μηνύουν ἀναίσχυντα πρὸς τὸν βασιλέα καὶ τὴν σύγλητον· Οὐδόλως θέλομεν ἀφήσειν νὰ γέ-

νηται ἡ στέψις πρὸς τὸν βασιλέα, εἰμὴ ποῦ νὰ ἀνέβῃ ὁ βασιλεὺς εἰς τὸν ἄμβωνα τῆς Ἁγιᾶς Σοφιᾶς νὰ ἀναθεματίσῃ τὸν πρῶτον ἑαυτοῦ πατέρα· ἀλλ' οὐδὲ τὸν μέγαν λογοθέτην νὰ τὸν ἔχῃ ἄρχονταν εἰς τὰ πράγματα, ἐὰν μὴ καὶ αὐτὸς ποιήσῃ πρὸς τὸν ἑαυτοῦ πατέρα ὁμοίως τῷ βασιλεῖ, ὅς ἦν αἴτιος ταύτης τῆς ἑνώσεως τῆς ἐκκλησίας. Ὁ βασιλεὺς δὲ ἤκουσεν αὐτὸ τοῦτο δυσχερῶς καὶ κακῶς, ὁμοίως δὲ καὶ οἱ ἄρχοντες τῶν πραγμάτων, μάλιστα δὲ ὁ μέγας λογοθέτης· καὶ πρῶτον μὲν ὡς ἄδικον πρᾶγμαν καὶ ἀσύμφορον, καὶ δεύτερον ὡς τοῦ βασιλέως καὶ πατρὸς γνώμην, ἔπειτα δὲ καὶ διὰ τὴν τόλμην καὶ ἀναισχυντίαν τοῦ δήμου· ὥστης ἐμεταχειρίσθησαν μετὰ παντὸς τρόπου ἵνα ἀποκρούσωσιν τὸ πρᾶγμαν· ἀλλὰ οὐδόλως ἐδυνήθησαν σκόψαι, πλὴν ἐποίησαν, κατὰ τὸν κοινὸν λόγον, τὴν ἀνάγκην φιλοτιμίαν, καὶ ἤδη συνεκατέθησαν εἰς ὅπερ ἐζήτει ὁ δῆμος, καὶ ἀκωλύτως γέγονεν ἡ στέψις τοῦ βασιλέως. Ὡς δε συνεπέραναν ταῦτα, ἐτέθη εἰς περιορισμὸν ὁ γέρων μέγας λογοθέτης, ὡς αἴτιος τῆς ἑνώσεως τῆς καθολικῆς ἐκκλησίας. Φαίνεται δὲ καὶ τοῦτο, ὅτι ὁ δῆμος τὸ ἠνάγκασεν, οὐ μὴν ἄλλον τι· ἔμενεν δὲ εἰς τὴν φυλακὴν μέχρι καὶ τῆς ἑαυτοῦ ζωῆς.

» Τὰς δὲ στρατηγικὰς πράξεις τοῦ γένους ἡμῶν τούτου, φρόντισον νὰ εὕρῃς τὸν ἱστορικὸν Παχυμέρην καὶ εὑρήσεις καλὰ καὶ γενναῖα κατορθώματα ἐκείνων. Καὶ ταῦτα μὲν περὶ τῶν πολιτικῶν καὶ ἄλλων τοῦ γένους ἱκανὰ πρὸς μνήμην.

» Ἔχω δὲ καὶ τοῦτο παρὰ τοῦ σοφοῦ Πλήθωνος (ὅστις) ἐπαινῶν κατὰ πολλοῖς εἰς τὰς διηγήσεις αὐτοῦ τὴν γενναιότητα τοῦ γένους, μετὰ τῶν ἄλλων καὶ ταύτην τὴν ἱστορίαν ὡς γενναίαν τοῦ πρώτου μεγάλου λογοθέτου γενομένην πρὸς τὸν βασιλέα κύριν Ἀνδρόνικον ἀξίαν λόγου. Ἔνι δὲ ταύτη. Μετὰ παρέλευσιν πολλῶν ἐτῶν, μένοντος ἐν τῷ περιορισμῷ τοῦ γέροντος διὰ τὴν αἰτίαν τῆς πρεσβείας τῆς ἑνώσεως τῆς καθολικῆς ἐκκλησίας, ὁρίζει ὁ βασιλεὺς κύρις Ἀνδρόνικος καὶ πρὸς

Digitized by Google

τὸν υἱὸν αὐτοῦ καὶ πρὸς τοὺς ἄλλους ἄρχοντας τοὺς συγκαθημένους πρὸς βουλὴν ἔμπροσθεν αὐτοῦ. Ἄρχοντες, φαίνεταί σας καλὸν νὰ στείλωμεν πρὸς τὸν μέγαν λογοθέτην εἰς τὸ νὰ τὸν φέρουν ἐδῶ, νὰ τὸν ἀποπειράσωμεν καὶ τώρα, ἐμπορεῖ νὰ ἐσυνετρίβη τόσα ἔτη ὄντα εἰς τὴν φυλακήν, μὴ νὰ μᾶς ἀκούσῃ πρὸς τὸ νὰ συμφρονήσῃ καὶ αὐτὸς μεθ' ἡμῶν καὶ τὴν διαφορὰν ταύτην τῆς ἐκκλησίας, καὶ νὰ λείψῃ καὶ αὐτὸς ἀπὸ τὸν πειρασμόν, ἀλλὰ καὶ νὰ ἔχῃ καὶ ἐλευθερίαν καὶ θεραπείαν τὴν πρέπουσαν; Ἀπεκρίθησαν ὁμοῦ πάντες. Καλὸν ἔνι, δεσπότα μου, καὶ ἂς γένηται! μᾶλλον δὲ πρὸς τί ἀδικεῖ ὅπερ ὁρίζεις; Λοιπὸν ὡς ἀπεκρίθησαν οἱ ἄρχοντες οὕτως, ὥρισεν ὁ βασιλεὺς καὶ ἀπῆγον καὶ ἤφερον αὐτόν. Χάριν δὲ οἰκονομίας ἤρξατο πρὸς αὐτὸν ὁ βασιλεὺς τοιοῦδε λόγου· Τὸν ἄρχοντα ἐκεῖνον ἐγνωρίζεις αὐτὸν τίς ἔνι; ἔδειξε τὸν ἑαυτὸν υἱόν του. Ἀνέφερεν δὲ ἐκεῖνος πρὸς τὸν βασιλέα· Οὐ γινώσκω· ὅτι μὲν ἐγνωρίζω ἀπὸ τοῦ τόπου ὁποῦ κάθεται, ἔνι ἄρχων τίμιος τοῦ ὀσπιτίου τῆς βασιλείας σου εἶδον, τὸ δὲ τίς ἔνι οὐκ εἶδον. Ἀπεκρίθη ὁ βασιλεύς· Ὁ υἱός σου ὁ κύρις Θεόδωρος ὁ μέγας λογοθέτης ἔνι! Παρευθὺς ἐσηκώθη ὁ υἱὸς αὐτοῦ καὶ ἐπῆγεν ἀσκεπὴς πρὸς τὸν ἑαυτοῦ πατέρα, καὶ ἐχαιρετίσθησαν. Εἶτα ἤρξατο πάλιν ὁ βασιλεὺς λόγου τοιοῦδε πρὸς αὐτόν· Μέγα λογοθέτη, τὰ πράγματα ἀπεδᾶ πῶς ἐνάγκασαν πρὸς τὸ νὰ παρακολουθήσουν τὰ λυπηρὰ ὁποῖα παρηκολούθησαν πρὸς σέ, ἐξέρεις ταῦτα. Λοιπὸν τώρα ἐφάνη καὶ ἐμὲ καλὸν καὶ τοὺς ἄρχοντας τῶν πραγμάτων τούτους πρὸς τὸ νὰ σὲ φέρωμεν ἐνταῦθα καὶ σὲ συντύχωμεν ὁμοῦ πρὸς τὸ πρᾶγμαν. Λοιπὸν φαίνεταί μας καλόν, εἴπερ βούλεσαι καὶ αὐτὸς νὰ μᾶς ἀκούσῃς, ἵνα ἔχῃς μεθ' ἡμῶν ἕνα νοῦν καὶ μίαν γνώμην πρὸς τὰς τῆς ἐκκλησίας διαφοράς· τοῦτο δὲ φαίνεται καὶ ἐμὲν καλὸν καὶ τὸν υἱόν σου τὸν μέγαν λογοθέτην, καὶ πρέπον ἔναι νὰ μᾶς ἀκούσῃς, καὶ θέλομεν θεραπεύσειν πάντα ὅσα ἠνάγκασεν ὁ καιρὸς καὶ ἔγιναν πρὸς σὲ δυσχε-

Digitized by Google

ρῆ! Οὗτος δὲ ἀνέφερε πρὸς τὸν βασιλέα ταῦτα· Δεσπότα μου ἅγιε, ὅσα πρὸς ἐμὲ ὥρισας κατέλαβον· ἀπολογοῦμαι δὲ καὶ ἀναφέρω τοῦτο· ὅτι ἔχω το πολλά, ἔνι δικαιώτερον καὶ πρέπον νὰ ἀκολουθήσῃς ἡ ἁγία βασιλεία σου τὴν γνώμην τοῦ αὐθέντου μου τοῦ βασιλέως τοῦ πατρός σου, καὶ ὁ υἱός μου ὁ κύρις Θεόδωρος τὴν ἐμήν, παρὰ ἐμεῖς τὴν ἐδικήν σας! Ἄλλον δὲ οὐδὲν εἶπεν· ἀλλὰ οὐδὲ ἀπὸ τοῦ μέρους τοῦ βασιλέως οὔτε αὐτὸς οὔτε ἄρχων τις ἔλεξεν οὐδὲν, νικούμενοι παρὰ τοῦ δικαίου καὶ εὐλόγου καὶ τῆς γενναιότητος αὐτοῦ καὶ μεγαλοπρεπείας τὴν αἰδῶ· πάντα γὰρ ἔκρινεν ὡς οὐδενὸς ἄξια διὰ τὸ δίκαιον καὶ τὸ πρέπον. Καὶ ταῦτα μὲν ἃ ἱστορεῖ ὁ Πλήθων, καὶ ἐπαίνει μετὰ τῶν ἄλλων τ' ἀνδρός, καὶ ἐθαύμαζεν ὡς εἰκός. Ὅμως προστάξει τοῦ βασιλέως ἐπέστρεψαν αὐτὸν πάλιν εἰς τὸν περιορισμόν, καὶ διέμεινεν μέχρι καὶ τῆς αὐτοῦ τελευτῆς. Καὶ ταῦτα μὲν οὕτως παρηκολούθησαν πρὸς αὐτὸν, καὶ τοιαύτην ἔλαβε τὴν ψῆφον παρὰ τοῦ βασιλέως. Μηδὲν ἄρα πρέπον περὶ εὐγενείας μεγάλως φρονήσει τις· ἡ γὰρ εὐγενία ἐστὶ τύχης δῶρον, ἡ δ' ἀρετὴ οἰκεῖον καὶ ἑκούσιον ἔργον· διὰ τοῦτο καὶ ἐπαινεῖται δικαίως καὶ παρὰ πάντων ἴσως καὶ παρὰ τῶν ἐχθρῶν. Ὅρα δέ, υἱέ μου, καὶ τὸ Ὁμηρικὸν ἐκεῖνο, τό φησιν πρὸς Διομήδην ὁ Γλαῦκος περὶ γένους: Τυδεΐδη μεγάθυμε, τεὴν γενεὴν ἐρεείνεις; οἵηπερ φύλλων γηνεή, τοιήδε καὶ ἀνδρῶν· φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δὲ θ' ὕλη τηλεθόωσα φύει· ἔαρος δ' ἐπιγίγνεται ὥρη, ὡς ἀνδρῶν γενεὴ ἡ μὲν φύει, ἡ δ' ἀπολήγει. Πρέπον δὲ καὶ αὐτός, ὦ υἱέ μου, ποιῆσαι λατινικῶς ταῦτα διὰ τὴν ἀγάπην τοῦ γένους, καὶ νὰ βοηθήσῃς καὶ τῷ σῷ πατρί, ἀνεπιστήμονα ὄντα. Ἐνταῦθα δὲ ἔναι καὶ τόπος ἀρκετὸς καὶ ἁρμόδιος ».

Δὲν θέλομεν νὰ ἐπιβαρύνωμεν τὴν μνήμην τοῦ Ἀλλατίου (1) κατατάσσοντες καὶ τὴν ἐπιστολὴν ταύτην ἐν τοῖς ἀ-

(1) Κατ' ἐπιτομὴν δημοσιεύει τὰ περὶ Μετοχιτῶν ὑπὸ Ράλη γρα-

Digitized by Google

ποκρύφοις ἐκείνοις ἐγγράφοις, τὰ ὁποῖα ἐπλαστούργησεν ὁ ὑπὲρ τῆς νέας θρησκείας ζῆλος τῶν ὠνίων τῆς Προπαγάνδας ὀργάνων. Ἐν καλῇ ἀπ' ἐναντίας τῇ πίστει παραδεχόμεθα, ὅτι αὐτὸς ὁ Ράλης κατεσκεύασε τὸν ἄθλιον τούτον κέντρωνα ἐπὶ τῇ βάσει συγκεχυμένων παραδόσεων, τὰς ὁποίας πρὸς τῇ ἡμιμαθείᾳ καὶ τὸ μακρὸν γῆρας τοῦ ἀρειμανίου πολεμιστοῦ ἐπὶ μᾶλλον συνέχυσαν.

α. Συγχέει τὸν Γεώργιον Μετοχίτην, διάκονον ὄντα τοῦ πατριαρχείου, πρὸς τὸν ἱστοριογράφον Γεώργιον Ἀκροπολίτην τὸν ἐπὶ Μιχαὴλ Η' μέγαν λογοθέτην (1).

β. Συγχέει τὸν Θεόδωρον Μουζάλωνα πρὸς τὸν Θεόδωρον Μετοχίτην, παριστῶν τὸν τελευταῖον ὡς διάδοχον τῶν Ἀκροπολιτῶν ἐν τῇ μεγάλῃ λογοθεσίᾳ.

γ. Οὔτε ὁ Θεόδωρος Μετοχίτης ἔλαβεν εἰς σύζυγον τὴν θυγατέρα τοῦ Ἰωάννου Παλαιολόγου (2), οὔτε ὁ σύζυγος τῆς θυγατρὸς αὐτοῦ Εἰρήνης Ἰωάννης Παλαιολόγος ἔκτισε τὴν ἐν τῇ Χώρᾳ μονὴν τοῦ Ζωοδότου Χριστοῦ, ἥν, ὡς ἐρρέθη, αὐτὸς ὁ Θεόδωρος ἀνεκαίνισε.

δ. Δεκακαιτριέτης ὁ Θεόδωρος, ὡς αὐτὸς ὁ ἴδιος ἀφηγεῖται, ἀπορφανισθεὶς πατρὸς δὲν ἠδύνατο νὰ ἔχῃ πατέρα τὸν Γεώργιον Μετοχίτην ἀκμάζοντα ἔτι καθ' ὃν χρόνον ὁ πρῶτος εἶχεν ὑπερβῇ τὸ τριακοστὸν τῆς ἡλικίας ἔτος.

ε. Ὁ Γεώργιος Παχυμέρης λεπτομερῶς ἀφηγούμενος πά-

φόμενα ὁ ἰησουΐτης Μιχαὴλ Νάου (Ecclesiae Romanae Graecaeque vera effigies, Parisiis 1680, σελ. 82).

(1) Εἰς τὸ αὐτὸ ὑποπεσὼν ἁμάρτημα καὶ ὁ σοφὸς τοῦ Παχυμέρη ἐκδότης ἰησουΐτης Πέτρος Ποσσῖνος (Observat. Pachym. I, σελ. 654 Βόν.) διώρθωσεν ὕστερον τὸ λάθος (II, 725).

(2) Καθὰ ἐν τῷ Πρεσβευτικῷ ὁμολογεῖ ἐσυγγένευεν ἐκ γυναικὸς πρὸς τὸν μέγαν κοντόσταυλον Ταρχανειώτην Γλαβᾶν, στρατηγοῦντα τότε ἐν Θεσσαλονίκῃ, περὶ οὗ βλέπε Παχυμέρην (σελ. 12 καὶ 271).

σας τὰς περιπετείας τῆς ἐκκλησιαστικῆς ἐκείνης διενέξεως ἐκτίθησι καὶ τὴν ἐν ἔτει 1288 γενομένην συζήτησιν τοῦ λατινόφρονος Βέκκου πρὸς τὸν πατριάρχην Γρηγόριον τὸν Κύπριον ἐνώπιον τῆς ἀρχιερατικῆς ὁμηγύρεως καὶ τῶν ἐλλογίμων λαϊκῶν· «ἐφ' οἷς προὐκάθητο βασιλεύς, καὶ ἀμφ' ἐκεῖνον ἦσαν ὅσοι τε τῶν μεγιστάνων καὶ τὸ τῆς συγκλήτου ἅπαν περιφανές· ἦν δὲ καὶ ὁ μέγας λογοθέτης τὰ πρῶτα τῶν συνειλεγμένων, συνάμα πατριάρχῃ ἀναδεξάμενος τὰ τῆς διαλέξεως». μετὰ δὲ τοῦ Βέκκου ἦσαν «καὶ οἱ πάλαι ἀρχιδιάκονοι, ὅτε Μελιτηνιώτης Κωνσταντῖνος καὶ Μετοχίτης Γεώργιος». Μὴ ἐννοήσας τὰ ὑπὸ Παχυμέρη λεγόμενα ὁ Ῥάλης ἢ καὶ αὐτὸς ὁ χορηγήσας αὐτῷ, ὡς λέγει, τὰς πληροφορίας Πλήθων, ἐξέλαβον τὸν μέγαν λογοθέτην Θεόδωρον Μουζάλωνα, ὡς τὸν Θεόδωρον Μετοχίτην, ὅστις μόλις ἐν ἔτει 1294 φέρει τὸν τίτλον λογοθέτου τοῦ γενικοῦ.

Ὁ Παχυμέρης ἐξαιρετικὴν διατρέφων συμπάθειαν πρὸς τοὺς ἐπιμένοντας ὑπὲρ τῆς ἑνώσεως, ὑπὲρ ἧς καὶ οὗτος μετὰ ζήλου συνειργάσθη, οὐ μόνον δὲν ἀναφέρει τὸν Θεόδωρον Μετοχίτην παρόντα ἐν τῇ συζητήσει καὶ ἐλέγχοντα ἐπὶ τῇ ἐξωμοσίᾳ τὸν οὐχὶ πατέρα, ἀλλ' ἴσως συγγενῆ αὐτῷ Γεώργιον, ἀλλὰ καὶ τὸν τελευταῖον τοῦτον ὡς ἄλαλον θεατὴν παριστᾷ τῆς συζητήσεως τοῦ Βέκκου πρὸς τὸν Μουζάλωνα καὶ Γεώργιον τὸν Μοσχάμπαρα. Μετ' οὐ πολὺ δ' ἐπαινεῖ καὶ τὴν πρὸς τὸν Μετοχίτην τοῦτον ἐπιδειχθεῖσαν ἐξαιρετικὴν εὐμένειαν τοῦ Ἀνδρονίκου Β', ὀφειλομένην βεβαίως εἰς μεσολάβησιν τοῦ τότ' ἀρξαμένου νὰ ἰσχύῃ παρὰ τῷ βασιλεῖ Θεοδώρου. Ἐπειδὴ δὲν ἡσύχαζον, λέγει, οἱ τρεῖς οὗτοι παπολάτραι, ὁ Ἀνδρόνικος διέταξεν ἁπλῶς νὰ μένωσιν ὑπὸ φρουρὰν ἐν τῇ μονῇ τοῦ Κοσμιδίου· ἀλλὰ καὶ ἐνταῦθα δὲν ἔπαυον προκαλοῦντες ταραχὰς καὶ σκάνδαλα, ὁ δὲ βασιλεὺς πάντων ἀπορηθεὶς τῶν μαλάττειν ἐχόντων ψυχήν, τέλος ἐξώρισεν αὐτοὺς εἰς τὸ κατὰ

τὸν Ἀστακηνὸν κόλπον φρούριον τοῦ Ἁγίου Γρηγορίου ἐπιλεγόμενον. Μετ' οὐ πολὺ δὲ « ὁ Γεώργιος Μετοχίτης προκατήχθη ἐπὶ τὰ οἴκοι ἐκεῖθεν, βασιλέως προστάξαντος ». Ἀλλ' ἐπειδὴ καὶ πάλιν ἑνωθεὶς τῷ Μελιτηνιώτῃ, ἐξαχθέντι τοῦ ἁγίου Γρηγορίου μετὰ τὸν θάνατον τοῦ Βέκκου « οὐκ ἦν σφίσιν εἰρηνεύειν, καθὼς ἀπῄτουν οἵτε περὶ τὸν βασιλέα καὶ οἱ τῆς ἐκκλησίας, κατὰ τὸ μέγα παλάτιον κατακλείονται (1). »

Οὐχ ἧττον δὲ καὶ τὰ ὑπὸ τοῦ ἐπιστολογράφου παραδιδόμενα, ὅτι ὁ Θεόδωρος εἶχε πέντε υἱοὺς δὲν τολμῶ νὰ παραδεχθῶ μὴ ἐπιβεβαιούμενα καὶ ἐξ ἄλλης μᾶλλον ἀξιοπίστου πηγῆς. Ὅτι οὗτος εἶχεν ἐκτὸς τῆς Εἰρήνης καὶ υἱούς, ἄδηλον ὅμως ἂν δύο ἢ πέντε, μαρτυρεῖ ὁ Γρηγορᾶς. Ἐν δὲ ταῖς ἐπιστολαῖς Θεοδώρου τοῦ Ὑρτακηνοῦ ἀναφέρονται δύο υἱοὶ τοῦ Μετοχίτου, ἐξ ὧν ὁ μὲν Νικηφόρος ἐπαινεῖται ὡς φιλόσοφος, περὶ δὲ τοῦ δευτέρου ξαναστρεμμένου ἀρχοντοπούλου γράφει τὰ ἑξῆς τῷ πατρὶ ὁ καλὸς ἐκεῖνος διδάσκαλος. « Ἴσθι σοι τὸν φίλτατον ὀλιγωρεῖν μὲν παιδείας, ἐπιμελέσθαι δὲ ἱππεύσεως· ἀμέλει, κελητίζοντά τε καὶ ῥητῆρσιν ὅλοις ἐφιέντα περιελαύνειν τὰς ἀγυιάς, ἱπποδρόμους τε καὶ θέατρα περιτρέχειν, ἀγερωχοῦντα καὶ θριαμβεύοντα, καὶ ὥσπερ παρασήμοις τοῖς ἐστολισμένοις πομπεύοντα. Ἐπειδὴ δὲ νουθετηθεὶς πολλάκις οὐκ ἠρυθρίασεν, οὐδὲ σεσωφρόνιστο, μαστιγωθῆναι δεῆσαν καὶ μεμαστίγωτο. Πεμπτέα σήμερον αὕτη μετὰ τὴν μάστιγα, ἐν αἷς οὔτε παρὰ τὸ Μουσεῖον πεφοίτηκεν, οὔθ' ὅ φασιν, ἄκρῳ δακτύλῳ λόγων ἐγεύσατο· χαίρει δ' ἱππείοις καὶ θυμελικοῖς ὀργάνοις. Ἀλλ' ἦν ἀπῆσαν ἐσθημάτων λαμπρότητες, καὶ ζώνη δερματίνη τὴν ὀσφὺν περιέζωστο, καὶ μήθ' ἵπποις ἐπωχεῖτο χρυσηνίοις, ποσὶ δ' ἐχρῆτο πεζεύουσιν, ἐκράτει μὲν αὐτὸς ἀλο-

(1) Παχυμ. Α' 89-103, 270 — Γρηγορᾶς Α. 168-171 — Rubeis, vita Georgii Cyprii, Venetiis, 1753, σελ. 96-98.

Digitized by Google

γίας, οὗ κατεξωργεῖτο δ' αὐτοῦ ἀλογία. Ἐμὸν ἦν ἔργον ἀγγεῖλαι, σοὶ δὲ καὶ τῇ σῇ ψήφῳ μελήσει περὶ τοῦ σοῦ » (1).

Περὶ Θεοδώρου τοῦ Ποταχίου, τοῦ ὁποίου ἐκδίδομεν τὴν εἰς Ἰωάννην Παλαιολόγον μονῳδίαν οὐδὲν γινώσκομεν· πιθανῶς δ' ἐστὶν ὁ αὐτὸς Θεόδωρος Ποτάμιος (sic) τοῦ ὁποίου καταγράφει ὁ Χρύσανθος ἐπιστολὰς εἴκοσι περισωζομένας ἐν τῇ κατ' Ἄθωνα μονῇ τῶν Ἰβήρων. Ἐν τῷ Βιενναίῳ κώδηκι (IV, CCXLV, φύλ. 275-282) ἐξ οὗ ἀντεγράφη τὸ ἐκδιδόμενον, ἡμαρτημένως καταγράφεται ὡς σύνταγμα τοῦ αὐτοῦ Ποταχίου καὶ ἡ εἰς Ἀνδρόνικον Β' μονῳδία τοῦ Γρηγορᾶ (2).

Τὸ μετὰ τοὺς χρυσοβούλλους λόγους ἐκδιδόμενον Χρονικὸν διὰ στίχων περὶ τῆς τῶν Τούρκων βασιλείας Ἱέρακος τοῦ μεγάλου λογοθέτου τῆς ἐν Κωνσταντινουπόλει Μεγάλης ἐκκλησίας (1), ἀντεγράφη ἐκ κώδηκος τοῦ μετοχίου τοῦ Παναγίου

(1) Notices et extraits des manuscritis, Paris. tom. V, σελ. 738, VI, 25· βλέπε καὶ τὰς πρὸς Νικηφόρον Μετοχίτην ἐπιστολὰς (11, 12, 15, 33.

(2) Βλέπε ταύτην ἐν τῇ ἱστορίᾳ αὐτοῦ (σελ. 465-472).

(1) Περὶ τοῦ λογίου τούτου ἀνδρὸς λόγον ποιοῦμαι ἔν τε τῇ Νεοελληνικῇ Φιλολογίᾳ (σελ. 202) καὶ τῇ βιογραφίᾳ τοῦ πατριάρχου Ἱερεμίου Β' (σελ. 133 σημ.) προκειμένου περὶ τοῦ δημοσιευομένου κώδηκος τῶν ὑπ' αὐτοῦ συντεταγμένων πατριαρχικῶν ἐγγράφων. Ἤδη δὲ σημειῶ εἰς συμπλήρωσιν τῶν ἐν βίῳ Θεοδώρου τοῦ Μετοχίτου ὑποσημειουμένων περὶ τοῦ ἀξιώματος τοῦ μεγάλου λογοθέτου καὶ τὰ ἑξῆς. Κωνσταντῖνος ὁ Παλαιολόγος πρὸς ἱκανοποίησιν τῶν δικαίων ἀπαιτήσεων Γεωργίου τοῦ Φραντσῆ ἀνενέωσε τὸ ἀπὸ Μετοχίτου ἴσως κατηργημένον ἀξίωμα τῆς μεγάλης λογοθεσίας, μυστικῶς πως διορίσας τὸν ἱστοριογράφον τοῦτον μέγαν λογοθέτην (Ἱστορία αὐτοῦ, σελ. 228) Μετὰ δὲ τὴν κατάλυσιν τῆς αὐτοκρατορίας πρὸς τῇ ἄλλῃ βυζαντινῇ ἐθιμοταξίᾳ εἰσήχθη καὶ τὸ ἀξίωμα τοῦτο ἐν τῇ αὐλῇ τῶν ἡγεμόνων τῆς Μολδοβλαχίας ὑπὸ τοῦ πατριάρχου Νίκωνος περὶ τὰ τέλη τῆς ΙΕ' ἑκατονταετηρίδος· ὁ δ' ἔκτοτε ἐκεῖσε διατελῶν μέγας λογοθέτης ἦν καγγελάριος τῆς ἡγεμονίας, σφραγιδοφύλαξ καὶ ὑπουργὸς ἐπὶ τῶν ἐσωτερικῶν καὶ τῶν ἐκκλησιαστικῶν. Ἄδηλον

Digitized by Google

ρλς.

Τάφου (ἀριθ. 271) ἰδιογράφου τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ καὶ Ἀλεξάνδρου προσονομαζομένου, καὶ περιέχοντος διάφορα σημειώματα, μετὰ τὸ τέλος τῶν ὁποίων εὕρηται ἡ ἑξῆς ἰδιόγραφος τοῦ Ἱέρακος ἐπιγραφή. « Ὁ παρ' ἐμοῦ Χρονογράφος καὶ τὰ βασιλικὰ ὀφφίκια ». Τοῦ Χρονικοῦ τούτου προτάσσεται ἡ ἑξῆς ἐπιστολή.

« Ἱέρακος τοῦ μεγάλου λογοθέτου τῆς μεγάλης ἐκκλησίας πρός με τὸν υἱὸν αὐτοῦ λογοθέτην Κωνσταντῖνον τὸν καὶ Ἀλέξανδρον. Οἱ περὶ τὰς ἱστορίας πονήσαντες καὶ τὰ πάλαι γενόμενα συγγραψάμενοι, διηγούμενοι παρατάξεις καὶ συμπλοκὰς στρατευμάτων καὶ στρατοπαιδείας καὶ εἴ τι τούτοις ἑπόμενον· ἄλλοι δὲ ἀττικιζούσῃ φράσει εἰς ἐπίδειξιν μάλιστα χρησάμενοι σύντομον ἱστορίαν ἐκδεδώκασι· διδάσκουσι μόνον τί μὲν ὁ δημαγωγὸς διειλέχθη τῷ δήμῳ, τί δὲ τοῖς στρατιώταις ὁ στρατηγὸς καί τινα ἄλλα ὅσα πρὸς τὸ ἀνόνητον παρατρέχουσι· ἐγὼ δὲ σκοπήσας τὸ σύντομον, ὅπερ τοῖς τε ἀναγινώσκουσι καὶ τοῖς ἀκροωμένοις οὐκ ὀλίγην παρέχει τὴν λυσιτέλειαν, δεῖν ᾠήθην ἐκ πάντων πολλῶν ἐκείνων καὶ ἀπείρων ἱστοριῶν καὶ πεπλατυσμένων διηγημάτων, ἐρανίσασθαι τὰ καιριώτερα τῶν πεπραγμένων τοῖς ἀνέκαθεν βασιλεύσασι, καί σοι ταῦτα ἐκδοῦναι τῷ πλειστάκις με πρὸς τοῦτο παρακινήσαντι, ἵνα εὖ εἰδὼς τὴν τῶν ἐξ ἀρχῆς αὐτοκρατόρων ἀνάρρησιν, τούς τε διαδόχους αὐτῶν, καὶ ὅπως κέκληνται, ἀλλὰ μέντοι καὶ ἐφ' ὅσους ἕκαστος χρόνους ἐκράτησε τῆς ἀρχῆς, καὶ ὅπως μετήλλαξε τὴν ζωὴν καὶ οἷος ἦν τοὺς τρόπους καὶ τὰ ἐπιχειρήματα, ἐν μνήμῃ ἔχῃς

ὅμως ἐὰν αὐτὸς ὁ Νίκων ἢ ἄλλος τῶν διαδόχων αὐτοῦ εἰσήγαγον τὸ ἀξίωμα τῆς μεγάλης λογοθεσίας ἐν τῇ βαθμολογίᾳ τῆς ἐν Κωνσταντινουπόλει μεγάλης ἐκκλησίας· διότι πρῶτος τοιοῦτος μέγας λογοθέτης μνημονεύεται ὁ ἐν λόγῳ Ἱέραξ. Περὶ τοῦ ἐπὶ τῆς βυζαντινῆς αὐτοκρατορίας ἀξιώματος τοῦ ἁπλοῦ λογοθέτου τῆς τε μεγάλης ἐκκλησίας καὶ τῶν μητροπόλεων καὶ ἐπισκοπῶν βλέπε Κωδινόν (σελ 4, 114, 116 καὶ 134).

Digitized by Google

αὐτά τε καὶ τὸν ἐπισυνάψαντα κόπῳ οὐ μετρίῳ χαριζόμενόν σοί τε τῷ ἐμῷ γνησίῳ υἱῷ καὶ τοῖς ἀνὰ χεῖρας ληψομένοις τοῦτο τὸ ἐγχειρίδιον ».

Μετὰ τὴν ἐπιστολὴν ἕπεται « Χρονικὸν σύντομον Ἱέρακος τοῦ μεγάλου λογοθέτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας » πεζῇ τῇ φράσει, συντόμως ἀφηγούμενον τὰ ἀπὸ κοσμογονίας μέχρι Κωνσταντίνου τοῦ Δράγαση συμβεβηκότα, οὐδεμιᾶς προσοχῆς ἄξιον (1). Σημειωτέον δέ, ὅτι καὶ τὰ ἐν τῷ δημοσιευομένῳ στιχουργήματι ἀφηγούμενα περὶ τῆς ὑπὸ τοῦ τελευταίου αὐτοκράτορος ἰδιοχείρου σφαγῆς τῶν τέκνων αὐτοῦ (?) εἶναι ἐκ τῶν πολλῶν ἐκείνων παραδόσεων, τὰς ὁποίας καὶ ὁ Ἱέραξ καὶ ἄλλοι πατριῶται ἀξιεπαίνως ἐπαναλαμβάνουσι πρὸς κραταίωσιν μᾶλλον τοῦ ἐθνικοῦ αἰσθήματος, ἢ πρὸς ἀντίκρουσιν τῶν ἄλλως ὑπὸ τῆς ἱστορίας ἐκτιθεμένων.

(1) Ἐν τέλει τούτου ἀναγινώσκεται. « Δόξα θεῷ τῷ δόντι μοι τέλος τόδε· ἐν τῇ οἰκίᾳ τοῦ γείτονος Μεεμὲτ Τζελεμπῆ, εὑρεθέντι ἔκλαυσα διὰ λύπην πολλήν, νοεμβρίου θ', ἰνδικ. ι', κατὰ τὸ ζρε' ἔτος ».

Ἐπειδὴ παρεισέρρησαν ἀσήμαντά τινα τυπογραφικὰ παροράματα, ὡς κάλιν ἀντὶ πάλιν (σελ. 21, στ. 7), ἥ ἀντὶ ἤ (24, 5), ἀποτίθεντα ἀντὶ ἀποτίθενται (27, 30) στηριθήσεται ἀντὶ στηριχθήσεται (31, 21), ἀλλήλου ἀντὶ ἀλλήλους (31, 23), βίον ἀντὶ βίου (39, 16), ἀδισπάστως ἀντὶ ἀδιασπάστως (52, 5), προδοκῶντα ἀντὶ προσδοκῶντα (55, 13), τῦντε ἀντὶ νῦντε (65, 13).

ρλη.

περιόντι ἀντὶ περιόν τι (89, 21), προσκλαύσωμον ἀντὶ προσλαύσωμεν (99, 21), οὐ ἧττον ἀντὶ οὐχ ἧττον (140, 10), ἐκπολορκεῖται ἀντὶ ἐκπολιορκεῖται (187, 9), τοῖς ἀντὶ τῆς (188, 22), βεσιλέως ἀντὶ βασιλέως (279, 6), καὶ εἴ τι ἕτερον, παρακαλεῖται ὁ εὐμενὴς ἀναγνώστης νὰ διορθώσῃ ταῦτα. Μὴ δ' ἐκλαβέτω ὡς τοιαῦτα καὶ τὰ ἐνκαταστάντα (32, 21), ἐνκαταλελειμμένα (132, 20), Α'ρραβίῳ (87, 20), 'Αρραβικοῖς (112, 19), μέλειν (111, 30), ἐμέλομεν (164 29), πᾶς (83, 27), πορείαν (106, 22), τεύχεσιν (122, 31), ἄρα (154, 9), οὕτως ἔχοντα ἐν τοῖς κώδηξι.

Digitized by Google

Digitized by Google

oogle

Α.

ΜΙΧΑΗΛ ΑΤΤΑΛΕΙΑΤΗΣ

Digitized by Google

Digitized by Google

ΔΙΑΤΑΞΙΣ σὺν θεῷ γενομένη παρὰ Μιχαὴλ πατρικίου ἀνθυπάτου, κριτοῦ ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου, τοῦ Ἀτταλειάτου, ἐπὶ τῷ παρ' αὐτοῦ συστάντι πτωχοτροφείῳ καὶ τῷ μοναστηρίῳ, καθὼς ὀφείλει τελεῖσθαι τὰ ἐπ' αὐτοῖς ἄχρις αἰῶνος, εἰς δόξαν πατρὸς, υἱοῦ καὶ ἁγίου πνεύματος.

Χάρις τῷ πάντα δυναμένῳ καὶ πρὸς τὸ βέλτιον οἰκονομοῦντι θεῷ, τῇ ὁμοουσίῳ φημὶ καὶ ἀδιαιρέτῳ καὶ ἀσυγχύτῳ Τριάδι, δι' ἧς μεγάλων δωρεῶν καὶ τὴν ἀνθρωπίνην ὑπερεκπιπτόντων φύσιν ἠξιώθησαν ἄνθρωποι, καὶ εἰς ἣν πᾶν τὸ κατορθούμενον ἀναφέρεται, καὶ παρ' (ἧς) ἐθαυμαστώθησαν οἱ μηδὲ θαυμάσαι τινὰ δυνηθῆναι οἰηθέντες, διὰ τὴν ταπεινοῦσαν τούτους ἀσθένειαν. Ταύτης προσκυνητὴς καὶ λάτρις ἐγὼ Μιχαὴλ πατρίκιος ἀνθύπατος καὶ κριτὴς ὁ Ἀτταλειάτης, ἐκ παίδων τοῦτο τὸ σέβας διὰ τῶν πιστοτάτων γεννητόρων μου διδαχθείς, πάτριον ἐχόντων τὸ πρὸς θεὸν ὀρθότομόν τε καὶ εὔγνωμον, κἀντεῦθεν ἀπολαύσας πολλῶν μὲν καὶ ποικίλων δεινῶν ἀπαλλαγῆς, ἐπὶ ξένης γενόμενος, πλειόνων δὲ εὐεργετημάτων τυχὼν, καὶ λόγου μετασχὼν διὰ τῆς δε τῆς τῶν λόγων ἀφράστου καὶ

Digitized by Google

ἀκενώτου θείας πηγῆς· κτῆσιν μὲν γὰρ οὐδ' ἥντινοῦν κατὰ τὴν τῶν λόγων μητρόπολιν καὶ βασιλίδα τῶν πόλεων ἔκ τινος τῶν ἀνιόντων κληρονομίας διεδεξάμην· ἀπῆν γὰρ ἣν εἶχον ἐν ᾗ τὴν γένεσιν ἔσχηκα, καὶ ταῖς συγγόνοις κατὰ γνώμην ἐμὴν διανενέμηται ἅπασα, προσεπιβαλόντος κἀμοῦ τοῖς γονικοῖς, τῶν οἰκείων πολλά· λόγους δὲ ζητῶν προσεκτησάμην τούτοις καὶ τὰ πρὸς τὸν βίον ἐφόδια, καὶ οἷς ἄνθρωποι τὴν παροῦσαν εὐδαιμονίαν περιορίζουσι, θεοῦ τὰ ἐμὰ πάντως, καθὰ προδιείληπται, διεξάγοντος, καὶ τῇ τοῦ βίου ῥαστώνῃ καὶ ἀφελείᾳ τὴν θείαν ἀντίληψιν δι' ἄκραν ἀγαθότητα ἀντεισάγοντος, καὶ προνοίας ὅροις ἀκαταλήπτοις ἀντιλαμβανομένου τοῦ πτώματος, ταύτῃ τοι· καὶ πολὺ μὲν τὸ δόξαν ἡμῖν ἀντιτίθεσθαι, καὶ βασκανίας περιβάλλειν κακοῖς, καὶ πρὸ πάντων ἡ τοῦ γένους ἀπαλλοτρίωσις· πάντα δ' εἰς παρ' ἡμῖν ἀπροσδόκητον καὶ ἀσινὲς ἐναπέληξαν· καταβιοὺς δ' ἀπὸ μονώτιδος βιοτῆς εἰς συζυγίαν ἐπὶ χρόνους τινάς, καὶ τὴν σύζυγον κοινῷ θανάτῳ ἐν ἀκμῇ τῆς ὥρας ἀποβαλών, οὐδὲν ἔσχον ἐκ τῆς τελευταίας ταύτης βουλήσεως, ἢ μικρόν τι καὶ οὐδὲν κατάλυμα· συναινέσας αὐτῇ πάντα θεῷ παρεχομένῃ διὰ τῆς εἰς τοὺς πένητας μεταδόσεως, καὶ τῷ τῆς ἐπιτροπῆς δικαίῳ, μετὰ καὶ τῆς ἰδίας αὐτῆς μητρὸς ὑπουργήσας ἀνεμποδίστως τῷ ταύτης θελήματι, καὶ ἅπαντα σὺν αὐτῇ διαδούς· πάντα δὲ τὰ προσόντα μοι δι' ἀγαθῆς ἐπεκτησάμην πίστεως οἴκοθεν· καὶ τὸ κτῆμα ταύτης τοῦ Εὐλοχάκα δόσει τιμήματος ἁδροτάτου ἠγόρασα, προστάξει βασιλικῇ τοῦ νομοφύλακος δοθέντος ἐπὶ τῇ πράσει κουράτωρος εἰς τόπον ἐμὸν ἅμα τῇ συνεπιτρόπῳ καὶ πενθερᾷ μου· καθὼς καὶ ἡ πρᾶσις καὶ τὸ ἐπιγεγονὸς ὑπόμνημα διαγορεύει σαφέστατα· ἐν ᾗ τινι πράσει περιείληπται καὶ ὅπως τὸ τοῦ κτήματος τοῦ Βανίτζη ἅπαν τίμημα εἰς διάδοσιν πενήτων ἀνελλιπῶς προκεχώρηκε. Τοιούτων οὖν καὶ τηλικούτων τετυχηκὼς ἀγαθῶν ὑπὸ τῆς παντοκρατορικῆς καὶ φιλανθρώπου καὶ φιλοικτίρμονος δεξιᾶς ἐγὼ ὁ

Digitized by Google

ἁμαρτωλὸς καὶ πάντων ἀνάξιος, ὡς καὶ ἀπὸ ξένης καὶ ταπεινῆς τύχης εἰς γενέσθαι τῶν τῆς συγκλήτου βουλῆς, καὶ τοῖς ἀρίστοις τῶν βουλευτῶν, οὓς καὶ ἀριστοκρατικοὺς ὁ παλαιὸς λόγος οἶδε καλεῖν, καὶ τοῖς ἐπιφανεστάτοις τῶν πολιτικῶν δικαστῶν συγκαταλεγῆναι, καὶ τιμαῖς δημοσίαις ἐναβρυνθῆναι, ὤφειλον πάντως τῷ τῶν τοσούτων ἀγαθῶν δοτῆρι θεῷ ἀναλογοῦσαν τὴν εὐγνωμοσύνην καὶ ἀξιόχρεων συνεισενεγκεῖν· ἀναγκαίως μὲν οὖν ὤφειλον τοῦτο, κἂν ἀπόρως εἶχον διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν· εἰ δ' οὖν ἀλλά γε τοῦ ἐφικτοῦ περὶ τὴν τοῦ βελτίονος κρίσιν τε καὶ διάκρισιν τὸ παράπαν μὴ ἐκπεσεῖν.

Ἐγὼ δὲ τοὐναντίον ἔμεινα δι' ὅλης ζωῆς παροργίζων τὴν ἄφατον αὐτοῦ πρός με μακροθυμίαν καὶ ἀγαθότητα πολλοῖς καὶ χαλεποῖς πλημμελήμασιν, ἀνθ' ὧν καὶ τῶν ἠπειλημένων τοῖς ἁμαρτάνουσι κολαστηρίων δεινοτέροις ὑποπεσεῖν ἐμαυτὸν κατακέκρικα· οὐ μόνον ὡς εἰδὼς τὸ θέλημα τοῦ κυρίου μου καὶ μὴ ποιῶν τοῦτο, καὶ τὸ δοθέν μοι τάλαντον ἄκαρπον ὁμοῦ καὶ ἄτοκον ἀποδείξας καὶ χεῖρον ἀπεργασάμενος, ἀλλὰ καὶ ὡς ἀμνήμων γενόμενος τῶν θείων αὐτοῦ δωρημάτων καὶ χαρισμάτων, καὶ τῆς κατὰ βίον εὐρύτητος· καὶ ἀνεπίστροφος διαμείνας ἀπὸ τῶν πονηρῶν, πονηρᾷ συνηθείᾳ καὶ βαρυκαρδίῳ γνώμῃ κεκρατημένος· ἐπειδὴ δὲ τὴν ὑπερβάλλουσαν ἄβυσσον τῆς ἀνυπερβλήτου χρηστότητος καὶ φιλανθρωπίας αὐτοῦ εἰς ἡμᾶς μάλιστα τοὺς ἁμαρτωλοὺς ἐπεδείξατο, καὶ λίαν κηδεμονικῶς ἔχει πρὸς τὴν σωτηρίαν ἡμῶν, καθὼς λόγῳ ἐδίδαξε καὶ ἔργοις παρέδειξεν ὁ τῶν ὅλων σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, διὰ ταῦτα εἰς τοσοῦτον ὕψος καὶ ἄπειρον μέγεθος τῆς φιλανθρωπίας αὐτοῦ ἀφορῶν, καὶ εἰς τοῦτον μόνον τὸν θεῖον αὐτοῦ καὶ σωτήριον λόγον ἐπερειδόμενος, καθότι τοσοῦτον ἠγάπησε τὸν κόσμον ὁ θεὸς, ὥστε τὸν μονογενῆ υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν λύτρον ὑπὲρ ἡμῶν δέδωκε τῶν ἁμαρτωλῶν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, ἐν τούτῳ καὶ αὐτὸς

Digitized by Google

τὴν ἐλπίδα μου πᾶσαν ἀνατιθείς, οὐκ ἀπογινώσκω τὴν σωτηρίαν μου, εἰδὼς ἀκριβῶς, ὅτι μείζονος καταδίκης πεπείραται ὁ ἀπογινώσκων, καὶ πῦρ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐπανάπτει, τοιαύτην ὕλην ἐπισωρεύων ἀπονενοημένου λογισμοῦ· οὐ γάρ ἐστιν οὐδὲν τῶν ἁπάντων ἐκφυγεῖν τὸν οὗ πάντων ἡ πνοὴ ἐν χειρί· πάντων δὲ φοβερώτερόν τε καὶ δυστυχέστερον τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος τινά, ὡς ἐκ διαμέτρου τῆς εἰς θεὸν ἐλπίδος καὶ τῆς ἐντεῦθεν σωτηρίας γενόμενον· ὧν ἁπάντων τῶν τὰς ἐλπίδας λόγῳ σβεννύντων λογισμῶν ἀνώτεροι καὶ ἡμεῖς καὶ ὅσης τῆς σῆς χειρὸς καὶ πίστεως ἔργα καθίστανται συντηρηθείημεν, ὦ παντάρχικὴ καὶ ὁμοούσιε Τριὰς ἐς ἀεί.

Ταῦτ' οὖν βεβαίως καὶ ἀληθῶς ἀναλογιζόμενος, καὶ τὰς διαδεξομένας ἐκεῖθεν λογοποιΐας εἰς νοῦν καθ' ἑκάστην βαλλόμενος, καὶ τὸ τῆς δίκης ἄφυκτον διηνεκῶς λογιζόμενος, εἰς ἐργασίαν τινὸς ἔργου ἀγαθοῦ προεθυμήθην ἐλθεῖν.

Πρὸς εὐαρέστησιν μικράν γοῦν τινὰ τοῦ πλουσίως ἐφ' ἡμᾶς ἐκχέοντος τὸν αὐτοῦ ἔλεον, καὶ ἀπὸ τῆς ὑπηργμένης μοι κτήσεως κατὰ τὴν τοποθεσίαν τῆς Ραιδεστοῦ, τῷ ἀράτῳ ἐλέει αὐτοῦ οἰκονομῆσαί τι δεόντως, καὶ ὡς αὐτῷ ἀρεστόν τε καὶ εὐαπόδεκτον· πεπεισμένος ὅτι μικρὰν ἀφορμὴν λαβῆς παρ' ἡμῶν ἐκζητεῖ ὁ πολυεύσπλαγχνος καὶ πανυπεράγαθος ἡμῶν θεός, ἵνα τὴν ὅλην αὐτοῦ χρηστότητα καὶ φιλανθρωπίαν εἰς ἡμᾶς ἐπιδείξηται τοὺς ἁμαρτωλούς· πολλὰ γὰρ ἡμῖν τὰ ἀγαθὰ ἐπηγγείλατο ὑπὲρ ταύτης μόνης τῆς πάνυ ἐλαφρᾶς αὐτοῦ ἐντολῆς, ἵν' ἐκ τῶν ἀγαθῶν ὧν ἔχομεν, μᾶλλον δὲ τῶν ἐκείνου, οὐδὲν γὰρ οἰκεῖον ἡμῖν, ὅτι καὶ τὸ εἶναι ἡμῖν ἐκ θεοῦ, παρέχωμεν τοῖς ἐπιδεομένοις ἡμῶν· τίς γὰρ ἐκτὸς τῆς ἐκείνου φιλανθρωπίας, τοιοῦτόν τι προσεδέξατο δῶρον καὶ ἀπεδέξατο, ἵνα τὰ παρ' ἑαυτοῦ, καὶ ὧν χρῆσις μόνη καὶ δόσις ἐκείνου χάριν ἡγεῖται καὶ προσαγωγὴν ἀλλοτρίαν; ὄντως οὐδείς· ὅπου γε καὶ ἀλλοτρίων εἰσφερομένων ἡμῖν, ὄγκοις ὡς ἔπιπαν καὶ μέτροις

τὴν τοῦ παρέχοντος διάθεσιν κρίνομεν· οὗτος δὲ ὁ πανυπεράγαθος θεὸς ἡμῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν ἡμᾶς, καὶ πάντα ἡμῖν παρεσχηκώς, θυσίαν ἡγεῖται ταῦτα, ὅσαπερ ἐκείνῳ διὰ τῆς τῶν πενήτων εὐποιΐας εἰσοίσομεν, τοὐναντίον μετρῶν τὴν ἀντίδοσιν τῇ τοῦ διδόντος διαθέσει καὶ μὴ τῇ ἀξίᾳ τοῦ διδομένου· εἰ δὲ καὶ βραδεῖς καὶ νεναρκωμένοι πρὸς τὰ κρείττω τυγχάνομεν, καὶ ἀγνωμοσύνῃ κεχρήμεθα, ἀλλ' αὐτὸς ταχύς ἐστιν εἰς ἀντίληψιν· καὶ τοσοῦτο εἰς μακροθυμίαν καὶ συγκατάβασιν, ὅσον οὐδ' εἰς νοῦν λαβεῖν ἐφικτὸν ἀνθρωπίνῃ φύσει καὶ διανοίᾳ· τὴν ἐπιστροφὴν ἡμῶν ἐκδεχόμενος πάντως καὶ τὸ τῆς ὀργῆς ἀναβαλλόμενος ἄκρατον, ἵνα καιρὸς τῇ μετανοίᾳ δοθῇ. Τίς εἶ ἱκανὸς ἐκδιηγήσασθαι τὴν πρὸς ἡμᾶς ἄπειρον αὐτοῦ φιλανθρωπίαν καὶ ἀγαθότητα; ὄντως οὐδείς, οὐδὲ τῶν ἐν πράξει καὶ θεωρίᾳ τετελειωμένων ἀνδρῶν· μήτι γε ἐγὼ ὁ τούτων ἀμφοτέρων πολλῷ τῷ περιόντι λειπόμενος.

Ἀλλὰ καὶ τοῦτο δόξα πάντως τῷ ἀγαθῷ, τῷ μηδὲ τὰ πάνυ ταπεινὰ ἀποσείεσθαι· ἀλλ' ἐν τοῖς πανευτελέσι καὶ ἐξουθενωμένοις μάλιστα εὐδοκεῖν· διὸ δὴ κἀγώ, εἰ καὶ ὅλος ὑπάρχω αὐτοκατάκριτος, καὶ παντελῶς ἀνάξιος τῆς φιλανθρωπίας αὐτοῦ, θαῤῥήσας τῷ ἀφάτῳ αὐτοῦ ἐλέει, τὴν παροῦσαν μικρὰν καὶ πενιχρὰν ταύτην μου προσαγωγὴν ἐτόλμησα προσενεγκεῖν τῇ ὑπεραφάτῳ αὐτοῦ μεγαλωσύνῃ καὶ ἀγαθότητι.

ΧΡΙΣΤΕ ΠΡΟΗΓΟΥ ΜΟΙ.

Περὶ τῶν ἀφιερωθέντων ἀκινήτων καὶ τοῦ εἶναι εἰς κληρονόμους μόνους ἀνώτερα βασιλικῆς ἢ ἐκκλησιαστικῆς ἐξουσίας.

Καθιερῶ οὖν μετὰ πολλῆς τῆς προθυμίας καὶ θερμῆς διαθέσεως διὰ τῆς εἰς τοὺς δεομένους εὐποιΐας ἀπὸ τῆς ἐν τῇ Ραιδεστῷ καὶ τῇ βασιλίδι τῶν πόλεων διακειμένης ἀκινήτου

Digitized by Google

μου κτήσεως αὐτῷ τῷ μεγάλῳ θεῷ καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ τῷ ἐκ παρθένου τεχθέντι ἀφράστως καὶ ὑπὲρ λόγον, σὺν τῷ ὁμοουσίῳ πατρὶ καὶ ἁγίῳ πνεύματι, ἀπόμοιραν οὐκ ἐκ τῶν ἡττόνων ἐμοὶ καὶ ὑποδεεστέρων, ἀλλ' ἐκ τῶν κρειττόνων καὶ τιμιωτέρων καθὼς ἐστὶν ἄξιον τῷ πάσης τιμῆς ἐπέκεινα καρποφορεῖν καὶ προσάγειν τοὺς πίστιν εἰλικρινῆ κεκτημένους· εἰ γὰρ καὶ ἀπροσδεὴς καὶ αὐτάγαθος φύσις ἡ δημιουργὸς, καὶ τὸ πᾶν συνέχουσα δόξα, ἡ ἑνιαία θεότης καὶ τρίφωτος, ἀλλ' ἡ προαίρεσις οὐκ ἀβασάνιστος οὐδ' ἀδοκίμαστος τίθεται· διὰ γὰρ τοῦτο καὶ ἡ τοῦ Κάϊν θυσία οὐ θυσία ἐλογίσθη τῷ ὄντι, ἀλλὰ κατάκρισις, ὅτι ἐκ τῶν χειρόνων καὶ ἀπολέκτων προσήγετο· καθιερῶ οὖν, ὡς προδιείληπται, ταῦτα τῷ πανοικτίρμονι καὶ μεγάλῳ θεῷ, καὶ κληρονόμον αὐτὸν ταύτης τῆς προσαγωγῆς μου ἐνίστημι καὶ προνοητὴν καὶ κύριον, οὐ χεῖρον δὲ εἰπεῖν καὶ ἐκδικητὴν καὶ ἀντίδικον κατὰ τῶν βουλομένων ποτὲ καιροῦ ἢ χρόνου ἀκρωτηριάσαι ἢ παραθραῦσαί τι τῶν διατεταγμένων μοι, καὶ ἀπομειῶσαι, ἢ καταβαρύναι τι τῶν προσκεκυρωμένων τῇ εὐτελεῖ ταύτῃ κληρονομίᾳ αὐτοῦ· καὶ τὸν μὲν ἐντὸς τοῦ κάστρου τῆς Ραιδεστοῦ οἶκον Πτωχοτροφεῖον καλεῖσθαί τε καὶ εἶναι καὶ γνωρίζεσθαι διατυπῶ, εἰς ἐξιλέωσιν καὶ ἄφεσιν τῶν ἐμῶν πολλῶν καὶ μεγάλων καὶ ἀναριθμήτων ἁμαρτιῶν· τοῦτον γὰρ τὸν οἶκον πρὸ χρόνων πολλῶν πρὸ τοῦ εἰσελθεῖν εἰς μοναστήριον τὴν μοναχὴν καὶ πρωτοσπαθάρισσαν κυρὰν Εὐφροσύνην τὴν γυναικοθείαν μου, ἐν γὰρ τῷ οἴκῳ τοῦ Κρασᾶ τοῦ ἐξαδέλφου αὐτῆς ἀπεκάρη, διὰ συμφώνου πρατηρίου καὶ ἀρραβωνικοῦ ἐγγράφου, κατεδέσμευσα ἀπ' αὐτῆς μετὰ καὶ τοῦ κτήματος αὐτῆς τοῦ Λιβός, ἤτοι τῶν Βαβούλου· ἐπεκτησάμην δὲ καὶ τελείως ὕστερον τὸν μὲν οἶκον δι' ἀγορασίας ἐντελοῦς, τὸ δὲ κτῆμα ἐκ διαθήκης· τὸν μέντοι εἰρημένον οἶκον ἐπεκτησάμην παντελῶς καταπεπτωκότα, καὶ εἰς γόνυ κλιθέντα καὶ ἄχρηστον, τὸ μὲν τῇ ἐκ τοῦ χρόνου σαθρότητι, τὸ δὲ καὶ τῷ

Digitized by Google

ἐξαισίῳ κλόνῳ τοῦ σεισμοῦ προσεχῶς γεγονότι, καὶ ἐκ βάθρων ἀνῳκοδόμησα, καὶ πολλοῖς καὶ ἁδροῖς ἀναλώμασι καὶ ἱδρῶσιν ἐκ τῶν ὑστερημάτων μου κατεκόσμησα· οὐ γὰρ ἀφθονίαν ἔσχον τηνικαῦτα, ἔτι κατὰ τοὺς τοῦ βίου πρόποδας ὤν, καὶ μηδεμίαν ἀρχικὴν ἐξουσίαν περιζωσάμενος, ὅπερ καὶ μέχρι τέλους χάριτι Χριστοῦ διετήρησα, μηδεμίαν ἀρχὴν ἢ δημοσίαν δουλείαν ἐγχειρισθείς· συνήνωσα δὲ τούτῳ καὶ ἅπερ ἀντήλλαξα καὶ ἐξωνησάμην ἀπό τε τοῦ Ψωραρίου καὶ τοῦ Ναρσῆ, καὶ ἕνα οἶκον πεποίηκα· καὶ βούλομαι τοῦτον ἅπαντα συνεκτικὸν ὑπάρχειν καταγώγιον τῆς τῶν ὅλων καρπῶν συνεισφορᾶς καὶ ὑποδοχῆς, καὶ τῆς τῶν ξένων πενήτων ἐπαναπαύσεως καὶ καταγωγῆς, καὶ πτωχοτροφεῖον, ὡς προείρηται, καὶ εἶναι καὶ ὀνομάζεσθαι.

Σὺν τούτῳ δὲ καὶ τὸν ἐν τῇ πόλει οἶκόν μου, ὅνπερ ἐξωνησάμην ἀπὸ τῆς πρωτοσπαθαρίσσης καὶ ἀσηκρητίσσης κυρᾶς Ἀναστασοῦς τῆς γυναικαδέλφης μου, προστάξει βασιλικῇ διὰ κρίσεως καὶ δοκιμασίας τῶν προστεταγμένων δικαστῶν, τοῦ τε βέστου κυροῦ Μιχαὴλ καὶ κοιαίστωρος τοῦ Ἀνζᾶ, καὶ τοῦ νομοφύλακος· ἀφιερῶ καὶ αὐτὸν εἰς πτωχοτροφεῖον, καὶ συντίθημι ταῦτα καὶ ἑνοποιῶ, ὥστε ἀλλήλοις συνέχεσθαί τε καὶ συνυπάγεσθαι καὶ συνδιοικεῖσθαι, καὶ συναρμολογεῖσθαι τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος· ἡνωμένα γὰρ ὀφείλουσιν εἶναι ἄμφω καὶ ὡς μέρη καὶ μέλη συνδεδέσθαι τῷ πνεύματι, καὶ ὑπὸ τῷ αὐτῷ κληρονόμῳ καὶ δεσπότῃ, τῷ ἐπουρανίῳ φημὶ βασιλεῖ τελεῖν, διὰ τῆς εἰς τοὺς πένητας εὐποιΐας καὶ μεταδόσεως. Τυπῶ δὲ τὸν εἰρημένον οἶκον καὶ ἀφιερῶ εἰς πτωχοτροφεῖον, ἄνευ τοῦ κατωγέου τοῦ Τρικλίνου, τοῦ ὄντος σύνεγγυς καὶ ἡνωμένως τῇ ἐκκλησίᾳ τοῦ Προδρόμου· ὅπερ κατώγεον καὶ τὴν εἰσοδοέξοδον ἔχει ἐν τῇ αὐλῇ τοῦ ἑτέρου μου οἴκου τοῦ ἀπὸ τῆς πρωτοσπαθαρίσσης τῆς μοναχῆς κυρᾶς Εὐφροσύνης τῆς γυναικοθείας μου ἐξωνηθέντος μοι καὶ ἄνευ τοῦ στενοεπιμήκους ἡλιακοῦ τοῦ προκύπτοντος εἰς τὴν αὐλὴν τοῦ

Digitized by Google

εἰρημένου μου οἴκου, τοῦ ἀπὸ τῆς εἰρημένης πρωτοσπαθαρίσσης καὶ μοναχῆς κυρᾶς Εὐφροσύνης ἐξωνηθέντος μοι· ταῦτα γὰρ τὰ δύο, τό τε κατώγεον καὶ τὸν ἡλιακὸν, ὃν ἀπὸ τῆς ἀσηκρητίσσης κυρᾶς Ἀναστασοῦς ἐξωνησάμην, συνήνωσα τῷ αὐτῷ οἴκῳ μετὰ καὶ τοῦ τριπάτου κουβουκλείου τοῦ ἔχοντος κάτω τὸν ὀνόμυλον, ὥστε εἶναι μέρη τοῦ μικροῦ οἴκου, ὃν ἀπὸ τῆς πρωτοσπαθαρίσσης κυρᾶς Εὐφροσύνης τῆς Βωβαίνης τῆς θείας μου ἐξωνησάμην· τὸν δὲ λοιπὸν ἅπαντα οἶκον τὸν ἀπὸ τῆς πρωτοσπαθαρίσσης καὶ ἀσηκρητίσσης κυρᾶς Ἀναστασοῦς ἐξωνηθέντα μοι, ἀφιερῶ καὶ ποιῶ πτωχοτροφεῖον, ὡς προσδιείληπται, σὺν τῷ προειρημένῳ τῆς Ραιδεστοῦ οἴκῳ, μίαν κλῆσιν ὀφείλοντα ἔχειν, καὶ ἓν πτωχοτροφεῖον λογίζεσθαι, καὶ ἔχειν ἱλαστήριον τὸν Προδρομικὸν ναὸν, ἐπ' ὀνόματι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Πανοικτίρμονος, ᾧ τινι ναῷ καὶ τῷ ἐν αὐτῷ τιμωμένῳ Ἰησοῦ Χριστῷ τῷ Πανοικτίρμονι, καὶ τῷ ἐν τῷ οἴκῳ μου τῆς Ραιδεστοῦ θείῳ σηκῷ, ὀφείλει εἶναι προσκεκυρωμένον ἐν δυσὶ τούτοις οἴκοις ἓν πτωχοτροφεῖον, καὶ τὰ τούτοις προαφωρισμένα κινητὰ καὶ ἀκίνητα, καὶ ἵνα καλῶνται ἐπωνύμως Πτωχοτροφεῖον τοῦ Πανοικτίρμονος· εἰ γὰρ καὶ ὁ ναὸς οὗτος τοῦ ἐν τῇ πόλει οἴκου μου βραχὺς καὶ πολλῶν ἐπιτερπῶν καὶ τῆς γηΐνης ὕλης ἐπιδεής, ἀλλὰ χάριτος μεγάλης τῇ τοῦ θεοῦ ἠξίωται χάριτι, καὶ ἐξ ἐπιπνοίας θειοτέρας οὐκ ὀλίγαι θεοσημεῖαι ἐν τούτῳ γίνονται, καὶ πηγὴ ἐλέους δοκεῖ διὰ τῆς εἰς τοὺς πένητας εὐποιΐας, δι' ἧς μόνης θεὸς θεραπεύεται, καὶ περὶ ἧς ἐμοὶ ὁ πᾶς τῆς καρποφορίας σκοπός· οὐ γὰρ ἐν χειροποιήτοις ναοῖς ὁ ἀχώρητος καὶ ὑπερούσιος θεὸς κατοικεῖ, ἀλλ' ἐν ἐμψύχοις τοῖς εὐαρεστοῦσιν αὐτῷ καὶ ποιοῦσι μετὰ καθαροῦ συνειδότος τὸν ἔλεον. Διὰ γὰρ τοῦτο καὶ θεραπευτὰς τοῦ ναοῦ ἄνδρας εὐλαβεῖς προεστησάμην ἐπὶ ῥητοῖς σιτηρεσίοις καὶ ῥόγαις· ἐγὼ γὰρ οὐκ ἐν ἀπορίᾳ κληρονόμου καὶ φυσικῆς ἐννόμου διαδοχῆς τὴν τοιαύτην ἐθέμην ἐλπίδα καὶ

Digitized by Google

προσαγωγήν· ἔστι μοι γὰρ υἱὸς γνησιώτατος, ὁ μυστογράφος κυρὸς Θεόδωρος καὶ βασιλικὸς νοτάριος· ἀλλ' ἐν συντετριμμένῃ καρδίᾳ καὶ ταπεινώσει δέον ἔκρινα δοῦναι μερίδα καὶ τοῖς ὀκτὼ, ἤτοι τῷ μέλλοντι αἰῶνι, εὐχαριστῶν τῷ πανοικτίρμονι καὶ φιλαγάθῳ θεῷ, ὅτι με ἀπὸ γονέων εὐσεβῶν καὶ φιλοχρίστων προήγαγε, παιδαγωγησάντων με τὴν μεγίστην σοφίαν τῆς πρὸς αὐτὸν γνώσεως, εἶτα καὶ παιδεύσεως ἱκανῶς ἐμπεφόρηκε, ὅση τε τῆς ἐγκυκλίου καὶ ὅση τῆς κατὰ φιλοσόφους ἢ ῥήτορας, καὶ ὅση τῆς ἱερᾶς τῶν νόμων μυήσεως, οὐ μὴν δὲ ἀλλὰ καὶ εὐπορίας αὐτάρκους ἠξίωσε, τὰ διαρκέστατα συναγείρας ἐπ' ἐμοὶ τῶν ἐγκοσμίων αὐτοῦ ἀγαθῶν.

ΕΥΚΤΗΡΙΟΣ ΛΟΓΟΣ.

Σοὶ οὖν δέσποτα, ταῦτα προσάγων, ὅτι σοῦ διδόντος πάντα συνείλοχα, εἶεν εἰς ὑπηρεσίαν τῆς φιλανθρώπου σου ἐντολῆς· οὐ γὰρ παραδέδωκας ὡς φιλάνθρωπος τοῖς εὐσεβεῖν ἐθέλουσι τὴν σωτήριον πρόφασιν, τὸν ἑκάστου πλοῦτον λύτρον ψυχῆς καθεστάναι ἀποφηνάμενος· ἔστω ἡ μεγάλη σου καὶ παντοδύναμος δεξιὰ συνέχουσα τὰ προσενηνεγμένα καὶ συντηροῦσα εἰς ἀΐδιον διαμονήν. Μὴ δῷς κύριε τοῦ ἐλέους, ἄνδρα βάσκανον ταῦτα κεραΐσαι καὶ διασπάσασθαι, ἢ τοὺς περὶ τὰς κτήσεις ἐπτοημένους δυνάστας, λίχνοις καὶ πλεονεκτικοῖς ὄμμασιν ἐποφθαλμίσαι τὴν τούτων καλλονὴν συγχωρήσῃς· μὴ γνώμην ἀλλοτριοπράγμονα καὶ περίεργον γλωττοδεύουσαν τὰ λεπτότατα τῶν προφάσεων καὶ προεξεγείρουσαν τὰ μὴ δίκης ἄξια, συμπονηρεύσασθαι καὶ διαταράξαι ἀνέξῃ τὰ δικαιώματα αὐτῶν· μὴ ἄνθρωπον σκοτεινὸν, καὶ συμβόλαια κακῶν ἐάσῃς ἔνδοθεν εἰσφθαρῆναι ταῖς τούτων ὑπηρεσίαις, ἢ ἔξωθεν ἐπιτεθῆναι πυκνότητι τρόπου τὰ ὀνυχιμαῖα τῶν πραγμάτων ἐγείροντα, ἀλλ' αὐτὸς, δέσποτα, διατείχισον αὐτὰ καὶ περιχαράκωσον τῇ κραταιᾷ σου

παλάμη, καὶ ἔστωσαν εἰς εὐλογίαν τοῦ ὀνόματός σου τοῦ ἁγίου· Ἀποχωρείτωσαν οὖν ταύτης τῆς ἱερᾶς τοῦ πτωχοτροφείου κτήσεως τῆς εἰς εὐαρέστησιν τῆς ὑπερκοσμίου σου δόξης συνισταμένης, καὶ τῆς ἐν αὐτῷ ἱερᾶς καὶ μοναχικῆς μάνδρας, καὶ τῶν προσκεκυρωμένων αὐτοῖς πάντων, καὶ βασιλεὺς ἅπας καὶ ἄρχων καὶ δυνάστης καὶ ὅσοι τοῦ ἱεροῦ βήματος καὶ τῆς ἀρχιερατικῆς τε καὶ ἱερατικῆς τάξεως, καὶ πᾶς τις τῶν ἐν πολιτικοῖς καὶ ἀρχιερατικοῖς ἀναστρεφομένων πράγμασιν, ὡς ἀνακειμένης θεῷ τῆς τοιαύτης ὁμοῦ πάσης κτήσεως ὡς ἀσυλίᾳ τετιμημένης. Καὶ ἐνορκῶ ὑμᾶς πάντας καὶ καταδεσμῶ ἐν κρίματι ἀσυμπαθήτῳ καὶ ἀδιαλλάκτῳ πρὸς τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, τοῦ μηδέν τι τῶν παρ' ἐμοῦ διατεταγμένων παρασαλεῦσαι, μηδὲ τὰ εὐαγῶς ἀφιερωθέντα καὶ ἀνατεθέντα θεῷ συγχύσει τινὶ καὶ ἀκοσμίᾳ περιβαλεῖν καὶ μεταποιῆσαι, καὶ ἀντὶ πενήτων καταλυτήριον ποιεῖν δυνατῶν ἀνδρῶν, ἄνευ τῶν εἰς πρόνοιαν αὐτῶν τετυπωμένων καὶ διοίκησιν τῶν ψυχικῶν καὶ παρ' ἐμοῦ λεχθησομένων· μὴ δέ τινος τῶν ἐν αὐτοῖς ἀφιερωθέντων παντοίων κτημάτων καὶ ἱερῶν κειμηλίων ἀφαίρεσιν τὴν οἱανοῦν ποιήσασθαι, μὴ δὲ ὑπὲρ δύναμιν καὶ πλεονασμὸν ἐπιθεῖναι ἐξόδων, ὡς ἂν μὴ ἐντεῦθεν στέρησιν ὑπομένοιεν καὶ εἰς ἀπορίαν περιενεχθεῖεν.

ΑΡΑ ΚΑΤΑ ΤΩΝ ΠΑΡΑΒΗΝΑΙ ΤΟΛΜΗΣΑΝΤΩΝ.

Εἰ δέ τις παρὰ τὰ διατεταγμένα παρ' ἐμοῦ ἐπιχειρήσει τι διαπράξασθαι, ἢ βασιλεύς, ἢ ἄρχων, εἴτε ἀρχόμενος, εἴτε ἀρχιερεύς, ἢ ἱερεύς, ἢ τὶ τῶν παρὰ τῆς ἐμῆς ἀρεσκείας ἐντεταλμένων παραβῆναι, ἢ ἐφορείαν ὅλως ἐν αὐτοῖς ἐνθυμηθῆναι, ἢ χαριστικάριον ἄλλον ἐπιστῆσαι, ἢ προνοητὴν ἐκτὸς ὧν ἐγὼ μνημονεύσω, ἢ ἀναφοράν, ἢ προχείρισιν προστασίας τινός· πάσης γὰρ ἐπισκοπῆς ὀρθοδόξων ὀφείλει μνημονεύειν ὁ τοῦ πτωχοτροφείου

Digitized by Google

τοῦ Παντοκτίρμονος ναός· καταραθείη ὁ τοιοῦτος ἀπὸ θεοῦ παντοκράτορος καὶ ἐκριζωθείη ἐξ ἀνθρώπων ἡ μνήμη αὐτοῦ καὶ καταλάβοι αὐτὸν πένθος καὶ οὐαί· καὶ προπορεύσοιτο αὐτοῦ θλῖψις, καὶ δοίη αὐτῷ κύριος ὁ θεὸς τὸν τρόμον τοῦ Κάϊν, τὴν λέπραν τοῦ Γιεζῆ, τὴν ἀγχόνην τοῦ Ἰούδα, καὶ λογισθείη ἡ μερὶς αὐτοῦ μετ' ἐκείνων τῶν εἰπόντων, ἆρον ἆρον, σταύρωσον τὸν τοῦ θεοῦ υἱόν· καὶ μὴ ἴδοι ἐπ' αὐτὸν ἐν ἐλέει ὁ παντέφορος ὀφθαλμὸς, ἀλλ' ἐξαλειφθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ, καὶ κυριευθείη ὑπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἀπαντήσοι αὐτῷ αἰώνιος τιμωρία.

ΕΥΧΗ ΤΩΝ ΜΗ ΠΑΡΑΒΗΝΑΙ ΤΟΛΜΗΣΑΝΤΩΝ.

Ὁ δὲ τοῖς παρ' ἡμῶν τετυπωμένοις ἐμμένων καὶ μηδέν τι τῶν καλῶς ἡμῖν διωρισμένων παρακινῶν, ἀλλὰ στέργων πᾶσι τοῖς δεδογμένοις, καὶ τετυπωμένοις, εὐλογηθείη ὁ τοιοῦτος ὑπὸ θεοῦ καὶ ἐπιτεύξοιτο πάντων τῶν καταθυμίων, πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν, καὶ τῆς ἐπουρανίου βασιλείας γένοιτο κληρονόμος, ὡς τὴν τοῦ θεοῦ κληρονομίαν διατηρήσας ἀδιαλώβητον. ἥτις δὴ κληρονομία οὔτε ὑπὸ βασιλικῆς ἐξουσίας, οὔτε σακέλλης βασιλικῆς ἢ πατριαρχικῆς, ἢ ἑτέρου σεκρέτου κοσμικοῦ τε καὶ ἱερατικοῦ, ἢ μητροπόλεως, ἢ ἐπισκοπῆς, ἢ ἄλλης τῆς οἱασοῦν ἀρχῆς κυριευθήσεται, ἢ ἀφαιρεθήσεται τινὶ τῶν ἁπάντων, ἢ λογοπραγηθήσεται, ἢ ἐφορασθήσεται, ὡς πόρρω πάντων ἀποδιοπομπουμένων αὐτῆς, τῷ τε τῶν νόμων κράτει οἳ βούλονται τὰς τῶν διατιθεμένων γνώμας πληροῦσθαι ἀδιαλωβήτους, καὶ τῇ ἡμετέρᾳ βουλήσει καὶ ταῖς φρικωδεστάταις ἀραῖς, καὶ τῷ τοῦ παντοδυνάμου θεοῦ μεγάλῳ καὶ ὑπερδυνάμῳ ὀνόματι, καὶ τῇ ἐκεῖθεν ἀπαραιτήτῳ πληγῇ τε καὶ μάστιγι· ἐπεὶ οὐδὲ κανών τις εὕρηται ἀλλοιοῦσθαι ἢ παρακινεῖσθαι ὅλως διαταττόμενος τὰς τῶν κτητόρων διατάξεις.

Digitized by Google

ΠΕΡΙ ΠΡΟΝΟΗΤΩΝ ΚΑΙ ΔΙΑΔΟΧΩΝ.

Ἐπειδὴ δὲ ὥσπερ τῆς ἐπουρανίου δόξης λειτουργοὶ ἀναλόγως παρὰ τῆς τριλαμποῦς θεότητος ἐπέστησαν ἄνωθεν, οὕτω δεῖ καὶ τῆς εὐτελοῦς ταύτης καὶ ἐγκοσμίου κληρονομίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν λειτουργοὺς καὶ κληρονόμους ἀμετακινήτους μετὰ ἰσχυρᾶς τῆς δικαιώσεως καὶ ἀσφαλοῦς τοῦ προνομίου ἐπιστῆναι τῆς γνησιότητος, ἐνίστημι μετὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεὸν κληρονόμον καὶ κύριον καὶ διοικητὴν ἀλογοθέτητον καὶ πᾶσι τρόποις ἀμετακίνητον τῆς θείας ταύτης κληρονομίας τὸν περιπόθητον καὶ γνήσιόν μου υἱὸν τὸν μυστογράφον καὶ βασιλικὸν νοτάριον κυρὸν Θεόδωρον, καὶ τοὺς καθεξῆς ἐκ τῆς ὀσφύος αὐτοῦ προενηνεγμένους παῖδας καὶ ἐγγόνους καὶ δισεγγόνους, καὶ τὴν ἐφεξῆς διαδοχὴν εἰς ἀπέραντον. Μετὰ δὲ παρέλευσιν τοῦ υἱοῦ μου οὐκ ἀθρόοι πάντες οἱ παῖδες αὐτοῦ ἢ ἔγγονοι καὶ λοιποὶ τοῦ πτωχοτροφείου μου ἐπιλήψονται, ἀλλ᾽ εἷς μόνος ἐξ αὐτῶν· προτιμηθήσεται γὰρ τῶν μὲν γυναικῶν ὁ ἀνήρ, τῶν δὲ ἀνδρῶν ὁ πρεσβύτερος ἐν ἡλικίᾳ καὶ λόγῳ διαφέρων καὶ βίου χρηστότητι· εἰ δὲ οὗτος εὑρεθείη κακοῦ βίου καὶ λυμαντικός, ἢ παρακρατῶν ψυχικόν, ἢ ρόγαν, ἢ ἐτήσιον τινός, ἢ φωταψίαν ἐκκλησίας, ἢ παραμελῶν τῆς ἀνοικοδομῆς καὶ περιποιήσεως καὶ διεκδικήσεως τῶν οἰκημάτων καὶ κτημάτων, καὶ εἰς διόρθωσιν μετὰ τοὺς ἐλέγχους καὶ ἐπιφωνήσεις οὐ μεταβαίνει, ἵνα προτιμᾶται ἕτερος ἀδελφὸς αὐτοῦ γνήσιος ὁ ὑπερέχων ἐν ἀρετῇ καὶ βίου λαμπρότητι· ἐπιλειπόντων δὲ υἱῶν, ἢ γοῦν ἀῤῥένων παίδων, τότε ἵνα καὶ τὸ θῆλυ κατὰ τὸν τοιοῦτον σκοπὸν ἀπαντᾷ πρὸς διαδοχήν· πάντως γὰρ εἴτε δι᾽ ὁμοζύγου εἴτε διὰ παίδων εἴτε δι᾽ ὑπηρετῶν τὰ τοιαῦτα καλῶς διοικεῖν οὐκ ἀφέξεται· εἰ δὲ καὶ παῖδες οὐκ εἰσί, ἔγγονος κατὰ τὴν τοιαύτην τάξιν καὶ δισέγγονος βληθήσεται καὶ ἐφ᾽ ἑξῆς κατὰ τοὺς βαθμοὺς τῆς

Digitized by Google

προγενεσίας καὶ τὰς ἀμώμους ὑπολήψεις καὶ τὰς τοῦ βίου λαμπρότητας· μὴ ἔχῃ δὲ κἂν εἰς ἐξουσίαν εἰς γαμικὸν σύμφωνον ὑποτιθέναι τὸ τοιοῦτον εὐαγὲς πτωχοτροφεῖον ἕνεκεν δεσποτείας τινὸς ἢ μεταμείψεως· ἀλλ' ὥςτε διοικεῖσθαι αὐτὸ κατὰ τὴν τοῦ τυπικοῦ μου περίληψιν, καὶ τελεῖσθαι πάντα τὰ ψυχικὰ ἀνελλιπῶς· ἀλλ' οὔτε τι τῶν ἀφιερωθέντων αὐτῷ κληροδοτεῖν, ἢ εἰς ἐγγύην ὑποτιθέναι, ἢ εἰς ἄλλην τινὰ ἐνοχὴν ἰδιωτικήν τε καὶ δημοσιακήν· ἀλλ' εἰ τοιοῦτόν τι ποιήσει εἰς ἀπόκτησιν δηλονότι ἢ μετάμειψιν ἀφορῶν, ἀντ' οὐδενὸς τὸ γενησόμενον λογισθήσεται· τὸ γὰρ ἅπαξ ἀφιερωθὲν τῷ θεῷ οὐ κοινοῦται· καὶ μᾶλλον ὅτι θεοῦ κληρονομία τοῦτο ἐλογίσθη καὶ αὐτῷ ἀνετέθη διὰ τῆς εἰς τοὺς πένητας ἀγαθοεργίας, καὶ τῆς χριστιανικωτάτης καὶ εὐσεβοῦς παραδόσεως· ὅμως μέντοι οὐδὲ ὁ τοῦτο τολμήσων ἀνεύθυνος συντηρηθήσεται, ἀλλ' ἐκδιωχθήσεται τῆς ἐφορείας, καὶ κυριότητος, καὶ προνοίας αὐτοῦ, εἰ μὴ ἕτοιμός ἐστι τὴν διόρθωσιν ἐξ ἀναγκαίου ποιήσασθαι, καὶ ἕτερος αὐτὸ διαδέξεται προβαθμιώτερος συγγενής, μεμαρτυρημένος ἐπὶ εὐλαβείᾳ καὶ φόβῳ θεοῦ, καὶ κατατιθέμενος πάντα ποιεῖν κατὰ τὴν ἡμετέραν διάταξιν. Ἐπὶ δὲ τοῦ υἱοῦ μου κυροῦ Θεοδώρου οὐχ ἕξει ὅλως χώραν ἀπέλασις, ἀλλ' ἡ διόρθωσις παρ' αὐτοῦ ἠρέμα καὶ εὐθυβόλως γενήσεται. Συγγενεῖς δὲ ἐκεῖνοι τοῦ δικαίου τῆς κυριότητος ἀνθέξονται, οἱ ἐξ ἐμοῦ καὶ τοῦ υἱοῦ μου κατιόντες καὶ καθεξῆς εἰς ἀπέραντον· ἀπὸ δὲ τῶν ἐκ πλαγίου συγγενῶν μου, οὐδὲ εἷς ἕξει τινὰ μετουσίαν ἐν τῷ τοιούτῳ μου πτωχοτροφείῳ, ἢ ἐφορείαν, ἢ τινα ἐξουσίαν τὸ σύνολον· εἰμὴ μόνον δι' εὐσέβειαν βούληται ὑπομιμνήσκειν πρὸς τὸ τελεῖσθαι πάντα κατὰ τὴν ἐμὴν διάταξιν.

Ἐπειδὴ δὲ τῆς εὐσεβείας λόγος ἡμῖν οὐ βραχὺς, διὰ φροντίδος ἐποιησάμεθα ὑμνοπόλους ἐπιστῆσαι τῷ θείῳ τοῦ Πανοικτίρμονος ναῷ· καὶ ἔμελλον ἐκ τῶν κοσμικῶν ἱερέων καταπληρῶσαι εἰς τοῦτο δοξολογίας τινάς· ἀλλ' ἵνα ἐν τῷ τοιούτῳ πτωχοτροφείῳ καὶ οἱ τὴν μοναχικὴν πολιτείαν ἐπανῃρημένοι λιμε-

νεύωνται, τετύπωκα τούτους εἶναι μοναχούς, κελλία τούτοις ἀποτεμόμενος ἐντὸς τοῦ ἐν τῇ θεοφυλάκτῳ πόλει εὐαγοῦς τοῦ εἰρημένου πτωχοτροφικοῦ οἴκου· καὶ τάξας αὐτοῖς τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια, ἐφ' ᾧπερ ἐπιμελῶς ἐπαγρυπνεῖν τῇ τῆς ἐκκλησίας δοξολογίᾳ καὶ λειτουργίᾳ, καὶ συναγωνίζεσθαι τῷ κληρονόμῳ μου εἰς τὰ ψυχικὰ καὶ ὑπηρετεῖν τοῖς ἀνήκουσι πᾶσιν εἰς τὴν τοῦ πτωχοτροφείου ὠφέλειαν, καὶ ὑπομιμνήσκειν αὐτὸν, ἵνα ἀπαραλείπτως πάντα τὰ παρ' ἐμοῦ διατεταγμένα γίνωνται· καθεξῆς δὲ λεχθήσεται καὶ ὁ ἀριθμὸς τῶν τοιούτων μοναχῶν. Προεχειρισάμην γὰρ καὶ οἰκονόμον καὶ ἐκκλησιάρχην ἐπ' αὐτοῖς, ἵνα οἱ μὲν πρὸς τὸν κληρονόμον μου ἀναφέρωσιν ἅπαντα, οἱ δὲ λοιποὶ μοναχοὶ παρὰ τοῦ οἰκονόμου διακυβερνῶνται καὶ ὑπαλείφωνται τὰ πρὸς ἀρετήν· ὁ δ' ἐκκλησιάρχης τοῖς τῇ ἐκκλησίᾳ ἀνήκουσι, κατὰ τὸ δέον ἐπιστατεῖ, τῷ κληρονόμῳ μου πᾶσαν αἰδῶ καὶ ὑποταγὴν καὶ τιμὴν καὶ πειθῶ ἀπονέμοντες· πάντες δὲ ὁμοῦ οἱ μοναχοὶ τῷ κληρονόμῳ μου, ὃς καὶ πτωχοτρόφος ὀφείλει καλεῖσθαι, ὑποτασσόμενοι καὶ ὑπείκοντες ἔσονται, ὡς ἐφόρῳ καὶ διοικητῇ καὶ κυρίῳ τοῦ σεβασμίου τουτουὶ οἴκου τοῦ τε ἐν τῇ Ραιδεστῷ καὶ τοῦ ἐν τῇ πόλει· ἕνα δὲ τοὺς τοιούτους λογίζομαι καὶ ὡς περὶ ἑνὸς διατάττομαι· ἀποβλέποντες πρὸς αὐτὸν ὡς εἰς ἀρχὴν ἐπιεικῆ καὶ φιλόθεον. Ἐπειδὴ δὲ ἐν τῷ τῆς πόλεως οἴκῳ καὶ μοναχοὺς εὐλαβεῖς, ὡς εἴρηται, ἐγκατέστησα, κα θεῷ καὶ ἐμοὶ κατὰ τὴν ἀγγελικὴν πολιτείαν ἀρέσκοντας, τυπῶ ἵνα τὸ μὲν ὄνομα τοῦ πτωχοτροφείου ἐξῃρημένον ἔχῃ ὁ οἶκος τῆς Ραιδεστοῦ, συνεφέλκον εἰς τοῦτο καὶ τὸν οἶκον τῆς πόλεως· ὁ δὲ ἐν τῇ πόλει, ἐπεὶ καὶ μοναχῶν καταγώγιον γέγονε, καλεῖται μοναστήριον τοῦ πτωχοτροφείου τοῦ Πανοικτίρμονος· ἀμφότεροι δὲ οἱ οἶκοι πτωχοτροφεῖον ἐν τῆς Ραιδεστοῦ.

Εἰ δὲ ἴσως ἐπιλείψει κατὰ σειρὰν τῶν κατιόντων ἡ γενεά, ὡς ἄνωθεν διελάβομεν, τότε ὁ ἔχων εὑρεθῆναι οἰκονόμος, αὐτόθεν εἰς τὸν τῆς ἡγουμενείας ἀναβιβάζηται βαθμὸν, καὶ ὑπάρχῃ

ἡγούμενος ἐν αὐτεξουσίῳ πτωχοτροφείῳ καὶ μοναστηρίῳ τούτῳ τοῦ Πανοικτίρμονος· ἀπὸ δὲ τῶν ἐκ πλαγίου συγγενῶν μου ὁ ἀρετῇ διαλάμπων καὶ προβαθμιώτερος καὶ βίῳ σώφρονι, καὶ εἰς γνῶσιν προενηνεγμένος, διαδέχηται τὴν ἐφορείαν, καὶ συνδιοικῇ μετὰ τοῦ ἡγουμένου καὶ τῶν μοναχῶν πάντα τὰ ψυχικὰ ἀνενδεῶς, μηδὲν νοσφιζόμενος ἐκεῖθεν ἢ λαμβάνων, εἰ μὴ δύο μοναχῶν χρείαν· καὶ κριθῆς μοδίους ἑκατὸν πεντήκοντα· τῶν γὰρ περιττευόντων μετὰ τὰς τυπικὰς διαδόσεις καὶ ἐξόδους, τὰ μὲν ἡμίση ἵνα ἀποτίθενται εἰς τὸ τοῦ πτωχοτροφείου μοναστήριον δι' ἀναγκαίας αἰτίας, τὰ δὲ λοιπὰ διανέμωνται τοῖς ἐν Χριστῷ ἀδελφοῖς μου τοῖς δεομένοις· καὶ ἔκτοτε ᾖ τὸ μοναστήριον τῷ πτωχοτροφείῳ μου συνυπαγόμενον· τὸ γὰρ τῆς Ραιδεστοῦ πτωχοτροφεῖον συνηνωμένον τούτῳ ἐστιν ἐκ τῆς προηγησαμένης συγγραφῆς ἐν τῇ τοιαύτῃ μου διαταγῇ· καὶ ἀμφοτέρων τῶν εὐαγῶν οἴκων τοῦ τε ἐκτὸς καὶ τοῦ συγκεκραμένου τῷ μοναστηρίῳ ἵνα τελῶνται τὰ ψυχικὰ κατὰ τὸ ἀνενδεὲς παρά τε τοῦ καθηγουμένου καὶ τῶν μοναχῶν καὶ τοῦ κατὰ γένος προσήκοντός μοι καὶ τῆς ἐφορείας λογισθέντος ἀξίου δι' ὧν δεδήλωκα τρόπων· ἕως δὲ ὁ υἱός μου περιῇ καὶ οἱ ἐκ τῆς ὀσφύος αὐτοῦ κληρονόμοι καὶ καθεξῆς εἰς ἀπέραντον, αὐτὸς κἀκεῖνοι πρωτεύοντες ἔσονται πάντων καὶ τῶν ψυχικῶν καὶ τῶν εὐαγῶν οἴκων, καὶ οἱ μοναχοὶ τῷ τούτων θελήματι συνυπαχθήσονται, εὐσεβῶς ἔχοντι καὶ κατὰ τὴν διάταξίν μου ῥυθμιζομένῳ· οὐδὲν δὲ πρᾶγμα οὐδὲ μοναστήριον καλοῖτο καὶ νῦν τὸ ἐγκατοικιζόμενον τοῖς μοναχοῖς μέρος τοῦ ἐν τῇ πόλει πτωχοτροφείου μου· τὸ μὲν γὰρ ἅπαν τῆς προσαγωγῆς τῶν τε κινητῶν καὶ ἀκινήτων, τῷ παρ' ἐμοῦ συστάντι πτωχοτροφείῳ ἐγκαθιέρωται· τὸ δ' ἐντὸς τοῦ τῆς πόλεως πτωχοτροφείου τουτὶ μοναστήριον ὑπ' αὐτῷ ἔσται· καὶ λήψονται οἱ μοναχοὶ ἐκεῖθεν παρὰ τοῦ κληρονόμου μου καὶ πτωχοτρόφου τὰ τετυπωμένα τούτοις ἐτήσια καὶ ὅσα ἕτερα καθεξῆς δηλώσω, τὰ πρέποντα

τῇ μοναχικῇ πολιτείᾳ μετερχόμενοι· ἐν παντὶ δὲ καιρῷ καὶ χρόνῳ καὶ πάσῃ διαιτήσει καὶ διοικήσει, βούλομαι εἶναι τὰ τοιαῦτα εὐαγῆ τό τε πτωχοτροφεῖον καὶ τὸ ὑπ' αὐτὸ μοναστήριον αὐτοδέσποτα καὶ αὐτεξούσια· καὶ περιόντος μὲν ἀπὸ τῆς γενεᾶς μου τοῦ τὴν ἐφορείαν αὐτῶν ἔχοντος, ἵνα διοικῶνται παρ' αὐτοῦ καὶ τῶν λογάδων μοναχῶν ὡς προείρηται· πλέον δὲ εἰπεῖν καὶ τοῦ καθηγουμένου, ὅταν ἡ τῆς ἡγουμενείας ἀρχὴ χώραν λάβοι παρερχομένης τῆς ἐκ τῶν κατιόντων μου γενεᾶς ἁπάσης ὡς προδιείληπται· ἀπορίᾳ δὲ καὶ ἐρημίᾳ συγγενικοῦ μου κληρονόμου, τότε τῷ δικαίῳ τῆς αὐτεξουσιότητος καὶ αὐτοδεσπότου προνομίας, διοικῶνται πάντα καὶ καταρτίζωνται καὶ διεξάγωνται παρά τε τοῦ καθηγουμένου καὶ τοῦ οἰκονόμου μου καὶ τῶν λοιπῶν μοναχῶν κατὰ τὴν περίληψιν τοῦ τυπικοῦ μου ἀνενδεῶς, τῶν ψυχικῶν ἐξ ἅπαντος τρόπου μηδὲ κατὰ βραχὺ καθυστερούντων· οὔτε γὰρ βασιλικοῖς δικαίοις οὔτε πατριαρχικοῖς, ἢ βασιλικῇ σακέλλῃ ἢ πατριαρχικῇ ἢ ἑτέρῳ τινὶ σεκρέτῳ κοσμικῷ τε ἢ ἐκκλησιαστικῷ, ἢ μητροπόλει ἢ ἐπισκοπῇ, ἢ ἄλλῳ τινὶ τῶν ἁπάντων προσκυροῦσθαι τὸ τοιοῦτόν μου πτωχοτροφεῖον καὶ τὸ μοναστήριον ἢ ὑποκεῖσθαι βούλομαι· ἀλλὰ κύριον καὶ δεσπότην τούτων εἶναι καὶ ἔφορον καὶ συνοχέα καὶ κτήτορα ὡς ἀληθῶς καθὼς προδιείληπται τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐκ παρθένου τεχθέντα σὺν τῷ ὁμοουσίῳ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι, καὶ σκέπην καὶ ἀντίληψιν καὶ προστασίαν κεκτῆσθαι μετὰ θεὸν, τὴν ὑπεράχραντον δέσποιναν ἡμῶν καὶ Θεοτόκον, καὶ τὸν μέγαν ἀρχιστράτηγον τῶν οὐρανίων δυνάμεων Μιχαὴλ, καὶ τὸν τίμιον Πρόδρομον. Ἐπειδὴ γὰρ ὁ πάντων κύριος καὶ δημιουργὸς αὐτὸς παρ' ἐμοῦ τοῦ ἀναξίου ἐπικέκληται κύριος τῆς εὐτελοῦς μου ταύτης προσαγωγῆς, εὔδηλον, ὅτι καὶ οὗτοι καὶ πάντες οἱ λοιποὶ ἅγιοι τῇ ἐπισκέψει τούτου συγκαταλέγονται· καὶ οὐδείς ἐστι λοιπὸν ὁ παραχαράξων ἢ μετακινήσων τι τῶν παρ' ἐμοῦ διωρισμένων, ἢ ἐκκόψων τὰ ψυχικὰ μερικῶς ἢ καθόλου, εἰ μὴ

Digitized by Google

ἀσεβής ἐστι καὶ ἐχθρὸς τοῦ θεοῦ προφανὴς καὶ μισάνθρωπος, καὶ τῷ φιλανθρώπῳ καὶ φιλευσπλάγχνῳ θεῷ ἀντίθεος· οὐδενὶ γὰρ τῶν πάντων, φησὶ ἡ θεία Γραφὴ, ὡς ἐλέῳ θεὸς θεραπεύεται· καὶ αὖθις ὁ θεῖος νόμος τῶν ἐντολῶν, ὅτι οὐ προσθήσεις ἐπ' αὐτοῖς καὶ ἀφέλῃς ἀπ' αὐτῶν.

Ἔσται οὖν προσκεκυρωμένα τῷ πτωχοτροφείῳ μου εἰς κληρονομίαν τοῦ ἐν τριάδι ὑμνουμένου καὶ δοξαζομένου θεοῦ ταῦτα· τὸ πρατόν μου τοῦ Σελοκάκα σὺν τῷ Μακρῷ Χωρίῳ· τὸ πρατόν μου τοῦ Βαβούλου ἤτοι τοῦ Λιβός· τὸ πρατόν μου ἡ ἁγία Μυρόπη ἤτοι τὸ Μονοκέλλιον· τὸ πρατόν μου τοῦ Συμεωνίου· καὶ ἀπὸ τῶν ἐν τῷ Μεσοχωμίῳ προαστείων μου, ἓν ὅπερ ἀπὸ τῆς ἀνεψιᾶς τοῦ πατρικίου κυροῦ Βασιλείου τοῦ Σκρίβα ἐξωνησάμην· ἡ αὐλὴ τοῦ Μεταξᾶ· ἡ αὐλὴ τοῦ Ἀρκολύκη σὺν τοῖς ἀπὸ ἀνταλλαγῆς τῆς ἁγίας Σοφίας περιελθοῦσιν οἰκήμασι· καὶ ἡ αὐλὴ τοῦ Κεντάρχου, μετὰ τῶν ἐν αὐταῖς οἰκημάτων πάντων· πρὸς τούτοις καὶ τὰ ἡμίση τῶν ἐν Σηλυβρίᾳ ἐνοικικῶν μου καὶ τὰ ἡμίση τῶν ἐκτὸς τῆς δυτικῆς πόρτης τοῦ κάστρου Ραιδεστοῦ ἕτερα ἐνοικικά μου, ἅπερ ἐν τῷ ἐξωνηθέντι μοι ἀπὸ τοῦ δημοσίου ἐρειπίῳ τόπῳ ἐπέκτισα, ἀδιαιρέτως τῶν τοιούτων ἡμίσεων ἐνοικικῶν προσκεκυρωμένων ὄντων. Ταῦτα τοίνυν τὰ ἀκίνητά μου ὅσα δὴ ἐμνημόνευσα, ἀπεντεῦθεν ἤδη προσκυρῶ τῇ κληρονομίᾳ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐκ παρθένου τεχθέντος, ἤτοι τῷ πτωχοτροφείῳ μου ὥσπερ δὴ καὶ τὸ μοναστήριον· ὀφείλουσι δὲ εἶναι προσκεκυρωμένα τούτοις καὶ τὸ μαγκιπικὸν ἐργαστήριον τῆς πόλεως, τὸ συνημμένον τῷ ἐν τῇ θεοφυλάκτῳ πόλει πτωχοτροφείῳ μου τὸ ἔχον ἐνοίκιον νομίσματα εἴκοσι τέσσαρα· καὶ τὸ μυρεψικὸν ἐργαστήριον τὸ ἔχον ἐνοίκιον νομ. ιδ'. καὶ τὰ ἐνοικικὰ οἰκήματα τὰ διακρατούμενα παρὰ Θεοδώρου τοῦ ἰατροῦ, εἰς ἐνοίκιον νομ. ε'. Προσαφιερῶ δὲ τούτοις καὶ τὰ ἡμίση δίκαια τοῦ οἴκου μου τοῦ γεγονότος Θωμᾶ πρωτοσπαθάρη τοῦ

Νικαέως, ὥς τε ἀπὸ τῶν τριάκοντα καὶ ἓξ νομισμάτων τοῦ ἐνοικίου αὐτοῦ λαμβάνειν νομίσματα ιη΄, ὡς τῶν ἑτέρων ιη΄, ὀφειλόντων κατακενοῦσθαι τῶν μὲν ὀκτὼ εἰς ῥόγαν τῶν κληρικῶν τοῦ ἁγίου Γεωργίου τοῦ Κυπαρισσίου ὑπὲρ τοῦ διαφέροντος ἡμῖν τάφου, ὃν καὶ αὐτὸν εἰς κληρονόμους μου καταλιμπάνω· τῶν δὲ δέκα ἐξαναλοῦσθαι εἰς τὰ μνημόσυνα ἐμοῦ τε καὶ τῶν δύο μου συνεύνων, τῆς τε κυρᾶς Σοφίας καὶ τῆς κυρᾶς Εἰρήνης καὶ τῶν γονέων μου Εἰρηνικοῦ καὶ Καλῆς. Ὅσα δὲ ἀκίνητα καταλείψω τῷ υἱῷ μου τῷ μυστογράφῳ κυρῷ Θεοδώρῳ, ὀφείλουσιν εἶναι ἀνεκποίητα εἰς γενεὰν παρ' αὐτῷ τε καὶ τοῖς κατιοῦσιν αὐτοῦ καὶ καθεξῆς εἰς τοὺς μετ' αὐτοὺς καὶ εἰς τοὺς μετ' ἐκείνους, ἕως οὗ δηλονότι συνίσταται καὶ διαρκεῖ ἡ γενεὰ ἡμῶν, καὶ προέρχεσθαι εἰ τὰς τούτων συγγενικὰς διαδοχὰς ἀκωλύτως, καὶ εἰσοδιάζεσθαι αὐτοῖς ἐξαιρέτως τὰς προσόδους αὐτῶν, ἐπαπολαύειν δὲ καὶ τῆς ἐκ τοῦ βασιλικοῦ χρυσοβούλλου ἐξκουσσείας, ἐπειδὴ κοινῶς εἰς πάντα τὰ κτήματά μου γέγονεν ὅπου ἂν ὦσιν, εἴτε εἰς εὐαγεῖς οἴκους, εἴτε εἰς ἰδωτικὰ πρόσωπα, μερικῶς ἢ καθόλου, ἢ μεμερισμένως, κἂν εἰς ἐπίδοσιν καὶ αὔξησιν προχωροῖεν. Ἐὰν δὲ ἐπιλείψῃ ἡ ἐκ τοῦ γένους διαδοχή, ἵνα μὴ μετέρχωνται εἰς ἀλλότριον καὶ ἐξωτικὸν πρόσωπον, ἀλλ' ἐπανέρχωνται εἰς τὸ πτωχοτροφεῖόν μου καὶ τὸ μοναστήριον, ἐξαιρέτως ὁ μικρὸς οἶκος, ὃν ἀπὸ τῆς πρωτοσπαθαρίσσης κυρᾶς Εὐφροσύνης ἐξωνησάμην· ὑπὸ αἵρεσιν γὰρ παιδοποιΐας τὰ τοιαῦτα τοῖς κληρονόμοις μου εἰς ἀπέραντον κατακεκλήρωνται, καὶ διὰ τοῦτο οὐδὲ δημοσιακὸν ὄφλημα χώραν ἕξει κατ' αὐτῶν ὡς προδεδεσμημένων τῇ τοιαύτῃ αἱρέσει· εἰ δὲ εἰς προῖκα ἢ προγάμου δωρεὰν, εἴτε ὁ υἱός μου ἄπαις τελευτῶν, εἴτε οἱ ἐξ αὐτοῦ κατιόντες καὶ οἱ ἐφεξῆς διόλου ἐναχθῶσιν, ἵνα ὑπόκεινται ἀντὶ μόνων λιτρῶν τεσσαρακονταπέντε, καὶ παρέχωνται τὸ τοιοῦτον χρυσίον παρὰ τοῦ πτωχοτροφείου μου καὶ τοῦ μοναστηρίου, καὶ ἀναλαμβάνωνται ταῦτα καὶ ὦσι προσκεκυρωμένα

Digitized by Google

τούτοις παρωμοιωμένως καὶ ὁμοιοτρόπως τοῖς προαφιερωθεῖσιν ἀκινήτοις ἑτέροις· εἰ δὲ διάθωνται ἐπὶ τοῖς καταλειφθησομένοις αὐτοῖς ἀκινήτοις εἰς ἑτέρας αἰτίας λεγάτα τυχὸν ἢ ψυχικὰ, ἢ πρεσβεῖα, ἵνα κρατῇ ἡ διαθήκη αὐτῶν ἐπὶ μόναις τριάκοντα λίτραις· εἰ δὲ εἰς διαφόρους κληρονόμους μερισθῶσι τὰ κτήματα, ἵνα κατὰ ἀναλογίαν καὶ ἡ ἀπὸ τῶν εὐαγῶν ἐπιγίνηται δόσις καὶ ἐπανέρχηται πάλιν ἡ κτῆσις εἰς αὐτούς. Ὅμως ἔσονται τὰ ἐπ' αὐτοῖς καθὼς ἂν ἐν τῇ τελευταίᾳ βουλήσει μου διάθωμαι. Τὰ δὲ λοιπὰ κτήματά μου τοῦ Μεσοχωμίου, ἐκτὸς τοῦ Σκρίβα, ὡς ἂν περιέλθωσι τῷ τε υἱῷ μου καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ λοιποῖς διαδόχοις, εἴτε ἐγγράφως, ἢ ἐξ ἀδιαθέτου, ἵνα ἔχωσι τελείαν ἐξουσίαν ἐπ' αὐτοῖς, ὡς βούλονται ὅ τε ὁ υἱός μου καὶ οἱ κληρονόμοι αὐτοῦ, εἰς ἀπέραντον· ὡσαύτως δὲ καὶ τὰ ἡμίση τῶν ἐν Σηλυβρίᾳ ἐνοικικῶν μου, καὶ τῶν ἐκτὸς τῆς δυτικῆς πόρτης τῆς Ραιδεστοῦ, πλὴν τοῦ ἐκποιεῖσθαι τὰ τοιαῦτα ἐνοικικά, καθ' οἱανδήτινα ἐκποίησιν εἰς ἕτερον πρόσωπον, ἀλλ' εἰς τὸ πτωχοτροφεῖον καὶ τὸ μοναστήριόν μου ἢ πωλεῖν ἢ καθιεροῦν.

Οὕτως οὖν τὸ περὶ τῶν ἀφιερωμένων διεξελθόντες, εἴπωμεν λοιπὸν καὶ περὶ τῶν ὀφειλόντων τελεῖσθαι ἐπ' αὐτοῖς. Καὶ πρῶτον μὲν περὶ τῆς εἰς τοὺς πένητας διαδόσεως· διορίζομαι οὖν ἵνα ἐν τῷ πυλῶνι τοῦ τῆς πόλεως εὐαγοῦς οἴκου τοῦ πτωχοτροφείου, ἐν ᾧ καὶ τὸ μοναστήριον, παρέχηται καθ' ἑκάστην κυριακὴν τοῖς ἐν Χριστῷ ἀδελφοῖς μου τοῖς δεομένοις ψωμίον μοδίου μεγάλου ἑνός· ἐσθίωσι δὲ καὶ ἐν τραπέζῃ καθ' ἑκάστην ἡμέραν ἓξ πένητες, λαμβάνοντες ἀνὰ τρύφος ψωμοῦ, καὶ ὑπὲρ προσφαγίου ἔχωσιν εἴτε κρέας, εἴτε ἰχθύας, ἢ τυρὸν, ἢ ὄσπριον, ἢ λάχανον ἑψημένον, ἢ ἕτερον ὅπερ ἂν ὁ Θεὸς πέμψῃ· κομίζηται δὲ ἕκαστος τούτων καὶ ἀνὰ φόλλεις τέσσαρας· καὶ ἁπλῶς οὕτως ἵνα τελῶνται τὰ ἐπ' αὐτῶν ὥς περ καὶ ἐπ' ἐμοῦ ἐγίνετο. Τυπῶ δὲ διαδίδοσθαι καὶ διὰ σίτου μοδίους διακοσίους

Digitized by Google

δέκα ἓξ εἰς ἀνθρώπους δυστυχεῖς καὶ χήρας, ἢ καὶ γέροντας ἐλέου ἀξίους, ἤγουν ἀνὰ μοδίους ιβ΄. Ἀννονικούς· δέκα γὰρ καὶ ὀκτὼ συναριθμοῦνται οἱ τὸν τοιοῦτον σίτον λαμβάνειν ὀφείλοντες. Τὰ δὲ ἐν τῷ οἴκῳ τοῦ πτωχοτροφείου τῆς Ραιδεστοῦ δίδοσθαι ὀφείλοντα ἐτησίως, εἰσὶν οὕτως· ἵνα λαμβάνῃ ἡ μονὴ τοῦ ἁγίου Νικολάου τοῦ Φάλκωνος νομίσματα τρία· ἡ μονὴ τοῦ ἁγίου Γεωργίου, ἣν ἔχω ἐπὶ δυσὶ προσώποις εἰς χαριστικὴν, ἡ κειμένη ἔξωθεν τῆς δυτικῆς πόρτης τοῦ κάστρου Ραιδεστοῦ, ἧς δεύτερον πρόσωπον ἀφίω τὸν υἱόν μου τὸν μυστογράφον κυρὸν Θεόδωρον, νομ. τρία· ἡ γυναικεία μονὴ τοῦ ἁγίου Προκοπίου ἡ ἐκτὸς τῆς δυτικῆς πόρτης τοῦ αἰγιαλοῦ διακειμένη, ἧς δεύτερον πρόσωπον ἐστιν ὁ υἱός μου ὡς ἀπὸ τοῦ πρώην χαριστικαρίου Βάρδα τοῦ Ξηράδα, ἡ καταλυθεῖσα μὲν παρὰ τῶν ἀποστατῶν, ἀνοικοδομηθεῖσα δὲ παρ' ἐμοῦ, νομ. δύο· ἡ μονὴ τῆς ὑπεραγίας Θεοτόκου τῆς Δάφνης νομ. δύο. Ταῦτα γὰρ τὰ μοναστήρια οἶδα χρήζοντα ἐλέους διὰ τὸ πάντη τούτων ἀνείσφορον· καὶ τυπῶ ταῦτα λαμβάνειν ἀπὸ τῆς προσόδου τῶν αὐλῶν τῶν ὑπὸ τὸ πτωχοτροφεῖόν μου τὰ εἰρημένα ἐτήσια, τοῖς μοναχοῖς διαμερίζεσθαι ὀφείλοντα ἀκαινοτομήτως τῶν τοιούτων μοναστηρίων, καὶ ἵνα ἐγγράψωσιν ἐν τοῖς ἱεροῖς διπτύχοις αὐτῶν τὸ ὄνομά μου καὶ μνημονεύωμαι ἐν αὐτοῖς διηνεκῶς· ποιῶσι δὲ καὶ τρισάγιον καθ' ἑκάστην μετὰ τὴν ἑωθινὴν δοξολογίαν ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ· ἵνα δὲ λαμβάνῃ καὶ ὁ ναὸς τοῦ τιμίου Προδρόμου ὁ ἐν τῇ δυτικῇ πόρτῃ τῆς Ραιδεστοῦ νόμισμα ἓν τραχὺ καὶ ὁ ναὸς τῆς ὑπεραγίας Θεοτόκου τῆς Ἐλεούσης νόμ. ἕν, καὶ ὁ ναὸς τοῦ Ἀρχιστρατήγου, ἐν ᾧ ποτε λέγεται ἱδρύσθαι τὴν ἐπισκοπὴν, νόμ. ἕν. Τούτων δὲ πάντων παροχεὺς ἔσται καὶ διανεμητὴς καὶ προνοητὴς μετὰ θεὸν καὶ κύριος ὅ τε μυστογράφος κυρὸς Θεόδωρος ὁ γνήσιός μου υἱὸς καὶ οἱ καθεξῆς ἀπὸ τοῦ γένους ἡμῶν διάδοχοι. Θέλω δὲ καὶ ὁρίζω, ἵνα, εἰ μὴ φθάσω ἐγὼ ποιεῖν κυκλίον ἐν τῷ ἔξω μέρει τοῦ οἴκου μου τῆς Ραιδεστοῦ εἰς

Digitized by Google

ἀνάπαυσιν τῶν κατ' εὐσέβειαν τοῖς ἁγίοις τόποις προσερχομένων καὶ λοιπῶν πενήτων ξένων, γένηται παρὰ τῶν προεστώτων τῶν τοιούτων εὐαγῶν μου οἴκων ἐν τῷ τέλει τῆς αὐλῆς μου πρὸς τῇ δημοσίᾳ ὁδῷ, καὶ κατασκευασθῶσιν ἀναπαυστῆρες καὶ ἐπαναπαύωνται ἐκεῖσε, καὶ δίδωται ἑκάστης ἑβδομάδος ψωμίον μοδίων δύο Ἀννονικῶν, καὶ οἴνου μέτρον ἕν· δίδοσθαι δὲ καὶ δώδεκα ἐν Χριστῷ ἀδελφοῖς γέρουσιν ἀδυνάτοις καὶ ἀναπήροις καὶ ἐνδεέσιν ἑκάστῳ χρόνῳ ἐν τῷ καιρῷ τῶν μνημοσύνων μου, ἀνὰ νόμ. ἕν, καὶ ἀνὰ σίτου μοδίους ἓξ Ἀννονικούς· γίνεσθαι δὲ ὁρίζω καὶ ἐν τῷ καιρῷ τῶν μνημοσύνων μου παραστάσιμον ψαλλόντων, καὶ διάδοσιν νομ. ἓξ τραχέων καὶ ψωμίου μοδίων ἕξ.

Ἐπειδὴ δὲ ἐντὸς τοῦ πτωχοτροφείου καὶ μοναχῶν καταγώγιον προσωρίσθη, ὡς προειρήκαμεν, καὶ μοναχικῆς πολιτείας ἀγὼν καὶ σύνταξις εἰς ὑπηρεσίαν θεοῦ καὶ τῶν ἀφωρισμένων ψυχικῶν διαδόσεων, δεῖ λοιπὸν καὶ περὶ τῆς εὐταξίας τῶν μοναχῶν τὰ εἰκότα διαλαβεῖν ἡμᾶς ἐκ τῶν θείων μόνων μεμυσταγωγημένους τὰ πρόσφορα. Κανόνα καὶ τύπον καὶ ἀκριβεστάτην σύντήρησιν ὁρίζω τῆς ἐν τῷ πτωχοτροφείῳ καθιερωμένης μονῆς καὶ τῶν μοναχῶν τὴν εἰρήνην, καὶ τὴν πρὸς ἀλλήλους κατὰ θεὸν ἀγάπην καὶ εὔνοιαν, ἣν ἐξαιρέτως ὁ πάντων ποιητὴς καὶ δεσπότης κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνομοθέτησε· κατακρίνω δὲ εἰς κύριον τὸν θεὸν ἡμῶν καὶ εἰς τὸ φοβερὸν αὐτοῦ δικαστήριον τοὺς ἐμοὺς συγγενικοὺς κληρονόμους, μᾶλλον δὲ τοὺς τὴν κληρονομίαν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διοικοῦντας καὶ προϊσταμένους αὐτῆς συγγενεῖς, ὡς προδιέστειλα τούτους τούς τε νῦν ὄντας καὶ τοὺς μέλλοντας ἕως συστάσεως κόσμου προΐστασθαι καθὼς διωρισάμην, καὶ ἅπαντας τοὺς προνοητὰς, ἵνα μὴ ἔχωσιν ἐξουσίαν ποτὲ καιροῦ ἢ χρόνου εἴτε τὸ πτωχοτροφεῖον εἴτε τὸ μοναστήριον ἐκποιεῖσθαι μερικῶς ἢ καθόλου κατά τινα τρόπον ἐκποιήσεως, καὶ μεταφέρειν ἀλλαχοῦ εἰς ἀθέτησιν τῶν παρ' ἐμοῦ διατεταγμένων, ἢ

Digitized by Google

κτῆμα αὐτῶν ἐκδιδόναι εἰς τὸ διηνεκὲς ἢ εἰς χρόνους, ἢ ἀπὸ πρώτου εἰς πρῶτον, ἢ κατὰ πρᾶσιν, ἢ ἀνταλλαγὴν, ἢ δωρεὰν, ἢ ἐμφύτευσιν, ἢ ἄλλην τινὰ αἰτίαν, ἢ εἰς πρόσωπον προσκυροῦν αὐτὸ, εἴτε εἰς βασιλικὸν εἴτε εἰς πατριαρχικὸν, ἢ ἐκκλησιαστικὸν, ἢ ἀρχοντικὸν, ἢ ἰδιωτικὸν καθ' οἱανδήτινα πρόφασιν ἢ ἀφορμήν· ἀλλὰ βούλομαι καὶ ὁρίζω εἶναι ταῦτα ἐλεύθερα καὶ ἡνωμένα καὶ αὐτοσύστατα, καὶ ἀνεκποίητα, καὶ ὑπάγεσθαι τῇ ἐξουσίᾳ καὶ κυριότητι τοῦ τε πτωχοτροφείου καὶ τοῦ μοναστηρίου μου, καὶ ἐπαπολαύειν τῆς φιλοτιμηθείσης μοι γενικῆς καὶ καθολικῆς ἐξκουσσείας διὰ χρυσοβούλλου βασιλικοῦ· καὶ γὰρ οὕτω θεσπίζει καὶ διορίζεται, ἵνα ἔνθα ἂν ἢ προσκυρώσω ἢ καταλίπω τὰ κτήματά μου, εἴτε ἐν εὐαγέσιν οἴκοις εἴτε ἐν μοναστηρίοις, εἴτε ἐν ἰδιωτικοῖς μερικῶς, ἢ καθόλου, ταῦτα πάντα τῆς ἐκ τοῦ θείου χρυσοβούλλου βοηθείας καὶ ἐξκουσσείας ἐπαπολαύωσιν, κἂν εἰς ἐπίδοσιν καὶ πλεονασμὸν προέλθοιεν. Ἔκδοσις δὲ ἀκινήτου πρόσκαιρος οὐκ ἐν ἑτέροις ὀφείλει γίνεσθαι πράγμασιν, εἰ μὴ ἐν μερικοῖς τοπίοις μὴ χρησιμεύουσιν εἰς κατασποράν, κατὰ τὸ ἔθιμον τοῦ τόπου ἐκ ληπτορικῆς εἰς χρόνους πεπερασμένους· τόπος δὲ σπόριμος οὐκ ἐκδοθήσεται ὅλως εἰς χρόνους ἀπό τινος τῶν προσκεκυρωμένων κτημάτων τοῖς εὐαγέσι τούτοις καὶ Θεῷ ἀνατεθειμένοις οἴκοις, ἵνα μὴ ἡ ἔκδοσις τούτων σιτοδείαν ἐπαγάγοι καὶ στενῶσιν ταῖς κατὰ Θεὸν τετυπωμέναις ἐξόδοις.

ΠΕΡΙ ΕΠΙΣΚΕΨΕΩΣ ΤΩΝ ΚΤΗΜΑΤΩΝ.

Ἡ μέντοι τῶν κτημάτων ἐπίσκεψις καὶ διοίκησις ἀνδρὶ δικαίῳ καὶ κατὰ Θεὸν πολιτευομένῳ ἀνατεθήσεται ὑπὸ λόγον παρὰ τῶν κληρονόμων ἡμῶν· καὶ οὗτος ἔσται φροντίζων καὶ διοικῶν τὰ ἐν αὐτοῖς, ὡς λόγον μέλλων ἀποδοῦναι πρῶτον μὲν τῷ ἐπουρανίῳ βασιλεῖ, εἶτα καὶ τοῖς προϊσταμένοις τῆς τοῦ Θεοῦ κληρονομίας, κἀκεῖθεν δεχομένοις τὴν κυριότητα καὶ ἐξου-

σίαν τῶν θείων τούτων καὶ εὐαγῶν οἴκων, τοῦ τε πτωχοτροφείου καὶ τοῦ μοναστηρίου μου· καὶ γὰρ λογοθετεῖσθαι ὀφείλει παρ' αὐτῶν καὶ ποιεῖν τὸ ἱκανὸν τῆς εἰσεξόδου ἀνενδεῶς καθὼς ἐπ' ἐμοῦ καὶ ἐνηργεῖτο καὶ ἐπράττετο, καὶ εὐθύνεσθαι περὶ ἀμελείας καὶ δόλου. Οἰκήματα δὲ οὐδ' ὅλως βούλομαι ἐκδίδοσθαι, εἰμὴ μόνον ἐνοικικῶς· εἰ δέ τις τῶν τοιούτων μου προστάξεων ἀθετήσει τι, ἕως τοῦ σμικροτάτου, μετὰ τοῦ Ἰούδα καὶ τῶν σταυρωσάντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λογισθήσεται καὶ τὴν ἀρὰν τῶν τιη' ἁγίων θεοφόρων πατέρων κληρονομήσει καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ τὸ ἔχον ἐκδοθῆναι παρὰ τὸν ἐμὸν ὁρισμὸν, εἰς τὴν πρωτότυπον δεσποτείαν ἐπανελεύσεται· ἀλλὰ καὶ αὐτὸς ὁ παραχαράξαι τὶ τολμήσων ἢ ἀναλαβέσθαι παρὰ τὰ διατεταγμένα μοι, κληρονόμος ἔσται τοῦ αἰωνίου πυρὸς, ὡς παραβάτης τῶν ἐντολῶν, καὶ ἅπερ ἐγὼ μετὰ πολλῶν κόπων καὶ ὑστερημάτων, μᾶλλον δὲ τῶν τοῦ θεοῦ δωρημάτων τῷ θεῷ ἀνεθέμην, αὐτὸς ἀκυρῶσαι βουληθείς· ὑπὸ τρόπον γὰρ καὶ αἰτίαν συγγενικῆς διαδοχῆς καὶ διοικήσεως τῶν ψυχικῶν καὶ ἐνεργείας τῶν εὐσεβῶν διαδόσεων τὰ τοιαῦτα εὐσεβῆ συνεστησάμην πράγματα· αἱ δὲ εἴσοδοι πᾶσαι τῶν κτημάτων μου, ἵνα γίνωνται ἐν λεπτῇ ἀπογραφῇ, καὶ εἰσοδιάζωνται εἰς τὸν εὐαγῆ οἶκον τοῦ πτωχοτροφείου μου τῆς Ραιδεστοῦ καὶ τελῶνται μὲν ἐκεῖσε τὰ διωρισμένα παρ' ἐμοῦ, τὰ δὲ λοιπὰ εἰσάγωνται ἐκεῖθεν ἐν τῇ πόλει, καὶ ἐξ αὐτῶν τελῆται ἡ τῶν ψυχικῶν διάδοσις, καὶ αἱ λοιπαὶ ἔξοδοι παρὰ τῶν κληρονόμων μου, συνεργοῦντος καὶ τοῦ οἰκονόμου τῆς μονῆς, εἴπερ οὐ θελήσει προστήσασθαι ἡγούμενος ὁ κληρονόμος μου, εἰδήσει καὶ τῶν λοιπῶν μοναχῶν· λογάριον δὲ οὐκ ὀφείλει τις ἐγχειρίζεσθαι τῶν μοναχῶν ἢ τῶν προεστώτων ὅλως, ἀλλὰ γινομένων τῶν τυπικῶν ἐξόδων, τοῦ ἔχοντος περιττεῦσαι τὸ μὲν τρίτον ἵνα ἀποτίθεται εἰς τὸ δοχεῖον, τὸ δὲ δίμοιρον, ἵνα ὑπάρχῃ δεσποτικῶς τῷ γνησίῳ καὶ περιποθήτῳ μου υἱῷ τῷ μυστογράφῳ κυρῷ Θεο-

Digitized by Google

δώρῳ, ὃν μετὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεὸν, καὶ τὴν ἄχραντον αὐτοῦ μητέρα, κληρονόμον καὶ κύριον, καὶ διοικητὴν ἀλογοθέτητον καὶ ἀνεξερεύνητον τῆς θείας κληρονομίας ταύτης καταλιμπάνω, καὶ καθεξῆς τοῖς κληρονόμοις αὐτοῦ, τῶν περιττευόντων καρπῶν μετὰ τὰς εἰρημένας ἐξόδους ἀλογοθετήτως εἰσοικιζομένων αὐτοῖς καὶ κερδαινομένων. Πλὴν οὐχ ἕξει ἐξουσίαν ὅλως παρακατασχεῖν ἢ εἰσοδιάσαι ἀπὸ τῶν ἀφωρισμένων κτημάτων ἐν τοῖς τοιούτοις ἱεροῖς οἴκοις, εἰ μὴ πρότερον αἱ διαδόσεις τῶν ψυχικῶν καὶ λοιπῶν γένωνται καθὼς καὶ παρ' ἐμοῦ ἐτυπώθησαν, τὸ αὐτὸ ἵνα τηρῆται καὶ ἐπὶ τῶν καθεξῆς κληρονόμων ἡμῶν· ὅταν δὲ ἐπιλείψωσιν, ἵνα ὦσι πάντα τοῦ πτωχοτροφείου καὶ τῆς μονῆς καὶ τῶν ψυχικῶν ἐπεκτεινομένων μετὰ τῆς τοῦ θεοῦ βοηθείας.

ΠΕΡΙ ΠΡΟΣΤΙΜΟΥ ΤΟΥ ΠΑΡΑΒΑΤΟΥ.

Εἰ δέ τις ἔξωθεν τῶν ἐμῶν ἐντολῶν διαπράξεταί τι, εἰ μὲν τῶν ἔξωθεν ἐστὶ καὶ ἀλλότριος, πρὸς τῷ μηδὲν ἀνύσαι, ἔσται καὶ ἀλλότριος τοῦ θεοῦ καὶ τῆς τῶν χριστιανῶν ἀμωμήτου πίστεως, καὶ ὡς κάθαρμα καὶ βδέλυγμα λογισθήσεται, ὡς παραβάτης θείων καὶ ἱερῶν πραγμάτων καὶ τῆς τοῦ θείου εὐαρεστήσεως· εἰ δὲ ὁ οἰκονόμος ἢ ὁ θελήσει τοῦ κληρονόμου μου γενησόμενος καθηγούμενος, ἐκβαλλέσθω τῆς προστασίας· εἰ δὲ ἄλλος διακονητὴς, τῆς διακονίας· εἰ δὲ ἐκ τῶν καθεξῆς κληρονόμων μου, ἵνα ἀπαιτῆται τοῦ ὑστερῆσαι εἰς τὸ διπλάσιον, καὶ μετὰ δευτέραν καὶ τρίτην παραγγελίαν γινομένην παρὰ τοῦ καθηγουμένου καὶ τῶν μοναχῶν, ἐὰν μὴ διορθῶται, ἵνα λαμβάνωσι τὰ ψυχικὰ οἱ τυπωθέντες ταῦτα λαμβάνειν, καθὼς προεδηλώσαμεν ἀπὸ τῶν κτημάτων τῶν τυπωθέντων εἰς ἑκάστου ψυχικοῦ διάδοσιν, καὶ ἄκοντος ἐκείνου. Ἀλλὰ καὶ τοῦτο προστίθημι· ἵνα οἱ κληρονόμοι μου καὶ ὁ παρ' αὐτῶν

Digitized by Google

προστησόμενος εἴτε οἰκονόμος ἢ καθηγούμενος, καὶ οἱ λοιποὶ μοναχοί, ὅσοι τὰς ἐντολάς μου τηροῦσι καὶ ἀγωνίζονται τελεῖσθαι τὰ ψυχικὰ ἀνελλιπῶς, ἐγγράφωνται ἐν τοῖς διπτύχοις καὶ μνημονεύωνται δι' ὅλου αἰῶνος· ὅσοι δὲ παραβάται τούτων γένωνται καὶ εἰς μείωσιν αὐτῶν ἢ ὑποκράτησιν ὄντες διαγνωσθῶσι, μήτε μνήμης ἀξιοῦσθαι τούτους βούλομαι, μήτε ἐν τοῖς διπτύχοις ὀνομαστὶ γράφεσθαι, ἀλλ' ὥςπερ ηὐτομόλησαν εἰς τὰς προρρηθείσας ἀράς, οὕτως ἔσται τὸ μνημόσυνον αὐτῶν κατηραμένον καὶ μεμισημένον ἀεί· οὐχ ἧττον δὲ κατάκριμα ἕξουσι καὶ οἱ ὁρῶντες καταφρονούμενα ταῦτα καὶ δυνάμενοι ἀντιλέγειν τοῖς κακῶς γινομένοις καὶ μὴ ποιοῦντες οὑτωσί.

ΠΕΡΙ ΠΡΟΧΕΙΡΙΣΕΩΣ ΗΓΟΥΜΕΝΟΥ.

Ἡγουμενείας δὲ προκειμένης τελεῖσθαι βουλήσει τοῦ κληρονόμου μου· μὴ βουλομένου γὰρ ὁ οἰκονόμος ἵνα διενεργῇ εἰς τὴν μοναχικὴν σύνταξιν καὶ ποιμαίνῃ καὶ διευθύνῃ τὰ εἰς ψυχὴν τῶν μοναχῶν κανονικῶς, ἐπίκουρον ἔχων κατὰ τῶν ἀπειθούντων τὸν κληρονόμον μου ὡς κύριον τῆς τῶν ὅλων προνοίας καὶ διοικήσεως· καὶ ἐκεῖνος οὐκ ἀναγκασθήσεται ποιεῖν ἡγούμενον, ἵνα προκρίνηται ἀπὸ τῶν μοναχῶν ὁ ἐπ' εὐλαβείᾳ καὶ φόβῳ θεοῦ μεμαρτυρημένος καὶ ταπεινός· ταύτην γὰρ πρώτην ἀρετὴν κρίνω· καὶ ὁ μὴ ἔχων ταπείνωσιν κἂν νεκροὺς ἀνιστᾷ, ἀποδοκιμαστέος ἔστω καὶ ἀπόβλητος· θέλω γὰρ ταύτην τὴν ἀρετὴν ἐν τῷ τοῦ πτωχοτροφείου μοναστηρίῳ μου τὰ πρωτεῖα φέρειν· καὶ παράγηται τῷ κληρονόμῳ μου, καὶ προχειρίζηται οὗτος παρ' ἐκείνου, τῇ ἐπιλογῇ δηλονότι τῶν μοναχῶν, ἀγωνοθετοῦντος αὐτοῦ καὶ ἀρεσκομένου· εἰ δὲ διχόνοια γένηται περὶ ἀρετῆς δύο προσώπων, ἵνα γράφωνται αἱ ὀνομασίαι αὐτῶν ἐν δυσὶ τεμαχίοις χάρτου καὶ ἀποτίθενται τῇ ἁγίᾳ τραπέζῃ τοῦ θυσιαστηρίου τοῦ ναοῦ καὶ λειτουργῶνται, καὶ

Digitized by Google

εἰσέρχηται παιδίον ἀγνὸν καὶ ἄκακον, καὶ ἀναλαμβάνηται τὸ ἓν χαρτίον καὶ ἐξάγῃ, καὶ οὗτινος ὀνομασία εὑρεθῇ, ἄξιος τῆς οἰκονομίας καὶ τῆς ἡγουμενείας λογίζηται, προχειρίσεως γινομένης παρὰ τοῦ κληρονόμου μου, πρότερον πληροφορῶν ἐνώπιον τοῦ θεοῦ καὶ τῶν μοναχῶν, ὅτι τὰς ἐμὰς ἐντολὰς τηρήσει καὶ διατάξεις ἕως τελευτῆς. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν διακονητῶν ἔσται· καὶ οὕτως κατὰ διαδοχὴν ὁ τοιοῦτος ὁρισμός μου διατελέσει κρατῶν· καὶ οὐκ ἐξεωθήσεται τῆς ἡγουμενείας ὁ ἡγούμενος ἢ ὁ οἰκονόμος, εἰ μή γε ἐν οἱᾳδήποτε αἱρέσει, ἢ πτώματι σαρκικῶν παθῶν ἁλωθῇ, ἢ ἐλεγχθῇ φανερῶς δολερὸς ἢ λυμαντικὸς ἢ καταφρονητὴς τῶν θείων δοξολογιῶν καὶ τῆς τοῦ θεοῦ ἐκκλησίας καὶ τῶν ψυχικῶν, ἢ δι' ὑπεροψίαν, ἢ καταφρόνησιν ἢ δημοεγερσίαν λυπεῖ τὸν κληρονόμον μου· τότε γὰρ σφοδρῶς ἐκδιωχθήσεται παρὰ τοῦ κληρονόμου μου· εἰ δὲ ἐν μικροῖς καὶ ἀκουσίοις σφάλμασιν ὑποπτευθῇ, καὶ ἕτοιμός ἐστι διόρθωσιν μετὰ τὸ παρὰ τοῦ κληρονόμου μου καὶ τῶν προκρίτων μοναχῶν νουθετηθῆναι ἢ καὶ ἐλεγχθῆναι, ἵνα μὴ ἐκδιώκηται, πρὸς διόρθωσιν δηλαδὴ θερμῶς διανιστάμενος.

ΠΕΡΙ ΤΟΥ ΑΡΙΘΜΟΥ ΤΩΝ ΜΟΝΑΧΩΝ.

Ἀριθμὸν δὲ τὸν ἐν τῇ τοιαύτῃ μου μονῇ μοναχῶν, τυπῶ καὶ περιστῶ τὸν ἕβδομον, εἰ καὶ νῦν διὰ τὴν στένωσιν τῶν πραγμάτων, πέντε μόνους κατέταξα, ὡς παρθένον καὶ τίμιον καὶ πρόκριτον λογιζόμενον, καθ' ὃν καὶ οἱ αἰῶνες ἐτάχθησαν, καὶ τὸ τῶν ἑβδομάδων μέτρον, καὶ ὁ τῶν ἀστέρων δρόμος ἐκ τῆς τοῦ θεοῦ μεγαλοδυνάμου προστάξεως· ἀγαπητὸς γὰρ οὗτος ὁ ἀριθμὸς καὶ μυστικὸς τοῖς τε παλαιοῖς καὶ τοῖς νέοις, καθὰ παρθένος, ὡς προδιείληπται, διὰ τὸ ἐντὸς τῆς δεκάδος μόνον αὐτὸν μήτε γεννᾶν μήτε γεννᾶσθαι· ὅθεν καὶ πρὸς τὴν ἁγίαν παρθένον καὶ Θεοτόκον διὰ τοῦτο κομίσαι τὰ εὐαγγέλια.

Digitized by Google

πείθομαι τὸν ἀρχιστράτηγον Γαβριήλ, ὡς παρὰ τοὺς ἄλλους ἐν τῷ ἰδίῳ ὀνόματι τὸν ἑβδοματικὸν ἀριθμὸν ἀποσώζοντα· καὶ διορίζομαι εἶναι μοναχοὺς ἑπτά, τῶν πραγμάτων σὺν θεῷ ἐπιδιδόντων, σὺν τῷ οἰκονόμῳ, ἢ τῷ καθηγουμένῳ καὶ τῷ πυλωρῷ· εἰ δὲ τῇ βοηθείᾳ τοῦ παναγάθου θεοῦ ἡμῶν καὶ τῆς ἀχράντου καὶ κεχαριτωμένης αὐτοῦ μητρὸς ἐπαυξηθῶσιν αἱ πρόσοδοι τοῦ πτωχοτροφείου καὶ τῆς μονῆς· πιστεύω γὰρ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὕτω γενήσεσθαι· τότε ἐπαυξηθήσεται καὶ ὁ ἀριθμὸς τῶν ἑπτὰ μοναχῶν κατὰ τὸ ἀνῆκον τῆς αὐξηθησομένης προσόδου, καὶ τὰ ψυχικὰ συμμέτρως· ἐγὼ γὰρ συμμετρησάμενος τήν τε ἰσχὺν τῶν προσκεκυρωμένων καὶ τὰ τοῦ πτωχοτροφείου ἀναλώματα, ὡς δὲ καὶ τὸ βραχὺ τοῦ Προδρομικοῦ ναοῦ, ὃς τῷ μοναστηρίῳ ἀφώρισται κοινὸν ἱλαστήριον καὶ πρῶτον καὶ κύριον, εἰς τοῦτο ἀριθμοῦ περιέστησα, καὶ συνέστειλα τοὺς μοναχούς· καὶ βούλομαι ἀποκείρεσθαι τούτους ἄνευ ἀποταγῆς δωρεάν, εἰ μὴ εἰς ἔργον δίδοταί τι οἰκοδομῆς, ἢ ἀνοικοδομῆς ἢ ἀγορὰν ἀκινήτου· ἄνδρας δὲ ἐνεργεῖς, εἴτε εἰς τὴν ἐκκλησίαν ἢ λογαριαστάς, ἢ νοταρίους, ἢ γραμματικοὺς σεμνοὺς ἀνθρώπους καὶ τιμίους, καὶ μὴ ἐριστικοὺς ἢ φιλονείκους ἢ κενοδόξους καὶ προδότας, ἢ ἀπανθρωπίας μετέχοντας· οἷος γὰρ εὑρεθῇ τοιοῦτος, ἵνα ἀπελαύνηται· ἡ γὰρ λεγομένη ἀποταγὴ τὴν ὑποταγὴν ἐκ μέσου ποιεῖ, καὶ διχονοίας εἰσάγει πολλάς, ἀφ' ὧν οὐδὲ μικρόν τι μέρος ὀνομάζεσθαι ἢ πολιτεύεσθαι ἐν τῷ μοναστηρίῳ βούλομαι, ἀλλ' ἢ μόνον ἐν τῷ φωτισμῷ τῆς τοῦ μοναχοῦ ἀποκάρσεως ἵνα ἐξοδιάζῃ ὁ ἀποκειρόμενος ὑπὲρ μυριστικῶν καὶ τραπέζης τῶν ἀδελφῶν καὶ λοιπῶν νομίσματα δέκα· καὶ οὐ μόνον τὸ τῆς δόσεως τῆς ἀποταγῆς κωλύω, ἀλλ' οὐδὲ ἀργὸν λόγον πολιτεύεσθαι, ἢ ἀργὸν τινὰ καθῆσθαι χωρὶς ἐργοχείρου καὶ ὑπηρεσίας τῷ μοναστηρίῳ ἀνηκούσης ἢ τῇ ἐκκλησίᾳ συγχωρῶ· πάντων δὲ κράτιστον τὴν ἡσυχίαν ἐπισκήπτω καὶ τὴν ὑποταγὴν καὶ ταπεί-

Digitized by Google

νωσιν, καὶ τὸ εἰρηνεύειν ἀεὶ πρὸς ἀλλήλους τοὺς μοναχούς· καὶ τὸν προχειρισθησόμενον παρὰ τοῦ κληρονόμου μου ἡγούμενον, ἢ οἰκονόμον, δι' ἔργου ποιεῖσθαι τὸ μηδένα μοναχὸν ὀργιζόμενον πρός τινα ἢ ἐχθραινόμενον καθεύδειν κατὰ τὸν εἰπόντα, μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν· ὀφείλουσι δὲ καὶ τοῖς κελλίοις αὐτῶν προσεδρεύειν διηνεκῶς ὑποτασσόμενοι τῷ τε κληρονόμῳ μου καὶ τῷ ἔχοντι ὡς εἶπον προχειρισθῆναι παρ' αὐτοῦ οἰκονόμῳ ἢ καθηγητῇ τῶν μοναχῶν, καὶ ὑπηρετοῦντες ἀόκνως εἰς τὰς τῆς μονῆς δουλείας καὶ διακονίας, καὶ εἰς τὴν μάθησιν καὶ δοξολογίαν τῆς ἐκκλησίας. ὅτε δὲ εὐκαιροῦσιν ἵνα ἐνεργῶσι τὰ ἐργόχειρα αὐτῶν εἰς τὰς ἰδίας κέλλας ἰδιαζόντως ἕκαστος, καὶ μὴ ὦσιν ἀργοί, καὶ περιέρχωνται ἀπὸ κελλίου, καὶ συνομιλῶσιν ἢ συντρώγουσιν ἢ συμπίνωσιν εἰς ἀπώλειαν τῆς ἰδίας ψυχῆς καὶ ἑτέρων πολλῶν· ἀλλ' ἕκαστος ὑπὸ θεῷ μάρτυρι καὶ ὁδηγῷ τὴν τρίβον τῆς ἀρετῆς διανύῃ, καὶ καθ' ἑκάστην διεξάγῃ ἑαυτὸν καὶ πολυπραγμονῇ, τί κατώρθωσεν ἐν τῇδε τῇ ἡμέρᾳ, καὶ τί παρέλιπε· καὶ οὕτως ὥσπερ τῷ χρόνῳ, οὕτω καὶ τῷ δρόμῳ προκόπτῃ τῆς ἀρετῆς· καὶ ἀποθνήσκῃ μὲν τῷ σώματι, ζῇ δὲ τῷ θεῷ διὰ τῶν ἱερῶν πράξεων, καὶ τῆς ταπεινώσεως καὶ τῆς κατὰ θεὸν ἀγάπης· ἃς δὴ δύο ἀρετάς, προκρίτους εἶναι καὶ πολιτεύεσθαι, καὶ ἀμετακίνητον εἶναι τύπον καὶ κανόνα τοῦ ἐν τῷ πτωχοτροφείῳ μοναστηρίου μου βούλομαι· καὶ εἰς πρόκρισιν ἀρετῆς, προεδρίας τυχὸν δοκιμαζομένης ἐκείνους προκρίνεσθαι βούλομαι, οἵτινες ἐν ἀνυποκρίτῳ ταπεινώσει καὶ εἰρηνικῇ καταστάσει διαλάμπουσιν· ὅπου γὰρ τοιοῦτοι ποιμαίνουσιν, ἐκεῖ ἐστιν ὄντως καὶ ὁ θεός· ὅπου δὲ ὁ θεὸς ἅπαν ἀγαθὸν καὶ εὐάρεστον· διὰ τοῦτο καὶ ἐν ταῖς γινομέναις δοξολογίαις ἐπισκήπτω μετὰ προσοχῆς ἵστασθαι πάντας ἄνευ τῆς οἵας οὖν ὁμιλίας καὶ ψιθυρίσματος, καὶ διὰ νεύματος μετὰ φόβου καὶ τρόμου κατὰ τὸ γεγραμμένον, δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλ-

Digitized by Google

λιᾶσθε αὐτῷ ἐν τρόμῳ. Ἔξει δὲ πρὸς ἀνάγκην ἕκαστος μοναχὸς, ἡνίκα ἐσθίει ἐν μεσημβρίᾳ, μεταδιδόναι πένητι ὅσον ἔχει προαιρέσεως κἂν βραχύτατον ᾖ, εἴτε ψωμὸν, εἴτε ποτὸν, καὶ μὴ παρέρχηται ἡμέρα ἄνευ ἐλεημοσύνης· ἀλλ' ἀνοίγωσι καὶ πυλῶνα καὶ σπλάγχνα ἑκάστῳ πένητι ἄχρι καὶ ἑνὸς θρέμματος.

Πάλιν δὲ τὴν πρὸς ἀλλήλους ἕνωσιν ἐν κελλίοις καὶ τὰ συμπόσια ἀποτρέπω, εἰ μὴ διὰ μνήμην ἁγίου ὦσιν, ἢ ἑτέραν αἰτίαν εὔλογον ἑνωθῶσι σὺν θεῷ· καὶ τοὺς εὑρεθησομένους οὕτω ποιεῖν στέρησιν κατακρίνω τῶν ἰδίων διαρίων καὶ ὑποκράτησιν ἐπὶ μῆνας ἕξ· εἰ δὲ καὶ πάλιν εὑρεθῶσιν οὕτω ποιοῦντες χωρὶς εὐλόγου αἰτίας, ἵνα ἐκδιώκωνται παρὰ τοῦ κληρονόμου μου ἀλλὰ καὶ οἱ κατά τι ἐν ἁμαρτήμασιν ἑτέροις ἐλαφροῖς εὑρισκόμενοι καὶ προσκρούοντες τῷ τυπικῷ μου ἐλεγχθέσθωσαν ἀπερικαλύπτως, ἵνα αἰδοῖ τῶν ἐλέγχων, μὴ ἀμελῶσι τῆς ἑαυτῶν σωτηρίας· ἐλεγμῷ γάρ φησι ἡ θεία Γραφὴ, ἐλέγξεις τὸν πλησίον σου, καὶ οὐ λείψῃ ὑπὲρ αὐτοῦ ἁμαρτίαν. Τοῦτο δὲ καὶ ὁ ἡγούμενος ἢ οἰκονόμος πείσεται παρὰ τῶν κληρονόμων μου καὶ τῆς ἀδελφότητος ἔν τινι μικρῷ σφάλματι ὑποπτευθείς· καὶ τὰ πρὸς ἀλλήλους δὲ προσκόμματα εἰς μέσον πάντες προθήσουσιν ἐξάρχοντος τοῦ κληρονόμου μου, καὶ διαλύσει οὗτος πάντα ἐξ ἅπαντος καὶ στηριθήσεται ἡ ἀγάπη τῇ τοῦ θεοῦ χάριτι τοῦ εἰπόντος· ἐν τούτῳ γνώσονται π ντες ὅτι ἐμοὶ μαθηταί ἐστε ἐν τῷ ἀγαπᾶν ἀλλήλου · καὶ τούτου γινομένου ἀπελαθήσεται ἡσχυμένος ὁ πάσης δημιουργὸς τῆς κακίας ὁ ἀνθρωποκτόνος διάβολος· ἡ γὰρ γινομένη κρίσις, ἐφορῶντος ἐξ ἅπαντος καὶ διαγινώσκοντος κἀνταῦθα τοῦ περιποθήτου καὶ γνησίου μου υἱοῦ κυροῦ Θεοδώρου καὶ τῶν καθεξῆς κληρονόμων μου καὶ συνδιοικούντων τὰ τῆς εἰρήνης, ἔσται κυρία καὶ ἰσχυρὰ καὶ ἀμετακίνητος· ἀλλαχοῦ γὰρ οὐχ ἑλκυσθήσεται δίκη παρὰ τῶν τοῦ πτωχοτροφείου καὶ τοῦ μοναστηρίου μου ἀδελφῶν ἢ μοναχῶν ἕνεκεν ἰδίας ἀδικίας ἢ βλά-

Digitized by Google

βης παρά τινος τῶν ὑπ' αὐτὸν προστριβομένων· εἰ δέ τις εὑρεθῇ δύσερις καὶ φιλόνεικος καὶ μετὰ δευτέραν καὶ τρίτην ἐπιτίμησιν οὐ διορθωθῇ, ἵνα ἐκδιώκηται· ἐν ἴσῳ γὰρ κείσεται τὴν τοῦ θεοῦ ταύτην κληρονομίαν ὅ τε δύσερις καὶ κενόδοξος καὶ ὁ αἰσχρὸς, καὶ οὐχ ἕξει μερίδα ἐν αὐτῇ· ἀνέλεγκτος δὲ οὐδὲ εἷς κατακριθήσεται.

ΠΕΡΙ ΑΠΟΤΑΓΗΣ.

Ἀποταγὴν δὲ ὡς προείρηται, οὐ βούλομαι δίδοσθαι ἐν τῷ τοιούτῳ μου τοῦ πτωχοτροφείου μοναστηρίῳ, εἰμὴ διὰ τὴν προειρημένην χρείαν θελήσει κἀκεῖνος· ἀλλ' οὔτε ἐξωμονίτην εἶναι ὅλως· εἰ δέ τις προσκυρώσει ἀκίνητον κτῆσιν πρὸς τὸ λαμβάνειν τοῦτον σιτηρέσια, θεοῦ θέλοντος γινέσθω τοῦτο· καὶ ἵνα παρέχωνται αὐτῷ ἅπερ ἔχουσι συμφωνηθῆναι μέχρι τέλους ζωῆς αὐτοῦ καὶ μόνου· εἰ δὲ καὶ δώσει τις προσένεξιν ἕνεκα τοῦ μνημονεύεσθαι καὶ μόνον εἰς αἰῶνας, καὶ τοῦτο ἀκώλυτον ἔστω· ξενοκουρίτην δὲ οὐδὲ ὅλως κατατάττεσθαι βούλομαι ἐν τῇ τοιαύτῃ μονῇ, εἰμὴ ὃν ἐγὼ ἔταξα μοναχὸν Ἀντώνιον καὶ τετύπωκα ἐκκλησιάρχην, ὡς εἰδότα τοὺς μοναχικοὺς τύπους τῆς ἐκκλησίας καὶ ῥυθμίζοντα αὐτούς· σὺν αὐτῷ καὶ τὸν ἕτερον μοναχὸν Ἀντώνιον, ὡς πρωτόκλητον εἰς τὸ πτωχοτροφεῖόν μου ἐγκαταστάντα μοναχόν· ἀλλὰ τοὺς ἀποκειρομένους ἐν αὐτῇ, τεταγμένους εἶναι κἀκείνους εὐνούχους καὶ ἀπαθεῖς ἀνθρώπους· τὸ μὲν διὰ τὴν ἀπάθειαν, ἣν ὁ ἀφωρισμένος τοῖς τοιούτοις εὐκτεγέσιν οἴκοις Προδρομικὸς ναὸς ἐξόχως ἀγαπᾷ, καθὼς ἐγὼ πεπληροφορημένως ἐμυήθην καὶ ἔργοις αὐτοῖς παρέλαβον, τὸ δὲ, ὅτι καὶ ἐν μέσῳ τῆς πόλεως καὶ ἔγγιστα τῆς ἀγορᾶς τὸ φροντιστήριον, καὶ οὐκ ἀκίνδυνον τὸ βαρβάτους ἐν αὐτῷ κατοικεῖν· καὶ οὐδεὶς ἔσται ἐν αὐτῷ βαρβάτος τεταγμένος, εἰ μὴ ἄρα ἐστὶν ἐκ τοῦ ἐμοῦ καὶ γένους καὶ αἵματος, ἢ

Digitized by Google

ἀπὸ βίου ἐστὶν ἄνθρωπος μεμαρτυρημένος ἐπὶ εὐλαβείᾳ καὶ φόβῳ θεοῦ, καὶ προσκυροῖ τῇ μονῇ ἀκίνητόν τινα κτῆσιν καὶ ὑπερβαίνων ἢ τὰ πεντήκοντα ἔτη τῆς ἡλικίας αὐτοῦ· ἐπὶ τούτων γὰρ συγχωρῶ καὶ μόνων τὸ κουρεύεσθαι βαρβάτους· ἕτερον δὲ ἔξωθεν οὐδένα. Γίνεσθαι δὲ ἐπισκήπτω καὶ προλειτουργίαν κατὰ σάββατον ὑπὲρ τῶν μακαρίων γονέων μου Εἰρηνικοῦ καὶ Καλῆς, καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ· μνημονεύεσθαι δὲ καὶ διηνεκῶς ἡμᾶς, σὺν ἡμῖν δὲ καὶ Σοφίαν καὶ Εἰρήνην καὶ Βασίλειον καὶ Λέοντα, καὶ Ἄνναν, καὶ Νικόλαον, καὶ Κωνσταντῖνον· ἐξαιρέτως δὲ γίνεσθαι τρισάγιον καὶ ὑπὲρ τῶν βασιλέων ἡμῶν τῶν ἁγίων καὶ εὐσεβῶν, ἵνα καὶ οὗτοι ἐπικάμπτωνται καὶ ἐλεῶσι τό τε πτωχοτροφεῖον καὶ τὸ μοναστήριόν μου, καὶ περισκέπωσι καὶ περιφυλάττωσιν ὅπου ἂν αὐτῶν ἐπιδεηθῶσι, καὶ τῇ προστάξει τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτῶν ἀνεπηρεάστων καὶ ἀνενοχλήτων συντηρουμένων, εὐαρεστῆται ὁ θεὸς, καὶ ὑπερισχύῃ καὶ μεγαλύνηται τὸ κράτος αὐτῶν.

ΠΕΡΙ ΤΗΣ ΔΟΞΟΛΟΓΙΑΣ.

Τὰς δὲ δοξολογίας πάσας τάς τε νυκτερινὰς καὶ ἡμερινὰς θέλω γίνεσθαι κατὰ τὸ τυπικόν μου ὅπερ ἰδίως συνεγραψάμην, καὶ τὰ λοιπὰ ὅσα ἐκεῖσε κεκανόνισται.

ΠΕΡΙ ΡΟΓΑΣ ΚΑΙ ΣΙΤΗΣΕΩΣ ΤΩΝ ΜΟΝΑΧΩΝ.

Ἡ δὲ ῥόγα τῶν μοναχῶν καὶ τὰ λοιπὰ ψυχικὰ τοῦ τε πτωχοτροφείου καὶ τοῦ μοναστηρίου τὰ διὰ λογαρίου, ἵνα πρότερον ἀποτίθενται μετὰ τοῦ τυπικοῦ εἰς τὴν ἁγίαν τράπεζαν, καὶ τρισαγίου γινομένου ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου, καὶ ὑπὲρ τῶν φιλοχρίστων βασιλέων δεήσεως καὶ

Digitized by Google

εὐχῆς γινομένης, ἵνα εἰσέρχηται εἷς τῶν τιμιωτάτων ἀνδρῶν καὶ ἀναλαμβάνηται τὸ τοιοῦτον λογάριον ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου, ὡς ἀπὸ χειρῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἀναγινώσκηται πρότερον ἡ παροῦσά μου διάταξις, καὶ οὕτως ἐπιτελῆται ἡ ρόγα χωρὶς παρακατασχέσεώς τινος ἢ στερήσεως, παρὰ τοῦ κληρονόμου μου. Πλὴν οὐ βούλομαι τὸν υἱόν μου τὸν μυστογράφον κυρὸν Θεόδωρον ἀθετεῖσθαι παρά τινος ἢ καταφρονεῖσθαι τῶν μοναχῶν, ἢ παρενοχλεῖσθαι παρὰ τὸ εἰκός· ἀλλὰ θέλω ἔχειν πάντας πρὸς αὐτὸν ἀγάπην καὶ συστολήν, καὶ αἰδῶ, καὶ φόβον, καὶ ὡς ἐμὲ αὐτὸν ὁρᾷν αὐτοὺς καὶ σέβεσθαι· ἐπειδὴ καὶ κτήτορος αὐτῷ προνόμια καταλιμπάνω, καὶ κληρονόμον καὶ κύριον μετὰ θεὸν καὶ τὴν θεοτόκον ἀμετακίνητον καὶ ἀνεκλόγιστον ἐκ πάσης αἰτίας καὶ τρόπου, πλὴν μόνου τοῦ ἐκποιεῖσθαί τι τῶν προσκεκυρωμένων ἢ ὑποκρατεῖν ἀπὸ τῶν ψυχικῶν ὧν ἐτύπωσα, ἢ παραχαράττειν τὴν ἐμὴν διάταξιν· ἀλλ᾽ εἴπερ ἴσως καὶ ἐναντίον τι δοκιμάσει, ἵνα μετὰ ἐπιεικείας ὑπομιμνήσκηται παρὰ τῶν μοναχῶν, καὶ ἀναγκάζηται μετὰ παρακλήσεως πράττειν ὅσα τὸ τυπικόν μου διακελεύεται· ὀφείλει γὰρ καὶ αὐτὸς ἔχειν πρὸς τοὺς μοναχοὺς τιμὴν καὶ μηδένα κακοποιεῖν, ἢ ἀποστερεῖν τῶν τετυπωμένων αὐτῷ χωρὶς αἰτίας εὐλόγου.

ΠΕΡΙ ΔΙΚΗΣ.

Εἰ δὲ ἀνακύψει ζήτησις ἢ δίκη περὶ κτήματος τοῦ θείου πτωχοτροφείου καὶ τῆς μονῆς, ἵνα μὴ ἔχωσιν ἐξουσίαν τοῦ δικάζεσθαι ἄνευ τοῦ λαβεῖν λίβελλον περιέχοντα, ὅτι ἐγὼ ὁ δεῖνα κινῶ κατὰ τῆς κληρονομίας τοῦ υἱοῦ τοῦ θεοῦ· ἐπειδὴ δὲ οἶδα, ὅτι ἀεὶ ὁ κατὰ τὴν ἡμέραν ἔπαρχος Κωνσταντινουπόλεως εὐσεβής ἐστι καὶ φιλόθεος καὶ ἄνθρωπος τοῦ θεοῦ, ἐπειδὴ δὲ καὶ πατὴρ προχειρίζεται πόλεως, θέλω ἵνα μετὰ γνώμης ἐκεί-

Digitized by Google

νου καὶ ἐπικουρίας δικάζωνται· καὶ ὑπὲρ τῆς τοιαύτης διακονίας ἔχῃ μὲν καὶ τὸν ἀπὸ θεοῦ μισθὸν καὶ στέφανον ἄφρατόν τε καὶ ἄφθαρτον, μνημονεύηται δὲ καὶ εἰς τὸ διηνεκὲς ἐγγραφόμενος καὶ τοῖς ἱεροῖς διπτύχοις, λαμβάνῃ δὲ καὶ εὐλογίαν τῆς ψυχῆς καὶ τοῦ βίου αὐτοῦ νομ. πέντε, ἀρραβῶνα πνευματικῆς ἐπινεύσεως καὶ ἀφθονίας τοῦ βίου καὶ τῆς ζωῆς αὐτοῦ· ἄνευ γὰρ γνώμης αὐτοῦ εἴτι ἂν καὶ κριθῇ, ἵνα ὑπάρχῃ ἄκυρον· εἰ μὴ θελήσει ὁ κληρονόμος μου, εὐτελοῦς οὔσης τῆς ὑποθέσεως καὶ ἄνευ αὐτοῦ δικάσασθαι, τότε γὰρ ἔξεστιν αὐτῷ οὕτω ποιεῖν· ἕτερον δὲ προνόμιον οὐχ ἕξει ὁ ἔπαρχος, πλὴν τῆς ἐπικουρίας καὶ τῆς ἐν ταῖς δίκαις ἀντιποιήσεως, ἢ τὸν ἀπὸ τοῦ θεοῦ μισθὸν καὶ τὴν εὐλογίαν τῶν πέντε νομ. εἰ γὰρ δοκιμάσει πρὸς ἐφορείαν ἀπιδεῖν ἢ προνομίαν ἑτέραν ἢ ἐξουσίαν, πρὸς τῷ μὴ εἰσακούεσθαι, παύηται καὶ τῆς τοιαύτης ἐπιβούλου ἐπικουρίας, καὶ τῆς μισθαποδοσίας εὐθὺς, καὶ οὐκ ἔτι δεήσει ἐπαρχικῆς βοηθείας τοῖς τοιούτοις ἱεροῖς ὡς ἐπιβούλου. Ὀφείλουσι δὲ λαμβάνειν οἱ μοναχοὶ, ὁ μὲν καθηγούμενος ὅτε γένηται ὡς προείρηται, ῥόγαν νομ. ιβ'. οἱ διακονηταὶ ἀνὰ νομ. η'. οἱ πρεσβύτεροι ἀνὰ νομ. ζ'. καὶ οἱ λοιποὶ ἀνὰ νομ. ς'. τὰ μὲν ἡμίση τραχέα τὰ δὲ ἡμίση τέταρτα· ὁ καθηγούμενος σίτου μὲν μοδίους τεσσαράκοντα καὶ ὀκτὼ, οἱ δὲ λοιποὶ ἀνὰ μοδίους τριάκοντα· ἐπέκεινα δὲ τῆς τοιαύτης ποσότητος τυπῶ αὐτοὺς λαμβάνειν καὶ ἀνὰ μόδια τρία σίτου ὑπὲρ ἧς διωρισάμην ποιεῖν αὐτοὺς εἰς τὸν πυλῶνα καθ' ἑκάστην μεταδόσεως δι ἑαυτῶν: οἴνου ὁ μὲν καθηγούμενος μέτρα λς'. οἱ δὲ λοιποὶ ἀνὰ μέτρα κδ'. ὑπὲρ προσφαγίου ὁ μὲν καθηγούμενος νομίσματα τρία, οἱ δὲ λοιποὶ ἀνὰ δύο· ὀσπρίου ἀνὰ μόδια γ', καὶ ὑπὲρ ἐλαίου ἀνὰ νομ. ἕν, ὁ δὲ καθηγούμενος νομ. δύο. Ἐν δὲ ταῖς κατὰ περίοδον γινομέναις ἑορταῖς, ὀφείλει τελεῖσθαι οὕτως· ἐν τῇ ἑορτῇ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς Μεταμορφώσεως, ἵνα ἐξοδιάζωνται ὑπὲρ κηροῦ καὶ

Digitized by Google

ἐλαίου καὶ τραπέζης τῶν μοναχῶν νομ. ἕξ, καὶ ὑπὲρ διαδόσεως τῶν πενήτων νόμ. ἕν· ἐν τῇ τιμίᾳ ἑορτῇ τῆς πανσέπτου κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου νομ. γ΄. ἐν τῇ ἑορτῇ τοῦ Ἀσωμάτου τοῦ μεγάλου ἀρχιστρατήγου τῇ τελουμένῃ ἐν τῇ ὀγδόῃ τοῦ νοεμβρίου μηνὸς νομ. δύο· ἐν τῇ ἑορτῇ τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ, τῇ κατὰ τὸ ἡλιοτρόπιον ἐν τῇ ἁγίᾳ γεννήσει αὐτοῦ τελουμένῃ, διά τε φωταψίας, μυριστικῶν καὶ τραπέζης νομίσματα δ΄. ἐν δὲ ταῖς λοιπαῖς αὐτοῦ ἑορταῖς ἀνὰ νόμισμα ἕν· εἰς τὰ ἅγια Χριστούγεννα καὶ τὰ Φῶτα νομίσματα τρία· καὶ ἐν τῇ σωτηριώδει καὶ ὑπερφυεστάτῃ ἀναστασίμῳ ἡμέρᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὡσαύτως νομίσματα τρία· ὑπὲρ δὲ κηροῦ τῆς ἐκκλησίας τοῦ μοναστηρίου τοῦ ὅλου ἐνιαυτοῦ νομίσματα ιβ΄ τέταρτα, καὶ ἐλαίου λίτρας ρν΄. καὶ ὑπὲρ θυμιάματος νομίσματα β΄. ὑπὲρ δὲ προσφορᾶς καὶ νάματος τοῦ ὅλου ἐνιαυτοῦ ἵνα παρέχωνται σίτου μόδιοι ιη΄ καὶ οἴνου μέτρα ιη΄. ἐφ᾽ ᾧ καὶ τοὺς μοναχοὺς μεταλαμβάνειν ἐκ τούτου διὰ κλυσμοῦ, καὶ ὑπὲρ ὑελίου νόμισμα ἕν. Οὐκ ἐπιλέλησμαι δὲ τὰ περὶ τῶν συγγενῶν μου καταστοιχειούμενος εἰπών, ἵνα ὁ δόλον ἢ ἀμέλειαν μεγάλην ἐνδεικνύμενος ἢ ἄλλως κακῶς διαγινόμενος περὶ τὰ τῷ μοναστηρίῳ καὶ τῷ πτωχοτροφείῳ μου ἀνήκοντα, καθὼς πλατύτερον ἐν ἐκείνῳ τῷ χωρίῳ καὶ ἰδικῶς τὰς αἰτίας ἀνεταξάμην, ὁ τοιοῦτος ἀποκινῆται τῆς ἐφορείας καὶ κυριότητος καὶ προνοίας αὐτῶν, καὶ ἕτερος αὐτὴν διαδέχηται προβαθμιώτερος συγγενής, μεμαρτυρημένος ἐπὶ εὐλαβείᾳ καὶ φόβῳ θεοῦ, καὶ κατατιθέμενος πάντα ποιεῖν κατὰ τὴν ἡμετέραν διάταξιν. Ἐπειδὴ δὲ αὐστηρόν πως δοκεῖ καὶ ἀφιλάνθρωπον τὸ χωρὶς διαμαρτυρίας καὶ πρὸς τὸ δέον παραθήξεως τοὺς ἁμαρτάνοντας τιμωρίαις καθυποβάλλεσθαι, ὥστε καὶ αὐτὸν τὸν σπόρον τῆς ζωῆς ἀποβάλλεσθαι, διορίζομαι ἵνα πρὸς τὸν μὴ ὀρθῶς κεχρημένον τοῖς ἐμοῖς διατάγμασι καὶ τοῖς τῶν εὐαγῶν οἴκων πράγμασι, γί-

νωνται τρεῖς παραγγελίαι ἔγγραφοι ἐπὶ μαρτύρων κατὰ περιόδους τριμηνιαίας, καὶ τότε εἰμὴ διορθοῦται, εἰ μὲν περίεισιν ἕτεροι τοῦ γένους μου, ἵνα προτιμᾶται ἕτερος ὁ ὑπερέχων ἐν ἀρετῇ καὶ βίου λαμπρότητι· ἐπιλειπόντων δὲ τῶν ἀρρένων, τότε ἵνα καὶ τὸ θῆλυ τὸν τοιοῦτον σκοπὸν ἀπαντᾷ· εἰ δὲ ἴσως οὐχ ἕτερος εὑρίσκεται συγγενὴς ἐκ τῆς σειρᾶς ἧς προείρηκα, εἰμὴ μόνος ὑπολέλειπται ὁ τὴν κυριότητα τηνικαῦτα καὶ ἐφορείαν ἔχων, ἵνα τῆς μὲν διοικήσεως καὶ προνοίας τοῦ τε μοναστηρίου καὶ τοῦ πτωχοτροφείου μου παύηται, καὶ οἱ μοναχοὶ διοικῶσι τὰ ἐπ' αὐτοῖς, καὶ προνοῶνται καὶ διανέμωσι πάντα κατὰ τὴν παροῦσάν μου διάταξιν· ἐκείνῳ δὲ παρέχωσι τὰ ἡμίση τῶν περιττευόντων, μετὰ τὰς τυπικὰς πάσας ἐξόδους, αἵτινες ἐπὶ διορθώσει κτημάτων καὶ οἰκημάτων γίνονται, ὡς τῶν ἑτέρων ἡμίσεων ὀφειλόντων ἀποτίθεσθαι καὶ φυλάττεσθαι εἰς ἐξώνησιν ἑτέρων ἀκινήτων καὶ εἰς ἐπανόρθωσιν τῶν δεόντων· εἰ δὲ συγγενὴς ὕπεστιν ἀξιόλογος, καὶ τοῦ κακῶς διαγινομένου ἐκβαλλομένου ἀντεισαχθῇ πρὸς τὴν ἐφορείαν καὶ κυριότητα, ἵνα παρέχῃ πρὸς τὸν ἐκβαλλόμενον φιλανθρώπως μοναχοῦ ἑνὸς χρείαν καθ' ἕκαστον ἐνιαυτόν· ἐπὶ δὲ τοῦ μυστογράφου καὶ βασιλικοῦ νοταρίου κυροῦ Θεοδώρου τοῦ περιποθήτου μου υἱοῦ ἔκπτωσις οὐ ψηφισθήσεται, ἀλλὰ μόνη τούτῳ ἀνάγκη ἐπιτεθήσεται ποιεῖν τὰ διατεταγμένα παρ' ἐμοῦ καὶ μὴ βουλομένῳ· εἰ δὲ κακουργεῖ, ἵνα ἐπίκηται αὐτῷ πρόστιμον, ἡ ἐπίδοσις πάντων τῶν τετυπωμένων εἰς τὸ διπλάσιον· φιλοθέως γὰρ διοικῶν τὰ διατεταγμένα κατὰ τὸ ἀνυστέρητον, καὶ εὐλογίας πάντως ἐπιτεύξεται ἐν τοῖς οἰκείοις καὶ εὐάρεστος ἔσεται πᾶσι· μὴ δὲ γὰρ θελησάτω εὐπορῆσαι ἀπὸ ὑστερημάτων ὁσίων· ὅτι ὁ τοιοῦτος τρόπος ἀπορίαν μᾶλλον καὶ κρίμα περιποιεῖ· ἐφιέμενος δὲ πλειόνων ἐργαζέσθω τὸ καλὸν καὶ ἀγωνιζέσθω καὶ δι' ἀγαθῆς ἐπικτάσθω πίστεως, οἴκοθεν ἔχων τὸ παράδειγμα ἐκ τοῦ φύσαντος· καὶ οὐκ ἐγκαταλείψει αὐτῷ κύριος ὁ

θεὸς πᾶν εἴτι χρηστὸν καὶ εὐδαιμὸν καὶ ἐπέραστον· μονογενῆ γὰρ αὐτὸν ἐσχηκὼς, ὑπερηγάπησα, καὶ ἐπόθησα, καὶ βούλομαι καὶ ψυχῇ καὶ σώματι εὐεκτεῖν, καὶ ἄλυπον εἶναι καὶ ἀνενόχλητον ἐκ παντὸς προσώπου καὶ πράγματος· εἰ δὲ καὶ διὰ τοῦ πολλοῦ χρόνου ἐπιλείψαι ἴσως τὸ γένος μου, καὶ εἰς τὸ αὐτοδέσποτον περιστῇ τὸ μοναστήριόν μου σὺν τῷ πτωχοτροφείῳ, ὅτε μέλλει γενέσθαι ἡγούμενος, ἵνα ἐκλέγηται παρὰ πάντων τῶν μοναχῶν εἷς, ὁ τοὺς τρόπους αὐτοῦ ἐκλελεγμένους δεικνύων, καὶ κατὰ θεὸν ἀνεπιλήπτως πολιτευόμενος, καὶ τῆς ἀρετῆς τὴν αὔλακα καλῶς γεωργῶν, καὶ σφραγίζηται παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς μονῆς τῶν Στουδίου, μὴ ἔχοντος ἐντεῦθεν τοῦ καθηγουμένου τοῦ Στουδίου παρείσδυσιν ἐφορείας, ἢ τινὸς ἐξουσίας εἰς τὸ μοναστήριον καὶ τὸ πτωχοτροφεῖόν μου, ἀλλ' ἢ μόνην τὴν σφραγῖδα τοῦ ἡγουμένου, καὶ τὸ διαλύειν τὴν ἴσως ἀναφυησομένην περὶ ἡγουμενείας ἀμφισβήτησιν ὥστε προκρίνειν τὸν κρείττονα, καὶ πλείονος προνομίου μὴ δ' ὅλως ἐπιλαμβάνεσθαι τοῦτον ἐπισκήπτω καὶ διατάττομαι. Εἰ δὲ περὶ ἀρετῆς δύο τῶν μοναχῶν ἐμπέσῃ ἀμφισβήτησις, καὶ οἱ μὲν προκρίνουσι τοῦτον εἰς τὴν ποιμαντικὴν προστασίαν ἤγουν ἡγουμενείαν, οἱ δὲ ἐκεῖνον, ἵνα γίνηται ὁ κλῆρος ἐκ τῆς θείας ψήφου καθὼς προδιέστειλα· καὶ τότε σφραγίζηται ἡγούμενος παρὰ τοῦ εἰρημένου καθηγουμένου ὁ ἐκ τῶν ἀδύτων κατὰ κλῆρον ἐπιλεγείς· ὁ μέντοι λαμπρότατος ἔπαρχος ἔσται συναντιλαμβανόμενος ἐν ταῖς δίκαις τοῦ τε μοναστηρίου καὶ τοῦ πτωχοτροφείου μου κατὰ τὴν προεκφωνηθεῖσαν ἀπαραποιήτως διάταξιν ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας καὶ τῆς εἰς τὸν θεὸν θεραπείας· ὅς, εἴπερ ὁ τιμιώτατος καθηγούμενος ἐπιχειρήσει δεσποτείαν ἢ ἐφορείαν ἐν τοῖς εὐαγέσι τούτοις προσκτήσασθαι, ἵνα κωλύῃ αὐτὸν καὶ ἐξωθῇ τοῦ τοιούτου προνομίου, καὶ διαδέχηται αὐτὸς ὁ λαμπρότατος δηλαδὴ ἔπαρχος τὴν τοῦ ἡγουμένου προχείρισιν· πλέον δὲ ταύτης καὶ τῆς

ἐν ταῖς δίκαις ἀντιλήψεως καὶ βοηθείας ἐπέχῃ μηδέν. Ταῦτα δὲ ἔσται μετὰ τὴν παρέλευσιν τῆς ἀπὸ τοῦ γένους μου ἐφορείας καὶ κυριότητος, ὡς προγέγραπται.

Ἀπαγορεύομεν γὰρ παντελῶς καὶ πᾶσαν ἐξουσίαν κοσμικήν τε καὶ ἱερατικὴν ἀποσοβοῦμεν τοῦ τοιούτου μοναστηρίου καὶ τοῦ πτωχοτροφείου, καὶ μόνῳ θεῷ τῷ ἐν ἀρχικωτάτῃ καὶ ὑπερουσίῳ τριάδι δοξαζομένῳ, ταῦτα ἀνατιθέμεθα, καθὰ πολλαχοῦ τῆς παρούσης γραφῆς διελάβομεν, καὶ οὐδεὶς ἕτερος ἐν αὐτοῖς διοικήσει καὶ τὰ προειρημένα ἕξει προνόμια ἐπὶ εὐαρεστήσει τοῦ θεοῦ καὶ ἀκολούθως τῆς παρούσης μου διατάξεως, εἰμὴ ὁ γνήσιός μου υἱὸς ὁ μυστογράφος καὶ βασιλικὸς νοτάριος κυρὸς Θεόδωρος, καὶ οἱ καθ' ἑξῆς ἐκ τῆς ὀσφύος αὐτοῦ κληρονόμοι μου εἰς ἀπέραντον, κατὰ τὴν τάξιν καὶ τὸν ὅρον ἅπερ ἐθέμην ἐν οἷς περὶ ἐφορείας καὶ διοικήσεως τῆς μονῆς ἐμνημόνευσα· ὥστε τὸν ἄρρενα προτιμᾶσθαι τοῦ θήλεως, καὶ τὸν κρείττονος βίον ὄντα τῶν λοιπῶν· καὶ ἁπλῶς οὕτως ἔσονται ὥςπερ ἐν τῷ ὀπισθίῳ τμήματι πλατύτερον τὰ περὶ αὐτῶν συνέταξα καὶ διεταξάμην· εἰ δέ τις τῆς βασιλικῆς μερίδος, ἢ τῆς ἐκκλησιαστικῆς ἢ ἄλλης τινὸς προνομίας ἢ βαθμοῦ, ἢ τύχης, παρασαλεῦσαί τι τῶν δεδογμένων μοι δοκιμάσει, πρὸς τῷ μὴ εἰσακουσθῆναι, ἐπικατάρατος οὗτος παρὰ θεῷ καὶ ἀνθρώποις, καὶ ἀπὸ μόνης τῆς ἐπιχειρήσεως ἔνοχος ἔσται πάσαις ταῖς προηγησαμέναις ἀραῖς, καὶ ἐπίσης λογισθήσεται ἡ μερὶς αὐτοῦ τοῖς ἀναθεματιζομένοις ἐν ταῖς ἁγίαις ἐκκλησίαις, ὡς παραβάτης καὶ ἀποτρόπαιος.

ΠΕΡΙ ΤΩΝ ΠΑΡΟΙΚΩΝ ΚΑΙ ΕΚΛΗΠΤΟΡΩΝ.

Οἱ δὲ πάροικοι καὶ ἐκλήπτορές μου ὀφείλουσι διατηρεῖσθαι ἀνενόχλητοι, καὶ μὴ καταβαρύνεσθαι εἰς πλείονα δόσιν πάκτου, ἢ δουλειῶν, παρ' ὅπερ ἐπ' ἐμοῦ κατεβάλλοντο καὶ ἐδούλευον·

τὸν τύπον γὰρ καὶ τὴν τάξιν τῆς λειτουργίας αὐτῶν ἐναλλαγῆναι οὐ συγχωρῶ, εἰ μή τις εὑρεθῇ πλείονα τῆς ἐπιβαλλούσης γῆς αὐτῷ κατέχων καὶ ἐκκαρπούμενος, ἢ ἄλλο τι ἐπισυμβῇ ἀπρόοπτον δεόμενον προσθήκης δουλειῶν αὐτῶν ἢ συνεισφορῶν.

ΠΕΡΙ ΤΩΝ ΔΙΚΑΙΩΜΑΤΩΝ.

Τὰ μέντοι δικαιώματα τῶν προσκεκυρωμένων ἀκινήτων τῷ τε μοναστηρίῳ καὶ τῷ πτωχοτροφείῳ μου ἅμα τῷ πρωτοτύπῳ χρυσοβουλλίῳ, ἵνα ἀπόκεινται εἰς ἀρμάρια ἱστάμενα εἴτε ἐν τῷ σκευοφυλακίῳ τῆς μονῆς, εἴτε ἐν ἑτέρῳ οἰκήματι ἀσφαλεῖ, καὶ ἐπίκεινται ἑκάστῳ τῶν ἀρμαρίων δύο κλεῖδες, καὶ τῆς μὲν μιᾶς τὸ ἀνοικτήριον κατέχῃ ὁ κληρονόμος μου, τῆς δὲ ἑτέρας ὁ οἰκονόμος, εἰμὴ ἔστιν ἡγούμενος· ἐπιτίθενται δὲ καὶ σφραγῖδες παρά τε τοῦ κληρονόμου μου καὶ τῶν μοναχῶν, καὶ ὅτε γένηται χρεία δικαιώματος, ἵνα ἀνοίγωσι πάντες, καὶ ἐξάγηται τὸ τοιοῦτον χαρτίον, καὶ πάλιν ἡ αὐτὴ γίνηται ἀσφάλεια ἐπὶ τῶν λοιπῶν· εἶτα τελειουμένης τῆς ὑποθέσεως, ἀποτίθεται πάλιν τὸ τοιοῦτον χαρτίον ὅθεν ἐξέβη· ἵνα δὲ ἀποτυλίγωνται κατ' ἐνιαυτὸν ἐκ τρίτου τὰ χαρτία, καὶ τινάσωνται, καὶ πάλιν ὦσιν ὑπὸ τὴν αὐτὴν ἀσφάλειαν· πλὴν ἵνα ἀπογραφῶσι πάντα τὰ δικαιώματα ἐν κονδακίῳ ὡς ἂν συνοπτικῶς διαγινώσκηται πόσα καὶ ποῖα δικαιώματα ἔχει ἑκάστη κτῆσις· ἐγὼ γὰρ θεοῦ θέλοντος, πάντα ὅσα ἐπεκτησάμην, μετὰ νομίμων καὶ ἀσφαλεστάτων πράξεων καὶ δικαιωμάτων ἐπεκτησάμην καὶ ἀγαθῆς πίστεως, μήτε δημόσιον καινοτομήσας, μήτε παρανομήσας ἐπὶ θεῷ μάρτυρι· καὶ ἐπὶ πάσης ὑποθέσεως τῶν κτημάτων μου ψηλαφῶντες οἱ διάδοχοι τῶν εὐαγῶν οἴκων, εὑρήσουσιν ἐξ ἅπαντος δικαίωμα πρόσφορον εἰς ἀσφαλεστάτην τοῦ ζητουμένου βοήθειαν· τὸ δὲ πρωτότυπον τυπικὸν ἵνα ὑπάρχῃ κατησφαλισμένον καὶ ἐσφραγισμένον ἄνωθεν· ἐνεργῇ δὲ τὸ τούτου ἰσό-

Digitized by Google

τυπον, καὶ ἀναγινώσκηται τρὶς τοῦ ἐνιαυτοῦ ἔν τε τῷ καιρῷ τῆς ρόγας τῶν μοναχῶν ὡς προδιείληπται, καὶ ἐν τῷ σεπτεμβρίῳ μηνὶ καὶ τῷ καιρῷ τῶν Φώτων· ἐὰν δὲ γένηταί τις ἀμφιβολία εἰς τὸ ἰσότυπον περὶ ρητοῦ τινος, τότε ἵνα ἀνοίγηται τὸ πρωτότυπον, καὶ ἀντιβολῆς γινομένης, εἴτ' οὖν παρατεθητικῆς συγκρίσεως, πάλιν κατασφαλίζηται τὸ πρωτότυπον καὶ ἐπισφραγίζηται ἄνωθεν, καὶ τηρῆται ἐν ἀσύλῳ, ἐνεργῇ δὲ τὸ ἰσότυπον.

Ὁ δὲ εὐλαβὴς μοναχὸς Μιχαὴλ, ὃν αὐτὸς προεχειρισάμην οἰκονόμον ὡς διαγωνιζόμενον τὰ πρὸς ἀρετὴν, καὶ πρώτως τὴν κοσμικὴν ἀποθέμενον τρίχα, ἔσται τῷ περιποθήτῳ μου υἱῷ καὶ κληρονόμῳ ἐν πᾶσιν εὐαρεστῶν, καὶ ἀντιποιούμενος τῆς αὐτοῦ εὐεξίας καὶ εὐπραγίας· καὶ πανταχόθεν αὐτῷ τὰ θυμήρη κατὰ θεὸν πραγματευόμενος, ὡς πρόκριτος ἐν τοῖς μοναχοῖς, καὶ εἰς πᾶν θεοφιλὲς ἔργον ἐμβιβάζων αὐτόν· ἐφ' ᾧ καὶ τὰς διαδόσεις τελεῖσθαι σὺν θεῷ παρ' ἐκείνου κατὰ τὴν παροῦσάν μου βούλησιν, ὡς ἂν καὶ τὴν ἀπ' ἐκείνου πάλιν προσπάθειαν καὶ τιμὴν ἀπολαμβάνῃ δεόντως· ὅθεν καὶ μισθὸς αὐτῷ πλείων τῶν ἄλλων νυνὶ τετύπωται, καὶ ἔσται νομ. δέκα, ἡ Ἀννόνα σίτου μόδιοι λϛʹ. καὶ οἴνου μέτρα τριάκοντα· τὰ δὲ λοιπὰ μένωσιν ἐπὶ τῆς προειρημένης τάξεως ἐν τῷ προλαβόντι. Τῷ δὲ καθηγουμένῳ τοῦ Στουδίου, εἴποτε ἄρα προχειρίσασθαι τούτῳ γένοιτο καθηγούμενον τῇ μονῇ τοῦ πτωχοτροφείου τοῦ Πανοικτίρμονος, παρερχομένου ἴσως τοῦ γένους μου ὅπερ ἀπεύχομαι, ἵνα παρέχηται εὐλογία νομ. τρία ὑπὲρ ὀψωνίου αὐτοῦ. Μοναχοῦ δὲ τῆς τοιαύτης μονῆς πρὸς κύριον ἐκδημοῦντος, ἵνα παραμένῃ ὁ τούτου ὑπουργὸς εἰς τὸ πτωχοτροφεῖον ἐπὶ ἡμέρας τεσσαράκοντα καὶ μὴ ἐκδιώκηται· εἰ δὲ εὑρεθῇ χρηστοῦ βίου καὶ ὑπολήψεως ἀγαθῆς, ἵνα συνεισάγηται ἐν τοῖς διατρεφομένοις καθ' ἑκάστην ἐξ ἀδελφοῖς ἀναπληρῶν τὸν ἕκτον ἀριθμόν· εἰ δὲ τοῦτο μὴ βούληται, ἵνα τάττηται εἰς τὰ ιηʹ πρόσωπα τὰ

Digitized by Google

τυπωθέντα λαμβάνειν σίτον, καὶ λαμβάνῃ σίτου μοδίους δώδεκα Ἀννονικοὺς ἐτησίως. Ἐπὶ δὲ τούτοις πᾶσι καὶ τοῦτο διορίζομαι, ἵνα εἴ τις ποτὲ περὶ καταστάσεως τοῦ πτωχοτροφείου μου ἢ μοναστηρίου, ἢ ἐφορείας ἢ διοικήσεώς τινος ζήτησίν τινα ἐπαγάγοι καὶ παρασαλεῦσαί τι πειραθῇ ἀσεβῶς τῶν παρ' ἐμοῦ διατεταγμένων, ὑπόδικος μὲν ᾖ ὁ τοιοῦτος καὶ τῷ αἰωνίῳ πυρὶ καὶ ταῖς φρικωδεστάταις ἀραῖς· μηδεὶς δὲ ἕτερος ἀκροᾶται τῶν παρ' αὐτοῦ ἀδολεσχημάτων καὶ ὀλεθρίων καὶ σατανικῶν ἐπιχειρημάτων, εἰ μὴ ὁ ἐκ τῆς τοῦ θεοῦ προχειρίσεως εὐσεβῶς τῶν ρωμαϊκῶν ἐπειλημμένος σκήπτρων θειότατος βασιλεύς, ὡς ἂν ἐν χειρὶ θεοῦ τὴν καρδίαν ἔχων καὶ ἐκλεκτὸς αὐτοῦ ὑπὲρ ἅπαντας καθεστώς, ἀποσοβῇ μὲν σφοδρῶς καὶ τὸν λύκον τοῦτον καὶ πονηρὸν διώκτην καὶ φλύαρον, καὶ συντρίβῃ τὴν ἀπηχεστάτην θηριωδίαν αὐτοῦ, διατηρῇ δὲ ἀδιαλώβητα τὰ τῆς ἡμετέρας εὐτελοῦς διαταγῆς καὶ τὴν τῶν σεβασμίων τούτων οἴκων εὐετηρίαν ἐς τὸ ἀεὶ ὡς εὐσεβὴς καὶ φιλόχριστος· αὐτῷ γὰρ πρέπει τὰς τῶν κτητόρων περιέπειν βουλήσεις καὶ τὰ σεβάσμια ἐκδικεῖν, καὶ τὰ ἐπ' αὐτοῖς γεγονότα θεοσεβῆ χρυσοβούλλια συνέχειν καὶ συντηρεῖν ἀνεφύβριστα· ὅτι καὶ καθημερινὸν τρισάγιον ὑπὲρ τῶν θειοτάτων βασιλέων γίνεται καθὼς ἐν τῷ τυπικῷ ἡμῶν περιέχεται καὶ τῷ θάρρει τῆς αὐτῶν εὐσεβείας καὶ εὐποιΐας, εἴτ' οὖν βοηθείας καὶ ἐκδικίας, οἱ κατὰ θεὸν ἄνθρωποι τοὺς βίους αὐτῶν τῷ θεῷ καθιεροῦσιν, ἐξίλασμα ὑπὲρ σωτηρίας αὐτῶν καὶ ὑψώσεως τροπαίων καὶ κατευοδώσεως καὶ νίκης τοῦ στρατοπέδου, καὶ τῆς κοινῆς πολιτείας διακοσμήσεως, καὶ ψυχικῆς ὠφελείας καὶ τῆς τοῦ θείου εὐαρεστήσεως.

Καὶ τοῦτο προσεπισκήπτω· ἵνα εἴ τις ποτὲ τῶν ἐκ πλαγίου μου συγγενῶν πειραθῇ παραλυπῆσαι τὸν περιπόθητον καὶ γνήσιόν μου υἱὸν κυρὸν Θεόδωρον ἢ δίκην τινὰ καθ' οἱανδήτινα αἰτίαν ἢ τρόπον ἢ διασεισμὸν ἐπιτεκτήνασθαι τούτῳ, ἢ τοῖς

καθεξῆς υἱοῖς καὶ ἐγγόνοις αὐτοῦ ἢ δισεγγόνοις, καὶ τῇ ἐφεξῆς φυσικῇ διαδοχῇ, πρῶτον μὲν ὑπάρχῃ οὗτος ἐπικατάρατος, ἔπειτα σχολάζῃ ἅπαν τὸ περὶ τῶν ἐκ πλαγίου συγγενῶν μου ῥηθὲν κεφάλαιον, ἐν ᾧ διωρισάμην ἀποκείρεσθαι τὸν βουλόμενον συγγενῆ μου ἐκ πλαγίου, καὶ κἂν εἰ μυριάκις παρέλθῃ τὸ τῶν κατιόντων μου ἅπαν γένος, μὴ ἔχῃ κἂν εἷς ἐκ τῶν ἐκ πλαγίου μου συγγενῶν παρείσδυσιν ἐφορείας τινὸς ἢ ἀπολήψεως ἐκ τῶν συστάντων παρ' ἐμοῦ εὐαγῶν οἴκων ἄχρι καὶ ψωμοῦ ἑνὸς ἢ ἑτέρου εἴδους· ἀλλὰ μηδὲ εἰς τὴν πύλην αὐτῶν εἰσιτητὸν ὑπάρχειν τούτοις, ὡς λογιζομένοις ἐπιβούλοις, καὶ τῆς ἐμῆς διαταγῆς ἐναντιόφροσι καὶ ἀποτροπαίοις. Εἴπερ δὲ σὺν θεῷ καὶ ἕτερον χρυσόβουλλον ἐπιγένηται εἰς ἐπικύρωσιν τῆς ἐμῆς διαταγῆς καὶ ἐξκουσσείαν τῶν κτημάτων καὶ λοιπῶν αὐτῶν, ἵνα καταστρωνύηται εἰς τὸ τοιοῦτόν μου τυπικόν· ἐπὶ τούτῳ γὰρ καὶ ἄγραφα φύλλα διάφορα καταλέλοιπα· ὡσαύτως ἵνα γίνηται καὶ εἰς τὸ συνημμένον τῷ τυπικῷ μου βρέβιον, ὅταν ἢ κτῆμα ἢ χρῆμα ἐπέκεινα τῶν διαλαμβανομένων ἐν τούτῳ προσκυρωθῇ.

Ταῦτα φυλάξοι κύριος ὁ θεὸς ἀπαράτρωτά τε καὶ ἀπαράθραυστα τῷ παντὶ αἰῶνι συμπαρεκτεινόμενά τε καὶ συνδιευθετούμενα, καὶ οὐδεὶς ἔσται χρόνος ἢ φθόνος ὁ ταῦτα περιτρέψων καὶ λυμηνόμενος, ἀλλὰ πρὸς ἐπίδοσιν ἀεὶ καὶ αὔξησιν καὶ μονιμωτέραν κατάστασιν διεξάγοιντό τε καὶ διακυβερνοῖντο τῇ ζωαρχικῇ καὶ θείᾳ χειρὶ σκεπόμενά τε καὶ συντηρούμενα, εἰς δόξαν πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

† Μιχαὴλ πατρίκιος ἀνθύπατος κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου ὁ Ἀτταλειάτης, τὰ ἀνωτέρω πάντα βεβαιῶν σὺν θεῷ καὶ ἀπαράθραυστα μένειν βουλόμενος ὑπέγραψα καὶ ἐσφράγισα, μηνὶ μαρτίῳ, ἰνδικτιῶνι ιε', ἔτους ςφπε'. †

Google

Τό δε γραφὲν ἐν τῷ παρόντι μου τυπικῷ, ἵνα ἐπιλείποντος τοῦ ἄρρενος ἀπὸ τῆς γενεᾶς μου ἀπαντᾷ καὶ τὸ θῆλυ πρὸς τὴν τῶν εἰρημένων εὐαγῶν οἴκων διαδοχὴν, καὶ πάλιν ὁρίζω καὶ οὐδὲν ἡ φύσις βλάψει τὸ γένος, καὶ ἐμοῦ τὴν τοῦ κτήτορος διάταξίν τε καὶ θέλησιν· ἡ γὰρ πρόνοια τῶν τοιούτων γυναιξὶ μὲν πολλάκις ἀνατίθεται διὰ δωρεῶν, ἢ συγγενικῆς διαδοχῆς, ἐνεργεῖται δὲ διὰ μέσου ἀρρένων, εἴτε ὁμοζύγων αὐταῖς εἴτε παίδων εἴθ' ὑπηρετῶν εὐϋπολήπτων καὶ ἁγνῶν, καὶ συντηρεῖται ἀμφοτέρωθεν τό τε δίκαιον τῆς διαδοχῆς καὶ τὸ τῆς πράξεως εὐσεβές· ὁ δὲ δοκιμάσων παρακινῆσαί τι τῶν παρ' ἐμοῦ διωρισμένων ἁπάντων, ἐκ πάσης ἡλικίας καὶ τύχης καὶ φύσεως καὶ βαθμοῦ πρὸς τῷ καταγέλαστος εἶναι καὶ ἀνηνύτοις ἐπιχειρεῖν, ὡς μὴ κτητόρων διατάξεις σεβόμενος, καὶ τιμῶν τύπους καὶ προνόμια τῆς βασιλευούσης τῶν πόλεων, ἐξοχώτατα τῶν ἐπαρχιῶν, καὶ νόμων διανοίας ἐπιστάμενος, καὶ χρυσοβούλλίων δυνάμεις, δι' ὧν καὶ αὐτὴ ἡ μεγάλη ἐκκλησία συνέστη τε καὶ συνίσταται, καὶ λαῦραι καὶ μοναστήρια ὑπὲρ τοὺς ἀστέρας, τῆς τῶν κτητόρων ἐπαπολαύουσι διατάξεως, ἵνα καὶ τοῖς σταυρωταῖς τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συγκατατάττηται· καὶ αὐτίκα λύηται τοῖς κληρονόμοις μου καὶ ἡ ἐπιτεθεῖσα τούτοις ἐξ ἀπαιδίας τῆς ἀποκαταστάσεως αἵρεσις, καὶ ἔχωσιν ἐπ' ἀδείας καὶ ζῶντες καὶ μετὰ τελευτὴν, παραπέμπειν τὰ καταλελειμμένα τούτοις παρ' ἐμοῦ ἀκίνητα ὅπου καὶ βούλονται, πρὸς τῷ ἔχειν καὶ τὴν πρόνοιαν καὶ τὴν κυριότητα τῶν εἰρημένων καὶ παρ' ἐμοῦ συστάντων εὐαγῶν οἴκων εἰς τὸ ἑξῆς ἀναφαίρετον κατὰ τὰς ἐμὰς διαταγάς.

† Μιχαὴλ πρόεδρος κριτὴς ἐπὶ τοῦ Ἱπποδρόμου καὶ τοῦ βήλου ὁ Ἀτταλειάτης, καὶ τὴν προλεχθεῖσαν ταύτην προσθήκην ὡς παρ' ἐμοῦ γεγονυῖαν βεβαιῶν νῦν ὑπέγραψα. †

ΑΡΧΗ ΤΟΥ ΒΡΕΒΙΟΥ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΠΑΝΟΙΚΤΙΡΜΟΝΟΣ.

Εὐλογητὸς κύριος ὁ θεὸς ὁ ἐν τριάδι τοῖς εὐσεβέσιν ὑμνούμενός τε καὶ γνωριζόμενος, καὶ τῷ τριλαμπεῖ τούτῳ φωτὶ καὶ συναϊδίῳ καὶ ὁμοουσίῳ πάντα φωτίζων καὶ διϊθύνων ὅσα τε ἐν κόσμῳ καὶ ὅσα δὴ ὑπερκόσμια καὶ τῆς ὕλης ὑπέρτερα, δι' οὗ κἀμοὶ σημεῖον εἰς ἀγαθὸν καὶ θαυμασίων χάρις προσγέγονεν· ἐκεῖθεν γὰρ ἐκ τῆς θείας προνοίας καὶ ἀπειροδυνάμου μεγαλειότητος, ἐκ χειρῶν ἀλαστορικῶν ἔν τε πολέμοις Περσικοῖς καὶ Ἀρραβικοῖς καὶ αὖ πάλιν Σκυθικοῖς ἀνηρπάγην, καὶ τῇ προσούσῃ μοι ἀσθενείᾳ σθένος ἐπετέθη παράδοξον καὶ ἰσχὺς, πανωλεθρίαν τοιαύτην ἀπείργουσα· οὐ μὴν δὲ ἀλλὰ καὶ ἐκ βυθοῦ με θαλάσσης ὑπὲρ ἐλπίδα πολλάκις ἀνασωθῆναι πεποίηκεν ἡ θεία ἀντίληψις, καὶ τοσούτων καὶ τηλικούτων κινδύνων λύτρωσις ἐχαρίσθη σωτηριώδης· ἀνακηρύττειν γὰρ τὸν ἔλεον, καὶ τὴν εὐεργεσίαν μὴ κρύπτειν ἀεὶ προτεθύμημαι, ὅτι ὄντως μέγας ὁ κύριος καὶ αἰνετὸς σφόδρα, θαυμαστὸς ἐν ὑψηλοῖς, καὶ ποιῶν θαυμάσια μόνος· ὁ τοιαῦτά μοι δείξας πρὸ ὀφθαλμῶν ὑπερμεγέθη ζωῆς καὶ σωτηρίας χαρίσματα· καὶ οὐ μόνον διασώσας, ἀλλὰ καὶ πρὸς βίου εὔροιαν καὶ εὔκλειαν ὁδηγήσας, καὶ στήσας ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατευθύνας τὰ διαβήματά μου κατὰ πάντα καιρὸν καὶ τόπον καὶ προσδοκίαν· ὅθεν καὶ μαρτυρικὴν δανεισάμενος τὴν φωνὴν, μετὰ δακρύων καὶ συντετριμμένης βοῶ τῆς ψυχῆς, ἵνα εὕροιμι τὸν πανοικτίρμονα δεσπότην καὶ κύριον καὶ θεόν μου ἵλεον ἐν ἡμέρᾳ τῆς κρίσεως, ἐπὶ συμπαθείᾳ καὶ παροράσει τῶν ἐμῶν ἀπείρων πλημμελημάτων. Ἡ δὲ ἱκετήριός μοι αὕτη φωνή· μεγαλύνων μεγαλύνω σε κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν μου, ἀλλ' ἔσωσας ἐκ τῶν

Digitized by Google

ἀναγκῶν τὴν ψυχήν μου· καὶ νῦν δέσποτα, σκεπασάτω με ἡ χείρ σου, καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου· δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα· ἐν τῷ κρίνεσθαί με μὴ καταλάβοι με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ σκότους τούτου εἰς τὸ κατασπᾶσαί με τὸν ἁμαρτωλὸν εἰς βυθὸν ἅδου, ἀλλὰ παράστηθί μοι καὶ γενοῦ μοι σωτὴρ καὶ ἀντιλήπτωρ· ἐλέησον κύριε τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου τούτου ψυχήν μου, καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας πρόσδεξαι, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ταῦτά σοι παρὰ δούλου ἀχρείου καὶ ταπεινοῦ καὶ λίαν ἁμαρτωλοῦ, πανοικτίρμον κύριε, φιλανθρωπότατε βασιλεῦ, προσπίπτων οὖν μετὰ συντετριμμένης καρδίας ἱκετεύω καὶ δέομαι· μὴ ἀπώσῃ τὴν δουλικήν σου ταύτην θυσίαν καὶ ἀναξίαν προσαγωγήν, ἀλλὰ κατὰ τὸ σὸν ἀνείκαστον καὶ ἀνέκφραστόν ἔλεος πρόσδεξαι ταύτην ἐν εἰρήνῃ, καὶ φιλανθρώπως ἔπιδε ἐπὶ τὸ μικρὸν τοῦτο ποίμνιον, ὅτι κληρονομία σου κέκληται καὶ ἐστί· καὶ φύλαξον ταύτην ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, συντηρῶν τὰ διατεταγμένα πρὸς σὴν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, τῆς ἐνιαίας καὶ τριλαμποῦς καὶ ὑπερτάτης βασιλείας ἐπιεικῶς εὐαρέστησιν· τὰ σὰ γὰρ ἐκ τῶν σῶν σοι προσφέρων, συγγνώμην αἰτῶ τοῦ τολμήματος, εἰδὼς ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶσα σάρξ, εἰ μὴ τὸ σὸν τῆς φιλανθρωπίας προφθάσει ἀκατάληπτον καὶ ἀδιήγητον ἔλεος, δι' οὗ καὶ τὰ προσενηνεγμένα ταυτὶ εὐτελῆ πολυπλασιασθῆναι πιστεύω καὶ εὔχομαι, καὶ εἰς ἐπίδοσιν αὐξηθῆναι, καὶ πολλῷ πλείοσι τῶν δεομένων ἐπιδαψιλευθῆναι τὰ κρείττονα διὰ τῶν εὐσεβῶν διαδόσεων εἰς τὴν τοῦ σοῦ κράτους διηνεκῆ εὐχαριστίαν καὶ δοξολόγησιν. Εἰσὶ δὲ τὰ βρεβωθέντα τῷ τε δουλικῷ σου μοναστηρίῳ καὶ τῷ πτωχοτροφείῳ ταυτί, οἷς συνταχθήσονται καὶ τὰ μετέπειτα προσεπαυξανόμενα διὰ τῆς σῆς μεγάλης βοηθείας καὶ ἐπινεύσεως, εἴτε δι' ἐμοῦ αὖθις, εἴτε διὰ φιλοθέων καὶ εὐσεβῶν ἑτέρων

ἀνδρῶν, ὧν καὶ τὰ ὀνόματα ὀφείλουσι δηλοῦσθαι ἐν τῇ προσγραφῇ τοῦ καθιερωμένου πράγματος κινητοῦ ἢ ἀκινήτου, ὡς ἂν μνημονεύωνται διὰ παντὸς ἐν ταῖς ἡμεριναῖς καὶ νυκτεριναῖς δοξολογίαις τοῦ θείου ναοῦ.

ΔΙΑ ΤΩΝ ΙΕΡΩΝ ΚΕΙΜΗΛΙΩΝ.

Εἰκὼν μεγάλη ὑλογραφικὴ στασίδια, Ἰησοῦς Χριστὸς ὁ Παντοικτίρμων.

Σταυροὶ ἀργυροὶ διάχρυσοι βαϊοφορικοὶ τέσσαρες.

Εἰκὼν ἀργυρᾶ, προσευχάδιον διάχρυσον ὁ Σωτὴρ, λαιμὴν δίθυρον, ἔχουσαι αἱ θύραι ἔσωθεν μὲν τὴν ὑπεραγίαν Θεοτόκου, καὶ τὸν τίμιον Πρόδρομον, τοὺς ἁγίους Ἀποστόλους Πέτρον καὶ Παῦλον, τὸν ἅγιον Ἀρτέμιον, καὶ τὸν ἅγιον Λουκιλιανόν, ἔξωθεν τοὺς ἁγίους μάρτυρας Γεώργιον, Ἀκίνδυνον, ἅγιον Νικόλαον, καὶ τὸν ἅγιον Μεθόδιον, τὸν ἅγιον Κοσμᾶν καὶ τὸν ἅγιον Δαμιανόν.

Ἑτέρα εἰκὼν ἀργυρᾶ διάχρυσος ὁ Σωτὴρ, λαιμὴν ἔχουσα γυρόθεν εἰκόνα Θεοῦ, καὶ τὴν ἑτοίμην. Ἑτέρα εἰκὼν ἀργυρᾶ διάχρυσος ἡ ὑπέραγνος Θεοτόκος ἀριστεροκράτις, ἔχουσα γυρόθεν καθὼς ἡ ἐπιγραφὴ γράφει τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου. Ἑτέρα εἰκὼν ἀργυρᾶ διάχρυσος ὁ Ἀρχιστράτηγος. . . . .

(ἐλλείπει ἓν φύλλον μεμβράνης).

ἀργυρᾶ διάχρυσος ἔχουσα εἰκόνα λαιμία ιη'. Ἑτέρα εἰκὼν ὑλογραφία ἡ ἁγία Αἰκατερίνα, μετὰ περιφερίων ἀργυρῶν δαχρύσων, ἔχουσα εἰκόνα λαιμία ϛ', καὶ στασίδια β'.

Ἑτέρα εἰκὼν ὑλογραφία ὁ τίμιος Πρόδρομος, ἡ Προσκύνησις ἄνευ περιφερίων. Ἑτέραι εἰκόνες ὑλογραφίαι ἠδέαι.

Τὸ τέμπλον ἔχον καὶ αὐτὸ μέσον τὴν Δέ(σποιναν) καὶ τοῦ τιμίου καὶ ἁγίου Προδρόμου τὴν διήγησιν.

Ἑτέρα εἰκὼν ὑλογραφία ὁ ἅγιος Παντελεήμων μετὰ πε-

Digitized by Google

ριφερίων ἀργυρῶν διαχρύσων καὶ ὑελίων κε΄. ἔχοντα τὰ περιφέρια γυρόθεν εἰκόνας ις΄.

Ἐκ προσαγωγῆς τοῦ Πραιποσίτου Ἰωάννου καὶ γραμματικοῦ τοῦ κτήτορος γενομένης κατὰ τὴν ἀρχὴν τοῦ ὀκτωβρίου μηνὸς τῆς κ΄ ἰνδικτιῶνος, ἤτοι· εἰκὼν ἀργυρᾶ διάχρυσος ὁ ἅγιος Θεόδωρος· ἑτέρα εἰκὼν ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος, σαρούτ(η) (μετὰ) περιφερίων ἀργυρῶν διαχρύσων. Ἑτέρα εἰκὼν σαρούτη ὁ ἅγιος Νικόλαος καὶ αὐτὴ μετὰ περιφερίων ἀργυρῶν διαχρύσων· ἀμφότεραι μικραί.

ΔΙΑ ΤΩΝ ΙΕΡΩΝ ΣΚΕΥΩΝ.

Δισκοποτήριον ἀργυροῦν διάχρυσον μετὰ τοῦ ἀστερίσκου, λαβίδος καὶ ἰθμοῦ, ἔχοντος τοῦ μὲν δίσκου ἐν τῷ χείλει βαμβ. . . . . καὶ ἐν τῷ πυθμένι σταυρόν, καὶ γράμματα διὰ κύκλου γράφοντα· Κύριε βοήθει Ῥωμανῷ μοναχῷ· τοῦ δὲ ποτηρίου σταυροὺς τέσσαρας, καὶ εἰς τὴν πόδωσιν γράμματα γράφοντα καὶ αὐτὰ ὁμοίως τοῦ δίσκου· ἐν δὲ τοῖς χείλεσιν· πίετε ἐξ αὐτοῦ πάντες· ἱστῶντα ἀμφότερα λίτρας τέσσαρας, οὐγκίας ἑπτά. Κυθροκανδῆλαι ἀργυραὶ διάχρυσοι δύο, μετὰ τῶν κρεμασταρίων αὐτῶν, ἱστῶσα ἡ μὲν μία λίτρας δύο, ἡ δὲ ἑτέρα καὶ αὐτὴ λίτρας δύο παρὰ οὐγκίαν μίαν. Κεφαλοκιόνια τῶν ἁγίων θυρῶν ἀργυρᾶ διάχρυσα, τὸ μὲν ἓν ἔχον τὸν Χριστόν, τὸ δὲ ἕτερον τὴν ὑπεραγίαν Θεοτόκον, ἱστῶντα λίτραν μίαν. Κατζίορ ἀργυροῦν ἀχρύσωτον· ὁ καβαλλάριος ἱστῶν — καμπρίον ἀργυροῦν διάχρυσον Περσικὸν μετὰ ἐγκαύσεως, ἱστῶν —

Ἐκ προσαγωγῆς τοῦ δηλωθέντος Ἰωάννου Πραιποσίτου· ἰθμὸς ἄργυρὸς λιτός.

Digitized by Google

ΔΙΑ ΤΩΝ ΒΙΒΛΙΩΝ.

Εὐαγγέλιον μονόκαιρον τὸ ὕφος, αἱ ἐπιγραφαὶ πᾶσαι καὶ τὰ κεφάλαια χρυσογραφί(αι), ἔχον σταυροὺς β', γαμμάτια δ', ἀμυγδάλας η', κομβοθήκας ζ', καρφία νζ', τὰ ἀμφότερα ἀργυρᾶ διάχρυσα.

Τετραευάγγελον λιτόγραφον, ἔχον σταυροὺς δύο μετὰ γαμματίων ὀκτώ, ἀμφότερα ὁλόχρυσα χειμευτά· ἔχον(τος) τοῦ μὲν ἑνὸς σταυροῦ τὴν σταύρωσιν, τοῦ δὲ ἑτέρου τὴν ὑπεραγίαν Θεοτόκον, τὰ δὲ γαμμάτια τοὺς ἁγίους Ἀποστόλους, καὶ ἑτέρους διαφόρους ἁγίους· ἔχει δὲ τὸ τοιοῦτον τετραευάγγελον καρφία μικρὰ οδ', μετὰ τζουνίων ἑπτὰ ἀργυρῶν διαχρύσων, ἔχον(τα) καὶ αὐτὰ καρφία ις' καὶ ἀμυγδάλας η'.

Ἕτερον Εὐαγγέλιον παλαιὸν λιτόγραφον ἔχον σταυρὸν ἀργυρὸν ἕν(α) καὶ γράμματα ἐν τῷ σταυρῷ γράφοντα:

Τύπον προτείνω καὶ θανὼν τῶν πρακτέων
Εἰς ἐξίλασμα πρὸς θεὸν καὶ δεσπότην.

Βιβλίον ἕτερον Ἀπόστολος, τὸ ὕφος μικρόν. Προφήτης μονόκαιρος. Ὀκτάηχος δικάνονος. Στιχεράριν. Ψαλτήριον τῆς στιχολογίας. Μηναῖα τοῦ ὅλου χρόνου, καὶ Τριῴδιον σῶον.

Ἀναγνωστικά. Θεολόγος· κατὰ Ἰωάννην τὸ πρῶτον. Μεταφράσεις τεύχη δ'· Μηναῖα δ', σεπτέμβριος, ὀκτώβριος, νοέμβριος, καὶ δεκέμβριος. Ἕτερον ψαλτήριον μετὰ τῆς ἑρμηνείας αὐτοῦ· βιβλίον ἕτερον ὁ Πανδέκτης· ἡ Ἑξαήμερος τοῦ Χρυσοστόμου τὸ δεύτερον· καὶ ἡ Ἑξαήμερος τοῦ ἁγίου Βασιλείου, μετὰ τῆς Ἀποκαλύψεως, καὶ διαφόρων λόγων. Ἕτερον βιβλίον πανηγυρικὸν διαφόρων ποιητῶν· καὶ ἕτερον βιβλίον τοῦ Χρυσοστόμου οἱ Ἀνδριάντες· καὶ ἕτερον βιβλίον θεολογικὸν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἕτερον βιβλίον Προφήτης μονόκαιρον· καὶ ἕτερον βιβλίον αἱ Κατηχήσεις τοῦ Στουδίτου.

Digitized by Google

Ἐκ προσαγωγῆς τοῦ αὐτοῦ Ἰωάννου Πραιποσίτου·

Βιβλίον σωμάτιον μονόκαιρον, ἔχον Χρυσοστομικὸν ἀνάγνωσμα καὶ τὸν βίον τοῦ ἁγίου Ἀρτεμίου, καὶ ἑτέρων ἁγίων βίους.

Ἕτερον σωμάτιον ἔχον τοὺς δεσποτικοὺς κανόνας ἑρμηνευμένους, καὶ Σεισμοβροντολόγιον.

Ἕτερον βιβλίον βαμπύκινον ἔχον τὴν σύνοψιν τοῦ ἁγίου Εὐαγγελίου, καὶ τὸν Ἀλέξανδρον καὶ λοιπὰ ἀναγνώσματα.

Ἕτερον βομβύκινον, Χρονικὸν ἐκτεθὲν παρὰ τοῦ κτήτορος.

Καὶ τὰ προσενεχθέντα τῇ ἁγίᾳ ταύτῃ μονῇ κατὰ τὸν μάρτιον μῆνα τῆς η' ἰνδικτιῶνος παρὰ τοῦ μοναχοῦ Μιχαὴλ καὶ καθηγουμένου τῆς αὐτῆς μονῆς ταῦτα· βιβλίον βομβύκινον ὁ Πραξαπόστολος ἑρμηνευμένος, ἔχον καὶ τὰς ἑπτὰ καθολικὰς ἐπιστολὰς καὶ αὐτὰς ἑρμηνευμένας· σὺν τούτοις ἔχον καὶ τὸν Γὼβ, παροιμίας Σολομῶντος, Ἐκκλησιαστὴν, Ἆσμα ἀσμάτων, Σοφίαν Ἰησοῦ υἱοῦ Σειράχ· τὰ ἀμφότερα μετὰ ἑρμηνείας· καλόγραφον ὅλον.

Ἕτερον βιβλίον βομβύκινον, Ψαλτήριον ἑρμηνευμένον.

Ἕτερον βιβλίον σωμάτιον λιτόγραφον, ἡ Ἅλωσις τῆς Ἱερουσαλήμ.

Ἕτερον βιβλίον σωμάτιον, Νομοκάνονον, τοῦ ἁγίου ἀποστόλου Πέτρου τὰ διὰ Κλήμεντος.

Ἕτερον βιβλίον σωμάτιον, Ἑρμηνεία τοῦ Θεολόγου. Ἕτερον, Εἱρμολόγιον βομβύκινον. Ἕτερον βιβλίον, Κονδακάριον, Ψαλτήριον, Εἱρμολόγιον καὶ τὰ Ἀλληλουϊάρια Προκ(ειμένου). Ἕτερον βιβλίον, Σχηματολόγιον. . . . . .

Τὰ δὲ μετὰ τελευτὴν τῶν κτητόρων δοθέντα παρὰ τοῦ ἐπιτρόπου βιβλία, καὶ τὰ ἐπικτηθέντα μετὰ ταῦτα διὰ χρείαν τῆς μον(ῆς) βιβλία καὶ τὰ προσενεχθέντα παρὰ τοῦ μοναχοῦ κυροῦ Ἰωάννου καὶ πνευματικοῦ πατρὸς τοῦ μακαρίτου αὐθέντου ἡμῶν καὶ κτήτορος, διὰ τὴν στενότητα τῆς ἐν τῷ πα-

Digitized by Google

ρόντι χωρίῳ τῆς προσγραφῆς τῶν βιβλίων τοῦ τυπικοῦ προσεγράφησαν ἐν τῷ τέλει τοῦ τεύχους τοῦ αὐτοῦ τυπικοῦ.

ΔΙΑ ΤΩΝ ΒΛΑΤΤΙΩΝ.

Ἐνδυτὴ μία, βλαττίον κραμβίζον, τῆς ἁγίας τραπέζης, ἔχουσα πόλους ια', γρυψολέοντα δικέφαλον.

Ἑτέρα ἐνδυτή, λινὴ ζωγραφία. Καταπετάσματα δύο, τὸ μὲν ἓν εἰς τὸ τέμπλον, καὶ τὸ ἕτερον εἰς τὸν τίμιον καὶ ἅγιον Πρόδρομον.

Ποτηροκάλυμμα καινούργιον ἕν, καὶ παλαιὸν ἕν.

Ἑτέρα ἐνδυτή, βλαττίον σκαραμάγγιον, τῆς ἁγίας τραπέζης· καταπέτασμα βλαττίον τοῦ τέμπλου ὅμοιον τῆς ἐνδυτῆς περικαλύπτον καὶ τοὺς κίονας τῶν ἁγίων θυρῶν· τὰ ἀμφότερα παλαιά.

Ἕτερον βλαττίον καταπέτασμα διβλάττιον ὀξύν· ὁ ταὼν κογχευτὸς μετὰ περιφερίων ἐσοφορίων πιστακέων· καὶ ἕτερον ἔπιπλον στενοεπίμηκες καὶ ὀξύλευκον τὸ λεγόμενον ἀμπελοκλάδιον μετὰ περιφερίων, ἐσοφορίων κοινῶν· ταῦτα τὰ δύω ἔπιπλα ἀφιερώθη ἐκ πόθου τῷ τιμίῳ καὶ ἁγίῳ Προδρόμῳ παρὰ τοῦ Πραιποσίτου Ἰωάννου καὶ ἐπὶ τοῦ Κωνσταντίνου εἰς ἄφεσιν ἁμαρτιῶν αὐτοῦ, ὡς ἂν τὸ μὲν ἓν τὸ στενὸν ἀπηώρηται ὑπὲρ τὴν τιμίαν κεφαλὴν αὐτοῦ, τὸ δὲ ἕτερον ἔμπροσθεν αὐτοῦ ἐν τάξει ποδώσεως ἐν ταῖς ἑορταῖς.

ΔΙΑ ΤΩΝ ΑΚΙΝΗΤΩΝ ΚΤΗΣΕΩΝ.

Τὸ μοναστήριον αὐτὸ σὺν τοῖς ἐνοικικοῖς, τῷ τε μαγκιπικῷ ἐργαστηρίῳ, τῷ μυρεψικῷ καὶ τοῖς ἀνωγεωκατώγοις οἰκήμασι τοῖς ἐνοικικῶς ἐκδιδομένοις, ἐκτὸς ὧν ὑπεξεῖλον, τοῦ τε ἡλιακοῦ καὶ τοῦ κατωγέου τῶν ἀφορώντων εἰς τὴν αὐλὴν τοῦ

Digitized by Google

μικροῦ οἴκου. Ἡ ἡμίσεια πρόσοδος τοῦ οἴκου τοῦ περιελθόντος μοι ἀπὸ Θωμᾶ τοῦ Νικαέως· ὁ ἐντὸς τοῦ κάστρου τῆς Ραιδεστοῦ μέγας οἶκός μου ἐξ ὁλοκλήρου, ὃν δὴ καὶ πτωχοτροφεῖον εἶναι καὶ ὀνομάζεσθαι ἐτύπωσα, καὶ ἀλληλουχεῖσθαι τῷ μοναστηρίῳ ἀδισπάστως. Προσέτι τοῦ Σελοκάκα σὺν τῷ Μακρῷ Χωρίῳ· προσέτι τῶν Βαβούλου ἤτοι τοῦ Λιβός· προσέτι ἡ ἁγία Μυρόπη, ἤτοι τὸ μονοκέλλιον, καὶ τὸ ἕτερον μονοκέλλιον τὸ δωρηθὲν τῇ μονῇ καὶ τῷ πτωχοτροφείῳ μου, ὡς ἰδιόκτητον αὐτοῦ κτῆμα παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας κυροῦ Νικηφόρου, ὑπὲρ οὗ καὶ ὀφείλουσι τελεῖσθαι ἥτε ἐκτενὴς αὐτοῦ διηνεκῶς καὶ τὰ μνημόσυνα, καὶ δίδοσθαι ἐν τῷ καιρῷ τῶν μνημοσύνων αὐτοῦ τοῖς μὲν μοναχοῖς ὑπὲρ λειτουργικῶν νομ. δύο, καὶ εἰς διάδοσιν πενήτων νομ. τρία, προσεπιτελεῖσθαι δὲ καὶ τρισάγιον καὶ λειτουργίαι κδ'.

Προσέτι τοῦ Συμεωνίου· ἡ αὐλὴ τοῦ Μεταξᾶ· ἡ αὐλὴ τοῦ Ἀρκολύκη· σὺν τοῖς ἀπὸ ἀνταλλαγῆς τῆς ἁγίας Σοφίας περιελθοῦσιν οἰκήμασι· ἡ αὐλὴ τοῦ Κεντάρχου· μετὰ τῶν ἐν αὐταῖς δηλονότι οἰκημάτων πάντων. Ἀπὸ δὲ τῶν προαστείων μου τῶν ἐν τῷ Μεσοκώμῳ καθιερῶ τὸ ἕν, προσέτι ὅπερ ἀπὸ τῆς μοναχῆς. . . . . τῆς ἀνεψιᾶς τοῦ Σκρίβα ἐξωνησάμην, ὅπερ καὶ αὐτὸς τοῦ Χοσβαΐτου γέγονε.

Ἰστέον δέ, ὅτι τὸ δωρηθὲν ἀκίνητον ἀπὸ τοῦ μονοκελλίου παρὰ τοῦ πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας, ἐκνικηθὲν ἀπ' αὐτοῦ διήνεγκε τῇ μοναχῇ Ξένῃ καὶ εὐγενεστάτῃ κουροπαλατίσσῃ τῇ Κομνηνῇ, καὶ ἐδωρήθη παρ' αὐτῆς ὕστερον τῇ μονῇ τοῦ Παντοκτίρμονος, θελήσει τῆς ἡγιασμένης αὐτῆς μητρὸς κυρᾶς Ἄννης· καὶ ὀφείλουσι μνημονεύεσθαι καὶ ἐν ζωῇ καὶ μετὰ θάνατον ἅμα Κωνσταντίνῳ τῷ μακαρίτῃ ἀνδρὶ τῆς μοναχῆς κυρᾶς Ξένης, τελουμένων καὶ τῶν μνημοσύνων αὐτῶν κατὰ τὴν τῆς δωρεᾶς περίληψιν ἐσαεί.

Digitized by Google

Τὸ ἴσον τοῦ χρυσοβούλλου τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα,

Τοῦ καταστρωθέντος εἰς τὸ σέκρετον τοῦ γενικοῦ λογοθέτου κατὰ τὸν μάρτιον μῆνα τῆς ιγʹ ἰνδικτιῶνος,

Καὶ εἰς τὸ σέκρετον τῶν οἰκειακῶν τὴν κηʹ μαρτίου μηνὸς ἰνδικτιῶνος ιγʹ,

Καὶ εἰς τὸ σέκρετον τῆς σακέλλης εἰς μῆνα μάρτιον ἰνδικτιῶνος ιγʹ,

Καὶ εἰς τὸ σέκρετον τοῦ οἰκονομίου τῶν εὐαγῶν οἴκων κατὰ τὴν τριακοστὴν τοῦ μαρτίου μηνὸς ἰνδικτιῶνος ιγʹ,

Καὶ εἰς τὸ σέκρετον τοῦ στρατιωτικοῦ λογοθέτου κατὰ τὴν ιθʹ μηνὸς ἀπριλλίου ἰνδικτιῶνος ιγʹ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Μιχαὴλ πιστὸς βασιλεὺς ὀρθόδοξος αὐτοκράτωρ Ρωμαίων ὁ Δούκας.

† Ὡς οὐδέν τι τῶν ἁπάντων ἄλλο δεσπότου ψυχὴν φιλότιμον φιλοτιμοτέραν εἰς ἀεὶ ἑαυτῆς ἀπεργάζεσθαι δύναται, ὡς πίστις εἰλικρινὴς ὑπηκόου εὐγνώμονος, καὶ πρὸς τὴν τοῦ δεσπότου θεραπείαν ὅλον ἀπὸ ψυχῆς τὸ πρόθυμον ἐπιτείνοντος· εἰ δὲ καὶ παιδείᾳ μᾶλλον τῇ κοινωφελεῖ καὶ ψυχῆς εὐφυΐᾳ καὶ συνέσει κεκόσμηται, ὅσον εἰς φιλότιμον τοῦτο δεσποτικὸν αὖθις ἐπαγωγότερον· ὅλον γὰρ ἤδη πρὸς ἑαυτὸν οὑτοσὶ τὸν δεσπότην ὡς μαγνῆτις ἐφέλκεται σίδηρον, καὶ τῶν παρʼ αὐτοῦ χαρίτων ἐπαπολαύειν ἀξιοῦται κατὰ τὸ εἰκὸς ἀφθονώτατον· καὶ ὅτι τοῦθʼ οὕτως ἔχει καὶ ἀληθὲς τὸ λεγόμενον ἄντικρυς, ἐν ὀφθαλμοῖς ἄρα καὶ οὐ πόρρω ποι τὸ παράδειγμα δέδεικται.

Ὁ ἀνθύπατος Μιχαὴλ καὶ κριτὴς ὁ Ἀτταλειάτης, ἀνὴρ, τῷ μὲν γεραρῷ τοῦ εἴδους αἰδέσιμος, τῷ χρηστῷ δὲ τοῦ ἤθους καὶ μάλα ὑπέρσεμνος, πολὺς τὴν παίδευσιν, τὴν πεῖραν θαυμάσιος, καὶ τὴν πρὸς τὴν βασιλείαν μου πίστιν θαυμασιώτερος,

Digitized by Google

καὶ ταύτῃ μᾶλλον ἢ ἐκείνοις γεγηθὼς καὶ κοσμούμενος, ὡς ὁ πολὺς ἐν μέσῳ χρόνος ἐναργὲς αὐτὸ σαφῶς παρεστήσατο· οὗτος, ἐπειδὴ τὴν κατὰ τὴν Ῥαίδεστὸν οἰκίαν ἑαυτοῦ, καὶ τὰ κατὰ τὸ θέμα Θράκης καὶ Μακεδονίας αὐτῷ ἐπικτηθέντα καὶ διαφέροντα πρὸς αὐτῇ τούτῳ κτήματα, πᾶσιν εἰς διαρπαγήν τε καὶ συντριμμὸν τοῖς ἐπηρεασταῖς ὑπώπτευεν ὁσημέραι προκεῖσθαι, καὶ μεγάλην ὑπ' αὐτῶν τὴν βλάβην οὐκ ἐνδίκως ὑφίστασθαι, δέησιν ὑπὲρ αὐτῶν θερμὴν ἀνήνεγκε τῇ βασιλείᾳ μου, καὶ διὰ χρυσοβούλλου λόγου ταύτης τὸ ἀνεπηρέαστον αὐτοῖς περιγενέσθαι λιπαρῶς ἐξῃτήσατο· καὶ αὕτη προθυμοτέρα εἰς τοῦτο ἢ ἐκεῖνος πρὸς τὴν αἴτησιν, εὐμενῶς ἐπινεύσασα, τὸν παρόντα χρυσόβουλλον λόγον τούτῳ βασιλικῶς ἐπεβράβευσεν· ὑφ' οὗ θεσπίζει καὶ διορίζεται, πάσης ἐπηρεαστικῆς χειρὸς αὐτήν τε τὴν οἰκίαν τούτου σὺν τοῖς ἐνοικικοῖς κατὰ τὰ εὐλόγως ἐν τοῖς δηλωθεῖσι θέμασιν ἐπικτηθέντα καὶ διαφέροντα τούτῳ κτήματα, ὁπόσα δηλαδὴ καὶ ὁποῖα καθέστηκεν, ἀνώτερα τυγχάνειν καὶ ἀπρόσψαυστα, κἂν καὶ εἰς ἐπαύξησιν ὅτι πλείστην τῷ χρόνῳ προϊόντι ἐπιδοῖεν ἴσως· καὶ μήτε κριτῶν, ἢ πρακτόρων, ἢ στρατευτῶν, ἢ ὀρθωτῶν, ἢ ἐποπτῶν, ἢ ἀναγραφέων, ἢ καὶ φορολόγων οἱωνδήτινων καὶ τῶν ὑπ' αὐτοὺς ἁπάντων δεδοικέναι ταῦτα καὶ τοὺς ἐν αὐτοῖς προσκαθημένους τὴν ἐν τούτοις προσβολὴν καὶ μόνην, ἀλλὰ πρὸς τῷ τούτοις ἅπαντα ἀπὸ τοῦ παρόντος κατὰ τὸ διηνεκὲς τηρεῖσθαι ὅλως ἀνεπίβατα, καὶ τῶν ἄλλων ὅλων εἶναι καθυπερτεροῦντα τέλεον, καὶ πάσης ἀπολαύειν ἐλευθερίας καὶ ἀνέσεως μετὰ τὴν σήμερον, κἄν τε ὑπὸ ἰδιωτικοῖς καὶ κοσμικοῖς τελοῖεν δικαίοις, κἄν τε ὑπὸ ἐκκλησιαστικοῖς ἐξ ἀφιερώσεως καὶ μοναχικοῖς ἢ εὐαγέσι ψυχικοῖς, μόνα δὲ παρέχειν τὰ ἕως ἄρτι ἀπ' αὐτῶν ἀν' ἔτος εἰσπραττόμενα, εἴτε δημόσια τυχὸν εἶεν εἴτε καὶ ἀλλοῖα οἱαδήποτε τελέσματα, ἐφ' οὓς κατὰ καιρὸν ἄχρι καὶ εἰς δεῦρο παρείχετο· νέῳ δὲ ἢ καινοφανεῖ βάρει ἐπηρείας καὶ καινοτομίας ἢ μικρᾶς

ἢ μείζονος, μηδαμῶς καθυποβάλλεσθαι· καὶ πρός γε καὶ φοσσάτου διελεύσεως καὶ βεστιαριτῶν καὶ μανδατώρων, καὶ λοιπῶν βασιλικῶν ἀνθρώπων, τὴν ὁποιανδήποτε δουλείαν ἐν τοῖς εἰρημένοις θέμασι μετερχομένων, ἢ κατὰ πάροδον διερχομένων, καθυπερτερεῖν ἀνυπερθέτως· καὶ μήτε ἀγγαρείᾳ ἢ παραγγαρείᾳ καθυπάγεσθαι παρά τινος τῶν τοιούτων, μήτ' αὐτούς, μήτε τὰ ζῶα τούτων, μήτ' εἰς παροχὴν χρειῶν καθέλκεσθαι τῶν δικασταῖς ἢ πράκτορσι καὶ τοῖς ἄνωθεν ἠριθμημένοις διδομένων· ἀλλ' οὕτως διαμένειν ταῦτα ἐν ἀταραξίᾳ πάσῃ καὶ ἀδείᾳ, καὶ πάντα φόβον ἐπηρεαστικὸν καὶ κίνδυνον ἀπορραπίζειν καὶ διοπομπεῖσθαι πόρρω ποι ἀφ' ἑαυτῶν, ὡς ἐν ἀκυμάντῳ πάντοθεν λιμένι ἐνορμισάμενα, καὶ μηδαμόθεν ζάλην ἢ διασεισμὸν καὶ βλάβην τινὰ προδοκῶντα· καὶ ἵνα συνεκτικωτέρῳ λόγῳ ἡ τῶν λεγομένων δύναμις περιληφθείη, ὥς τινι μεγάλῳ καὶ ἀναλώτῳ πάντοθεν ὀχυρώματι, τῷ χρυσοβούλλῳ ταύτῃ δι' αἰῶνος συντηρούμενα ὑφῇ τὰ τοῦ εἰρημένου ἀνθυπάτου καὶ κριτοῦ τοῦ βήλου ἅπαντα καθ' ὃν ἐρρήθη τρόπον, πάντα τὸν εἴτε καὶ ἐπιχειρήσοντα εἴτε μὴν καὶ προσδοκώμενον ἐπηρεάσαι τούτοις, ὡς εἰς μακρὰν ἀποπέμψονται, καὶ καθάπερ ἐκ περιωπῆς ὑψηλοτάτης ἀκροβολισμῷ κατὰ παντὸς τοιούτου χρήσονται, καὶ τῆς ἐκ τούτων βλάβης καὶ ζημίας ὑπερκείσονται καὶ καθαρῶς ἀπαλλαγήσονται· ἐξκουσσευθήσονται δὲ καὶ ἀπὸ μιτάτου ἀρχόντων ταγματικῶν ἢ θεματικῶν, ἔτι τε Ῥῶς, Βαράγγων, ἢ Κουλπίγγων, ἢ Φράγγων, ἢ Βουλγάρων, ἢ Σαρακηνῶν, ἢ ἄλλων τινῶν ἀντιμιτάτων ἀπλήκτων, καὶ τῆς ὑπὲρ τῶν ἀπλήκτων χορηγίας, μεσαπλήκτων, κριτῶν, ἀπαιτητῶν καὶ λοιπῶν ἁπάντων, ἐπιθέσεως μονοπροσώπου, δόσεως κανισκίου, ἢ ἀντικανίσκου, παλαιῶν τε καὶ τῶν μετὰ ταῦτα ἴσως μελλόντων τεθῆναι, σιταρκήσεως κάστρων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, ὀνοχηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν,

Digitized by Google

ἀγελαδίων, βουβαλίων, κυνῶν λαγωνικῶν καὶ λοιπῶν τετραπόδων ζώων, παροχῆς γεννημάτων ἐξ ἀγορᾶς γεγενημένης, ἐνοχῆς τοῦ δρόμου, οἰκομοδίου, κωμοδρομίας, προσοδίων, ἀερικοῦ, συνωνῆς, στρατείας, καπνικοῦ, καστροκτισίας, ὁδοστρωσίας, γεφυρωσίας, ταξατιῶνος, ματζουκατιῶνος, παροχῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχουσιν, εἴτε πρέσβεσιν ἐθνῶν διερχομένων, εἴτε καὶ στρατῷ τινί, ἐκβολῆς χορτασμάτων, διατροφῆς πρωτοκεντάρχου, ἢ προελευσίμου βασιλικῶν ἀνθρώπων, ἐπί τινας ἀποστελλομένων δουλείας, ἐκβολῆς γεννημάτων, ἢ καταβιβασμοῦ οἴνου, κρεῶν, καὶ παντοίων εἰδῶν, ἐξοπλίσεως πλωΐμων, κονταράτων, τοξοτῶν, ἢ καὶ ἱπποτοξοτῶν, ἐξωνήσεως σίτου, κριθῆς, βρώμης, ἐλαίου, ὀσπρίων, καὶ παντοίων σπερμάτων, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς, ἢ μετακομιδῆς κωπίων, ἢ ἑτέρου εἴδους, ἐκβολῆς καλαρτίων τοξοτῶν, ἐξοπλίσεως στρατιωτῶν ἀρχόντων καβαλλαρικῶν καὶ πεζῶν, καθισμάτων τῶν ὑπεροχῆς ἀρχόντων, κατεπάνω, στρατηγῶν, κριτῶν, καὶ λοιπῶν ἀπαιτητῶν, φοσσάτου διατροφῆς καὶ ἀπλήκτων ἐπὶ πόλεμον ἀπιόντων καὶ ὑποστρεφόντων, βεστιαριτῶν, μανδατώρων τοῦ δρόμου πρέσβεις ἀγόντων ἢ ἐξορίστους, ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, τοποτηρητῶν, τουρμαρχῶν, μεραρχῶν, καὶ παντὸς ἑτέρου δημοσιακῶν πραγμάτων ἔρευναν ἐπιτετραμμένου, ἀγγαρείας, παραγγαρείας καὶ λοιπῆς ἁπάσης ἐπηρείας, λαληθείσης ἢ παρασιωπηθείσης, νῦν τε οὔσης καὶ εἰς ὕστερον ἐπινοηθησομένης· διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων καὶ τῶν πετρίων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατορικῶν εἰδικῶν γηροτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ φύσκου, κουρατόρων τοῦ οἴκου τῶν ἐλευθέρων καὶ τῶν μαγγάνων, οἰκιστικῶν καὶ τῶν ὑπ' αὐτοὺς πρω-

τονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων· ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν, καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς· ταξιαρχῶν, τουρμαρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν ἐν ἑτέροις, δρουγγαροκομήτων, πρωτοκεντάρχου προελευσίμων, καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων· πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, πρωτονοταρίων, σινωναρίων, ὡρειαρίων, καὶ παντὸς ἑτέραν δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱωδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἀθετεῖν τι ἢ ἀνατρέπειν τῶν ἐνταῦθα παρὰ τῆς βασιλείας ἡμῶν διωρισμένων, ἄχρι καὶ ψιλῆς ἐπιχειρήσεως· ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου λόγου γενομένου κατὰ τὸν μάρτιον μῆνα τῆς τρίτης καὶ δεκάτης ἰνδικτιῶνος ἐν ἔτει τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Μιχαὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Δούκας.

Τὸ ἴσον τοῦ χρυσοβούλλου τοῦ βασιλέως κυροῦ Νικηφόρου τοῦ Βοτανιάτου,

Τοῦ καταστρωθέντος εἰς τὸ σέκρετον τῶν οἰκειακῶν, εἰς μῆνα μάϊον ἰνδικτιῶνος β',

Καὶ εἰς τὸ σέκρετον τῆς σακέλλης κατὰ τὴν θ'. μηνὸς μαΐου ἰνδικτιῶνος β',

Καὶ εἰς τὸ σέκρετον τοῦ μεγάλου σακελλαρίου κατὰ μῆνα μάϊον ἰνδικτιῶνος β',

Καὶ εἰς τὸ σέκρετον τοῦ οἰκονομίου τῆς δουκί . . . . . εἰς μῆνα μάϊον ἰνδικτιῶνος β',

Καὶ εἰς τὸ σέκρετον τοῦ γενικοῦ λογοθέτου κατὰ τὴν ιδ΄. μηνὸς μαΐου ἰνδικτιῶνος β΄,

Καὶ εἰς τὸ σέκρετον τοῦ στρατιωτικοῦ λογοθέτου εἰς μῆνα μάϊον ζ΄, ἰνδικτιῶνος β΄.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος Νικηφόρος πιστὸς βασιλεὺς ὀρθόδοξος αὐτοκράτωρ Ῥωμαίων ὁ Βοτανιάτης.

Εἰ νομέα τῶν πρὸς ἀξίαν τὸν ἀληθῆ βασιλέα προσήκει γνωρίζεσθαι, καὶ διαιρέτην τῶν προσφόρων ἑκάστῳ γερῶν, λόγοι δὲ καὶ τὸ περὶ τούτους εὐδόκιμον τῷ μαγίστρῳ Μιχαὴλ καὶ κριτῇ τῷ Ἀτταλειάτῃ ἰδιαιτέρως ὡσανεί πως καθέστηκε γνώρισμα, οὐκ ἂν εἴη δίκαιον μὴ καὶ τοῦτον ἀναλογούσης τετυχηκέναι τῆς χάριτος· εἰ γὰρ μὴ λόγοις ἐντεθραμμένος σεβάζοιτο ἄνθρωπος, παρευδοκιμητέους ἄρα τοὺς λόγους τιθέμεθα· λόγους δὲ μὴ τιθέμενοι περὶ πλείονος, οἳ τῆς πολιτείας εἰσὶ τὸ κεφάλαιον, ἀλογίαν δήπου τῆς λογικῆς καταψηφιζόμεθα φύσεως· ἀλλὰ μήποτε ἄρα τοσοῦτον ἀλογήσοιτό τις τοῦ καλοῦ, ὡς μὴ τοὺς λόγους εὐλόγως τιμᾶν· καὶ παρὰ τοῦτο δίκαιον ἂν εἴη καὶ νῦν παρὰ τῆς εὐσεβοῦς ἡμῶν βασιλείας τὸν περὶ τούτου πονήσαντα, καὶ τῶν πολλῶν τὸ πλέον ἀπενεγκάμενον μὴ κατόπιν τῶν ἠλπισμένων ἐλθεῖν, τῶν δ᾽ αἰτηθέντων μᾶλλον τὸ πέρας εὑρεῖν, καὶ πλέον, ὅτι καὶ θεοσεβείας οὐκ ἐλάχιστον ἴνδαλμα τῷ παρόντι σκοπῷ παραπέπηγεν· ἀλλὰ τίς ὁ λόγος τοῦ προοιμίου, αὐτὸ ἐκεῖνο τὸ τῆς γραφῆς κατὰ πόδας παραστήσει σαφέστατα· ἔφθασεν ὁ προρρηθεὶς οὗτος μάγιστρος περὶ τὴν Θρᾴκην καὶ τὴν Μακεδονίαν ἀκινήτων ἐπικτήσεις ποιήσασθαι, καὶ χρυσόβουλλον τοῦ προβεβασιλευκότος κυροῦ Μιχαὴλ τοῦ Δούκα ἐπορίσατο, ἐξκουσσίαν αὐτοῖς παντελῆ χαριζόμενον, καὶ ἀπρόσβατον εἶναι πᾶσι, κριταῖς τε καὶ πράκτορσι καὶ στρατευταῖς, ὀρθωταῖς καὶ ἐπόπταις, ἀναγραφεῦσι καὶ φορολόγοις οἱοισδήποτε, καὶ τοῖς ὑπ᾽ αὐτοὺς ἅπασι τὴν ἐν

Digitized by Google

τούτοις ἐγκελευόμενον προσβολὴν καὶ μόνην, καὶ αὔξησιν πᾶσαν καὶ ὄρθωσιν τῶν κτημάτων τούτου ἀποτεμνόμενον, ὡς μόνα τελεῖν τὰ μέχρι τότε ἀνὰ πᾶν ἔτος ἀπ' αὐτῶν εἰσπραττόμενα, εἴτε δημόσια τυχὸν εἴησαν, εἴτε καὶ ἄλλα οἱαδήποτε τελέσματα· οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσαν ἄλλην ἐπήρειαν εἴτε ἐν μιτάτοις, εἴτε ἐν ἀγγαρείαις, ἢ παραγγαρείαις, εἴτε ἄλλαις αἰτίαις, ταῖς ἐν ἐκείνῳ ἀπηριθμημέναις ὁρῷτο, τέλεον ἐκ τούτων ἀποσοβοῦν καὶ ἀποτρεπόμενον· καὶ εἶχε μὲν ἐκεῖθεν τὸ ἰσχυρὸν, καὶ ἡ κρηπὶς προκαταβληθεῖσα κατὰ τὸ ἔννομον ἐπ' ἀσφαλοῦς εἶχεν ἐπιτεθὲν αὐτῇ καὶ τὸ οἰκοδόμημα· ἐπεὶ δὲ δεῖ καὶ τῷ στερρῷ πολλάκις τοῦ ὑπερείσοντος, ἵν' αὐτὸ ἑαυτοῦ δυναμικώτερον γένηται, καὶ τάφρον γὰρ τοῖς τείχεσιν ἐνίοτε περιβάλλομεν, καὶ τείχει διπλῷ τὴν πόλιν περιζωννύομεν, καὶ πρὸς ἀκρίβειαν οὐκ ἀσυνάρτητον τὸ γινόμενον, περιεσκεμμένον τι τοῦτο, καὶ ἀγχίνουν ὁ μάγιστρος βουλεύεται, καὶ τὴν τῆς ἡμετέρας βασιλείας εὐσέβειαν εἰς ἐπίκρισιν λαβεῖν βουλευσάμενος· ᾔδει γὰρ ὡς μέγα τι χαρίζεται πρὸς ἰσχυροτέραν ῥοπὴν ψῆφος βασιλικὴ προσεπικυροῦσα τὸ γεγονός· καὶ γραφὴν παρὰ τοῦτο χρυσόβουλλον ἐξαιτεῖ, τὰς ἐννόμως περιελθούσας τούτῳ ἀκινήτους κτήσεις ἐπικρατύνουσαν, καὶ τῆς δεσποτείας τούτῳ χαριζομένην τὸ ἀστασίαστον, πρὸς δὲ καὶ τὴν προδιαληφθεῖσαν ἐξκουσσείαν τιθεμένην ἐνδύναμον· καὶ ἐπειδὴ οὐδὲν ἄλογον εἶχεν, εἰμὴ καὶ μᾶλλον πλέον τὸ εὔλογον ἡ ἀξίωσις, τὸ κατὰ σκοπὸν εὕρηκε περατούμενον· θεσπίζει γὰρ καὶ ἡ γαληνότης τοῦ κράτους ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς εὐσεβοῦς χρυσοβούλλου λόγου τὰ περὶ τὴν Θρᾴκην καὶ τὴν Μακεδονίαν, περιελθόντα τῷ μαγίστρῳ, ἐξ εὐλόγων τίτλων ἀκίνητα ὁπωσδήποτε κατὰ τὸ ἀστασίαστον καὶ ἄμαχον τούτῳ προσεῖναι αὐτὰ, καὶ μή τινα ἐπηρεαστὴν καὶ κακόνουν ἐπὶ ταῦτα εἰσδύεσθαι, καὶ ἢ αὐτὸν τὸν μάγιστρον, καὶ τὸ ἅπαν μέρος αὐτοῦ, κληρονόμους τε καὶ διαδόχους, καὶ παντοίους διακατόχους, ὀχλεῖν

καὶ τὸ τῆς δεσποτείας ἔννομον δίκαιον συνταράσσειν αὐτῷ, ἐπί τε τοῖς περιελθοῦσιν αὐτῷ ἀπὸ δημοσιακῶν πράσεων καὶ βασιλικῶν δωρεῶν, ἐπί τε τοῖς ἐξ ἰδιωτικῶν συναλλαγμάτων καλῇ πίστει ἐπικτηθεῖσι τούτῳ, καὶ προφάσει ὑπερτίμων ἢ καινοφανῶν ἑτέρων πράξεων, ἢ ὀχλήσεων διακυκᾶν αὐτὸν καὶ τὸ μέρος αὐτοῦ, καὶ ζημίαις τισὶ περιβάλλειν, καὶ περιαλγύνειν τὰ κατ' αὐτόν· πόρρω γὰρ τοῦδε καὶ τῶν διαφερόντων ἀκινήτων αὐτῷ, ἀποτρεχέτω πᾶσα τοιαύτη καὶ ἀλλοία ἐπήρεια· καὶ πᾶς ἄδικος καὶ πλεονέκτης ἐκ τούτων ἀπελαυνέσθω· βούλεται γὰρ ἡ εὐσεβὴς ἡμῶν βασιλεία ἄμαχον ἔχειν αὐτὸν τὴν ἔννομον δεσποτείαν καὶ ἀσυζήτητον, ἀνέγκλητον ἐκ πάσης αἰτίας καὶ τρόπου, καὶ ἀφορμῆς, καὶ προσέτι καὶ πάσης ἐπηρείας ἀμέθεκτον, καθὼς ἄρα τοῦτο καὶ ἡ προπορισθεῖσα τῷ μαγίστρῳ χρυσόβουλλος γραφὴ δίδωσιν, ἣν καὶ ἡ γαληνότης τοῦ κράτους ἡμῶν ἐπισφραγίζει καὶ ἐπικυροῖ, καὶ ἰσχυροτέραν διὰ τῆς νῦν ἐπικρίσεως τίθησιν· ἐπειδὴ δὲ οὐ λόγοι μόνον τὸ σπουδαζόμενον τῷ μαγίστρῳ γεγόνασι, οὐδὲ τοῖς ὧδε μόνοις τὴν ὅλην ῥοπὴν ἐχαρίσατο· εἰσήνεγκε δέ που καὶ τῇ τῆς ψυχῆς καταστάσει οὐ φαύλην ταύτην, οὐδ' ἀγεννῆ τὴν προμήθειαν. ᾔδει γὰρ καὶ μάλα καλῶς ὡς τὰ τῇδε μὲν ἅπαντα παραρρεῖ, καὶ εἰς γῆν τὰ τῆς γῆς συμπεραίνεται, μόνα δ' ἐκεῖνα προσπαραμένει ὅσα τῇ ψυχῇ περιποιεῖν δεδύνηται λυσιτέλειαν, τὰ καθ' ἑαυτὸν μερίζει ἐπηβολώτατα· τὴν γὰρ διαφέρουσαν τούτῳ οἰκίαν περὶ ταύτην τὴν μεγαλόπολιν, ἥτις ἀπὸ τῆς πρωτοσπαθαρίσσης ἐκείνης Ἀναστασοῦς τῆς τούτου γυναικαδέλφης κατὰ πρᾶσιν ἐπ' αὐτὸν διαβέβηκε, ἀνάθημα φέρων τῷ θεῷ καθιέρωσε, φροντιστήριον δείξας αὐτὴν ἀνδρῶν εὐλαβῶν, ᾗ καὶ τὸν ἐντὸς τοῦ κάστρου τῆς Ραιδεστοῦ παρ' αὐτοῦ δεσποζόμενον οἶκον εἰς πτωχοτροφεῖον κατασκευάσας, κατὰ τελείαν ἐπίδοσιν ἥνωσεν, ὡς εἶναι ἄμφω ταῦτα συμπεπλεγμένα τε καὶ ἀλληλουχούμενα, καὶ εἰς ἓν τῷ τοῦ πνεύματος συνδέσμῳ συγ-

κείμενα· καὶ ἐπειδὴ τῷ τοιούτῳ φιλοθέῳ σκοπῷ ὕλην εἰς αὐτοτελὲς ἀποτέλεσμα θησαυρίζων ὁ μάγιστρος ἀγροτικάς τε καὶ πολιτικὰς ἐπικτήσεις ἀποτεμόμενος, καὶ τῇ παρ' αὐτοῦ συστάσῃ μονῇ καὶ τῷ πτωχοτροφείῳ ἀφιέρωσε, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ διαταγὴν πεποίηκεν ἔγγραφον, ἐν ᾗ τὰ καθ' ἕκαστον ὅπως δέοι ταῦτα οἰκονομεῖσθαι καὶ διὰ τίνων σαφέστερον παρεστήσατο, τὰς δὲ περιτροπὰς τῶν πραγμάτων καὶ τὰς ἄλλοτε ἄλλως ἐχούσας μεταπτώσεις διευλαβούμενος οὐκ ἐν ἀσαλεύτῳ ἔμενε λογισμῷ, ἀλλ' ἐνίοτε τούτῳ τῆς ψυχῆς τὸ λογιζόμενον ἐδειλαίνετο, καὶ παρὰ τοῦτο τῇ τοῦ κράτους ἡμῶν προσεληλυθὼς γαληνότητι τὸ ἀσφαλὲς ἐζήτησε· τῷ θεοφιλεῖ τῷδε προσπεριγενέσθαι σπουδάσματι ἡ εὐσεβὴς ἡμῶν βασιλεία, συμμερίτις ἐθέλουσα γίνεσθαι τοῦ καλοῦ, οὐκ εἰς ἀναβολὰς ἦλθε τοῦ τέλους, οὐδ' εἰς ὑπέρθεσιν, ἀλλ' εὐθὺς ὅτε (ὁ) μάγιστρος ᾐτήσατο καὶ ἥδε τὸ αἰτηθὲν φιλοθέως ἐπέρανε, θεσπίζουσα καὶ διοριζομένη διὰ τοῦ παρόντος αὐτῆς εὐσεβοῦς χρυσοβούλλου λόγου τὸ παρὰ τοῦ μαγίστρου δομηθὲν νεοσύστατον φροντιστήριον ἐπ' ὀνόματι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Πανοικτίρμονος, καὶ τὸ προσενωθὲν τούτῳ πτωχοτροφεῖον τὸ ἐν τῇ Ραιδεστῷ, πρὸς δὲ, καὶ τὰ τούτοις ἀνήκοντα κατὰ τὴν τούτου διαταγὴν, μόνῳ τῷ κυρίῳ ἡμῶν καὶ θεῷ ἀνακεῖσθαι, ᾧ καὶ παρὰ τοῦ μαγίστρου προσκαθιέρωνται, καὶ μήτε παρὰ βασιλικῆς τινος ἐξουσίας ἢ σεκρετικῆς ἐπιφορᾶς, μήτε ἀρχιερατικῆς προεδρίας, ἀλλὰ μηδὲ δυναστευόντων τινῶν ἐξουσίας, ἢ τύχης τινὸς ἀντιμεθέλκεσθαι ἰδιωτικῆς· πάντων δὲ τῶν ἄλλων ἀποξενοῦσθαι αὐτὰ, καὶ ὡς ἐν ἀσύλοις ταμείοις, μόνῳ τῷ τοῦ ἐνυποστάτου θεοῦ καὶ πατρὸς λόγῳ πεφυλάχθαι τε καὶ εἰς τὸ ἀεὶ ἀποκεκληρῶσθαι, τῶν ἄλλων εἰδέναι ὀφειλόντων ἁπάντων, ὡς εἴ τις τὰ εὐλόγως καθοσιωθέντα, καὶ χερσὶ μόναις παρατεθέντα θεοῦ, κατὰ πολλὴν ἐκεῖθεν ἀπόνοιαν ἀποσυλῆσαι πειράσεται, ἱεροσυλίας ἄντικρυς οὗτος

Digitized by Google

ἁλώσεται, καὶ τὸ ἐκεῖθεν ἔνδικον οὐκ ἐκφεύξεται ἀνταπόδομα· εἰ γὰρ καὶ ὁμογενεῖς ἀδικοῦντες καὶ πολλάκις σφαλλόμενοι μέτρια τὴν κατόπιν δίκην ὀλιγάκις διολισθαίνομεν, ὅπου θεὸς αὐτός ἐστι τὸ ἀτιμαζόμενον, καὶ πρὸς αὐτὸν ἐκεῖνον ἄντικρυς διαβαίνει τὸ τῆς γνώμης κακόηθες, τίνα δήπου εἰκός, ἢ ποίαν ἐπαιωρουμένην ἐλπίζειν τὴν τιμωρίαν; ἀλλ' οὐκ οἶμαι ἄν ποτε ἐπὶ τοσοῦτον ἐλθεῖν ἀπονοίας τινά, οὐδ' εἰς ἐσχάτην ἐλᾶσαι παραπληξίαν· πλὴν κἂν εἴ τινες ἴσως εἶεν, καὶ πρὸς κακίαν ἔνδον ὀργᾷ τούτοις ἡ ψυχή, ἀλλά γε τὸν παρόντα χρυσόβουλλον λόγον εἰς ἐπιτείχισμα αὐτῷ ἐκτιθέμεθα· δι' οὗ πάσῃ μὲν βασιλικῇ ἐξουσίᾳ καὶ σεκρετικῇ προσβολῇ, καὶ πατριαρχικῇ τάξει καὶ καταστάσει, καὶ ἄλλῃ ἀρχιερατικῇ, πρὸς δὲ καὶ τῇ τῶν ὑπερεχόντων αὐθεντίᾳ, ἢ καὶ τῶν ἐλαχιστοτέρων ἴσως τῇ οὐθενίᾳ, τὸ ἐπὶ ταῦτα εἰσδύεσθαι παντελῶς ἀποπαύομεν· ἄδικον γὰρ ἐπὶ τὰ πάντῃ τούτων ἀλλότρια, καὶ μόνῳ θεῷ ἀνακείμενα, μηδὲν ἄλλο ἢ τὸ βούλεσθαι δίκαιον ἔχοντας, εἰσδύνειν καὶ μὴ καλῶς παρεισφθείρεσθαι· μόνα δὲ τῷ πανοικτίρμονι θεῷ προδικάζομεν, καὶ τῆς αὐτοῦ μερίδος εἶναι ταῦτα διαταττόμεθα, πάντων τῶν τῷ μαγίστρῳ εὐσεβῶς ἐπὶ τούτοις διατεταγμένων, ὡς αὐτῷ τε ἔδοξε, καὶ ἐν ἐγγράφῳ τούτου διαταγῇ περιείληπται, εἶναί τε εἰς τὸ ἑξῆς καὶ οἰκονομεῖσθαι ὀφειλόντων, δι' ὧν ὁ υἱὸς αὐτοῦ ὁ δισύπατος Θεόδωρος καὶ βασιλικὸς νοτάριος τὴν ἐπιτήρησιν τῶν τοιούτων εὐσεβῶν ἀναστημάτων καὶ διοίκησιν κατὰ τὸ τοῦ εἰρημένου κτήτορος τυπικὸν ἐπιτέτραπται, καὶ οἱ ἐξ ὀσφύος ἐκείνου γεννώμενοι καὶ καθεξῆς ἡ τούτων διαδοχή, μέχρις ἂν διαρκοίη τὸ γένος αὐτοῦ, τούτου δὲ παρερχομένου τὸ αὐτεξούσιον καὶ αὐτοδέσποτον προσεῖναι τῇ μονῇ καὶ τῷ πτωχοτροφείῳ, καὶ ὑφ' ἡγεμόνι θεῷ καὶ προνοητῇ, τὴν πᾶσαν διεξάγειν πρόνοιαν καὶ διοίκησιν, πάσης ἐφορείας ἀνθρωπίνης καὶ ἐπηρείας ἐκεῖθεν ἐξ αὐτῶν ἀποτρεπομένης· ἐξκουσσευθήσονται δὲ καὶ τὰ τούτοις προσόντα

πάντα ἀκίνητα μετὰ καὶ τῶν λοιπῶν τοῦ μαγίστρου κτημάτων, καθὼς κατωτέρω πρὸς ὄνομα δηλωθήσονται, ἀπό τε κριτῶν, πρακτόρων, στρατευτῶν, ὀρθωτῶν, ἐποπτῶν, ἀναγραφέων, φορολόγων καὶ τῶν ὑπ' αὐτοὺς ἁπάντων, μετὰ τῶν ἐν αὐτοῖς προσκαθημένων ἐνοίκων καὶ παροίκων, καὶ πάσης ἐπηρείας καὶ προσθήκης δημοσίου, κανισκίου τε καὶ ἀντικανίσκου ἀνώτερα διατηρηθήσονται, ὡς μηδὲ πάροδον ἐν τούτοις εἶναι τινὶ τῶν ἁπάντων· πρὸς γὰρ τῷ τούτοις ἅπασιν ἀπὸ τοῦ παρόντος κατὰ τὸ διηνεκὲς τηρεῖσθαι ὅλως ἀνέπαφα, καὶ τῶν ἄλλων ὅλων καθυπερτερήσουσι τέλεον, καὶ πάσης ἀπολαύσουσιν ἐλευθερίας καὶ ἀνέσεως, κἂν εἰς ἐπαύξησιν ὅτι πλείστην τῷ χρόνῳ ἐπιδοῖεν· νέῳ δὲ καὶ καινοφανεῖ βάρει τελέσματος, ἢ ἐπηρείας καὶ καινοτομίας ἢ μικρᾶς ἢ μείζονος, οὐδαμῶς καθυποβληθήσονται· καὶ πρός γε φοσσάτου διελεύσεως, καὶ βεστιαριτῶν, καὶ μανδατώρων, καὶ λοιπῶν βασιλικῶν ἀνθρώπων τὴν ὁποιανδήποτε δουλείαν ἐν τοῖς εἰρημένοις θέμασι μετερχομένων, ἢ καὶ κατὰ πάροδον διερχομένων, ὑπεράνω ἔσονται· καὶ ἀγγαρείας ἢ παραγγαρείας παρά τινος τῶν τοιούτων οὐ καθυπαχθήσονται, οὔτε αὐτοὶ οὔτε τὰ ζῶα τούτων, οὔτ' εἰς παροχὴν χρειῶν ἑλκυσθήσονται τῶν δικασταῖς ἢ πράκτορσιν, ἢ τοῖς ἄνωθεν ἠριθμημένοις διδομένων, ἀλλ' οὕτως διαμενοῦσι ταῦτα ἐν ἀταραξίᾳ πάσῃ καὶ ἀδείᾳ καὶ πάντα φόβον ἐπηρεαστικὸν καὶ κίνδυνον ἀπορραπίσουσι, καὶ ἀποδιοπομπήσουσι πόρρω ποι ἀφ' ἑαυτῶν, ὡς ἐν ἀκυμάντῳ πάντοθεν λιμένι δοκεῖν ἐνορμίζεσθαι· καὶ μηδαμόθεν ζάλην ἢ διασεισμὸν καὶ βλάβην τινὰ προσδοκᾷν, ἢ ὑπερτίμου δόσιν· καὶ ἵνα συνεκτικωτέρῳ λόγῳ ἡ τῶν λεγομένων δύναμις περιληφθείη, ὥς τινι μεγάλῳ καὶ ἀναλώτῳ πάντοθεν ὀχυρώματι, τῇ χρυσοβούλλῳ ταύτῃ δι' αἰῶνος συντηρούμενα ὑφ῀ῇ τὰ τοῦ εἰρημένου μαγίστρου καὶ κριτοῦ τοῦ βίλου, καὶ τῶν εἰρημένων εὐαγῶν οἴκων ἅπαντα καθ' ὃν ἐρρήθη τρόπον ἔσονται· πάντα τὸν εἴτε ἐπιχειρήσοντα, εἴτε μὴν καὶ

Digitized by Google

προσδοκώμενον ἐπηρεάσαι τούτοις μακρὰν ἀποπέμπονται, καὶ καθάπερ ἐκ περιωπῆς ὑψηλοτάτης ἀκροβολισμῷ κατὰ παντὸς τοιούτου χρήσονται, καὶ τῆς ἐκ τούτων βλάβης καὶ ζημίας ὑπερκείσονται καὶ καθαρῶς ἀπαλλαγήσονται· ἐξκουσσευθήσονται δὲ καὶ ἀπὸ μιτάτου ἀρχόντων ταγματικῶν ἢ θεματικῶν, ἔτι τε Ῥῶς, Βαράγγων, ἢ Κουλπίγγων, ἢ Φράγγων, ἢ Βουλγάρων, ἢ Σαρακηνῶν, καὶ ἄλλων τινῶν, ἀντιμιτατικῶν ἀπλήκτων, καὶ τῆς ὑπὲρ τῶν ἀπλήκτων χορηγίας, μεσαπλήκτων, κριτῶν, ἀπαιτητῶν, ἀρχηγετῶν καὶ λοιπῶν ἁπάντων, ἐπιθέσεως μονοπροσώπου, δόσεως κανισκίου ἢ ἀντικανίσκου, παλαιῶν τε καὶ τῶν μετὰ ταῦτα ἴσως μελλόντων τεθῆναι, σιταρκήσεως κάστρων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελαδίων, βουβαλίων, κυνῶν λαγωνικῶν, καὶ λοιπῶν τετραπόδων ζώων, παροχῆς γεννημάτων ἐξ ἀγορᾶς γεγενημένης ἢ ἄλλης αἰτίας, ἐνοχῆς τοῦ δρόμου, οἰκομοδίου, κωμοδρομίας, προσοδίων, ἀερικοῦ, συνωνῆς, στρατείας, καπνικοῦ, καστροκτισίας, ὁδοστρωσίας, γεφυρωσίας, ταξατιῶνος, ματζουκατιῶνος, παροχῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχουσιν, εἴτε πρέσβεσιν ἐθνῶν διερχομένων, εἴτε καὶ στρατῷ τινι, ἐκβολῆς χορτασμάτων, διατροφῆς πρωτοκεντάρχου, ἢ προελευσίμου βασιλικῶν ἀνθρώπων ἐπί τινας ἀποστελλομένων δουλείας, ἐκβολῆς γεννημάτων ἢ καταβιβασμοῦ οἴνου, κρεῶν καὶ παντοίων εἰδῶν, ἐξοπλίσεως πλωΐμων, κονταράτων, τοξοτῶν ἢ καὶ ἱπποτοξοτῶν, ἐξωνήσεως σίτου, κριθῆς, βρώμης, ἐλαίου, ὀσπρίων καὶ παντοίων σπερμάτων, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς ἢ μετακομιδῆς κωπίων, ἢ καὶ ἑτέρου εἴδους, ἐκβολῆς καλαρτίων τοξοτῶν, ἐξοπλίσεως στρατιωτῶν ἀρχοντικῶν καβαλλαρικῶν καὶ πεζῶν, καθισμάτων τῶν ἐν ὑπεροχῇ ἀρχόντων, δουκῶν, κατεπάνω, στρατηγῶν, κριτῶν καὶ λοιπῶν ἀπαιτητῶν, φοσσάτου διατροφῆς καὶ ἀπλήκτων,

Digitized by Google

ἐπὶ πόλεμον ἀπιόντων, ἢ ὑποστρεφόντων, βεστιαριτῶν, μανδατόρων τοῦ δρόμου, πρέσβεις ἀγόντων ἢ ἐξορίστους, ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, τοποτηρητῶν, τουρμαρχῶν, μεραρχῶν, καὶ παντὸς ἑτέρου δημοσιακῶν πραγμάτων ἔρευναν ἐπιτετραμμένων, ἀγγαρείας, παραγγαρείας καὶ λοιπῆς ἁπάσης ἐπηρείας λαληθείσης ἢ παρασιωπηθείσης, νῦν τε οὔσης καὶ εἰς ὕστερον ἐπινοηθησομένης. Ἐπεὶ δὲ τῷ τοιούτῳ φροντιστηρίῳ ὁ προρρηθεὶς μάγιστρος καὶ δωρεὰν σολεμνίου κατὰ φιλοτιμίαν προσκυρωθῆναι παρὰ τῆς ἡμῶν ἐζήτησε γαληνότητος, μηδ᾽ ἐνταῦθα φαυλίσαι τούτῳ τὴν αἴτησιν εὐδοκήσασα ἡ τῆς ἡμετέρας βασιλείας εὐσέβεια, διορίζεται δίδοσθαι τῇ τοιαύτῃ μονῇ ἐν τῷ καιρῷ τῆς ρόγας τῶν σπαθαροκανδιδάτων, λόγῳ σολεμνίου νομίσματα δώδεκα, ἃ δὴ καὶ λήψεται τῦν τε καὶ εἰς τὸ ἑξῆς ἀνεγκρατήτως τε καὶ ἀνυστερήτως, καὶ παρ᾽ οὐδενὸς τῶν ἁπάντων ἢ παντελῆ περιαίρεσιν τούτων ἢ μερικὴν ἀπομείωσιν ὑποστήσεται· διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατορικῶν οἰκημάτων τῶν πετρίων, εἰδικῶν γηροτρόφων τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ φύσκου, κουρατόρων τοῦ οἴκου τῶν ἐλευθέρων καὶ τῶν μαγγάνων, οἰκιστικῶν, καὶ τῶν ὑπ᾽ αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων· ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν, καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, πρωτοκεντάρχων, προελευσίμων, καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων· πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν, ἀναγραφέων, πρωτονοταρίων, συνωραρίων, ὡρειαρίων, καὶ

Digitized by Google

παντὸς ἑτέρου δουλίαν τοῦ κοινοῦ μεταχειριζομένων, τοῦ μηδένα τῶν ἁπάντων, ἐν οἱῳδήποτε χρόνῳ, καθ' οἱονδήτινα τρόπον ἀθετεῖν ἢ ἀνατρέπειν τῶν ἐνταῦθα παρὰ τῆς βασιλείας μου διωρισμένων, ἄχρι καὶ ψιλῆς ἐπιχειρήσεως, ἢ προσθήκην δημόσιον, ἢ αὔξησιν ἢ ὄρθωσιν ἐπάγειν τοῖς δηλωθεῖσι κτήμασι, κατά τινα τρόπον ἢ ἀφορμὴν τὸ σύνολον, ἢ χάριν ὑπερτίμων ἐνοχλεῖν καὶ διασείειν αὐτά, ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου σιγιλλίου, γεγενημένου κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος, ἐν ἔτει τῷ ϛφπζ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Τὰ μέντοι μέλλοντα ἐξκουσσεύεσθαι εἰσὶ ταῦτα.

Ὁ ἐν Ραιδεστῷ οἶκος· τὰ ἐνοικικά, ἤγουν αὐλὴ τοῦ Μεταξᾶ, σὺν (τοῖς) τῶν οἰκημάτων τοῦ Κεντάρχου, τοῦ Ἀρκολύκη· σὺν τοῖς τῆς ἀνταλλαγῆς τοῦ Ποιητοῦ τοῦ Καμαρωτῆ· τὰ τοῦ Αἰγιαλοῦ καὶ λοιπά· προσέτι τοῦ Σελοκάκα σὺν τῷ μικρῷ χώρῳ καὶ τοῦ Βανδοφόρου· προσέτι τὰ Βαβούλη, ἤτοι τοῦ Λιβός· προσέτι τὸ μονοκέλλιον· προσέτι τοῦ Κούκου· προσέτι τοῦ Συμεωνίου· προσέτι αἱ Τζαχνίσται· προσέτι ἡ ἁγία Ἑλένη, ἤτε ἡ ἄνω Σιλιοῦ κώμη, σὺν ταῖς Θλαμίοις· προσέτι ἡ Λεύκη τῶν Ἀρμενίων· προσέτι τὰ Φλετρὰ σὺν τῷ ἁγιάσματι· τὰ ἐν τῇ Σηλυβρίᾳ οἰκήματα σὺν τῇ...... προσέτι καὶ τὰ ἐν τῷ Μεσοκώμῳ προάστεια.

(Μεταγενέστεραι ἐν τῷ κώδηκι προσθῆκαι).

Ἐδόθη, ἤτοι ἀφιερώθη παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῷ Πανοικτίρμονι βιβλία ταῦτα· οἱ τέσσαρες Εὐαγγελισταὶ ἑρμηνευμένοι τὴν ἑρμηνείαν τοῦ Βουλγαρίας..... βιβλία τέσσαρα βαμβύκινα· ἕτερον βιβλίον βαμβύκινον ἔχον ἐξ ἀρχῆς τὴν ἑρμηνείαν τοῦ ρητοῦ Χρυσοστόμου τοῦ, οὗ θέλομεν.

Digitized by Google

ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, καὶ ἑτέρους διαφόρους ἑρμηνείας οὐκ ὀλίγας ὕστερον· βιβλίον μικρὸν ἔχον χαρτίον μέμβρινον, τὸ Σχηματολόγιον.

† Μιχαὴλ ὁ ἐν μοναχοῖς ἐλάχιστος καὶ καθηγούμενος.

Διὰ τῶν δοθέντων βιβλίων ἀπὸ τῆς οὐσίας τῶν κτητόρων, μετὰ τελευτὴν τὴν αὐτῶν παρὰ τοῦ ἐπιτρόπου.

Βιβλίον τὰ Ἀσκητικὰ τοῦ ἁγίου Βασιλείου.

Βιβλίον οἱ Μαργαρῖται.

Ἑρμηνεία τοῦ ἁγίου Βασιλείου εἰς τὸν προφήτην Ἡσαΐαν.

Ἐπιλογὴ τῶν Ἀσκητικῶν τοῦ ἁγίου Βασιλείου παρὰ τοῦ Λογοθέτου.

Ἑξαήμερος τὸ πρῶτον.

Μετάφρασις βαμβύκινος Σεπτέμβριος καὶ Ὀκτώβριος.

Βιβλίον ὁ ἅγιος Διονύσιος λιτόν.

Βιβλίον ὁ ἅγιος Δωρόθεος.

Βιβλίον Νομοκάνων λιτόν.

Βιβλίον τὸ Τετραβασίλειον, δύο Βασιλείας ἔχον· καὶ τὸν βίον τοῦ ἁγίου Ἀνδρέου τοῦ διὰ Χριστὸν Σαλοῦ.

Βιβίον Δακάριον, ἔχον καὶ τὸ θαῦμα τὸ ἐν τῇ Πηγῇ.

Βιβλίον τοῦ ἁγίου Βασιλείου ἀντιρρητικὰ τὰ πρὸς Εὐνόμιον.

Τὰ ἐπικτηθέντα μετὰ τελευτὴν τῶν κτητόρων.

Μεταφράσεις δύο· τὸ μὲν ἓν τὸ πρῶτον τοῦ Ἰαννουαρίου μηνός· τὸ δὲ ἕτερον ἔχον Φευρουάριον, Μάρτιον καὶ Ἀπρίλλιον.

Τετραβασίλειον ἕτερον ἔχον καὶ αὐτὸ δύο Βασιλείας, Παραλειπομένων, καὶ Ἔσδρας.

Καὶ ἕτερον βιβλίον πανηγυρικόν.

Καὶ τὰ προσενεχθέντα μετὰ τελευτὴν τοῦ κτήτορος παρὰ

Digitized by Google

τοῦ μοναχοῦ κυροῦ Ἰωάννου καὶ πνευματικοῦ πατρὸς τοῦ μακαρίτου αὐθέντου ἡμῶν καὶ κτήτορος·

Πατερικὸν τὸ μέγα, κατὰ Ματθαῖον, καὶ τὸ πρῶτον καὶ δεύτερον, καὶ Χρυσοστομικόν.

Καὶ τὰ ἐπικτηθέντα ὕστερον ἐξ ἀγορασίας βιβλία αναγνωστικὰ ἔχοντα διάφορα ἀναγνώσματα τὸ μὲν ἐν ἀπαρχῆς, τὸ πῶς ὑμῖν τὰ ἡμέτερα, καὶ τὰ Κλημέντια, τὸ δὲ ἕτερον ἐνδεδυμένον βλαττίον, ἔχον ἀπαρχῆς τὸν βίον τοῦ Σωτῆρος, Χρυσοστομικὸν κείμενον.

Βιβλίον ἕτερον τὸ δοθὲν παρὰ τοῦ μοναχοῦ Συγκέλλου ἔχον ἀπ' ἀρχῆς Χρυσόστομον καὶ τὸ Λευϊτικόν.

Διὰ τῶν καὶ ἔτι ἐπικτηθέντων μετὰ τελευτὴν τοῦ κτήτορος.

ΔΙΑ ΤΩΝ ΕΞΩΝΗΘΕΝΤΩΝ.

Ἐξωνήθη ἀπὸ τοῦ ἀποιχομένου μαγίστρου κυροῦ Συμεὼν τοῦ Σήθ, βιβλία Μεταφράσεις δέκα. Εὐαγγέλιον ἔχον τὸ ὕφος ξυλότευκτον.

Ἐδόθη δὲ παρὰ τοῦ μαγίστρου κυροῦ Κωνσταντίνου τοῦ Παραβλεπτῆρος, βιβλίον τοῦ κατὰ Ἰωάννην τὸ δεύτερον.

Ἀπὸ τοῦ μοναχοῦ Γρηγορίου ἀνελαβόμεθα βιβλίον ἔχον στιχηρὰ τονισμένα ὡς Εἱρμολόγιον.

Ἀφέθη καὶ παρὰ τοῦ μακαρίτου Βουτουμίτου ἀσημίτια διάφορα.

Καὶ καλδαροπόλιον τὸ δοθὲν παρὰ τοῦ μακαρίτου κυροῦ Νικήτα, ἅτινα δοθέντα ἀνελαβόμεθα· δισκοπότηρον διάχρυσον ἔχον ἔσωθεν τὴν σταύρωσιν, ἱστῶν η'. ἕτερον δισκοπότηρον ἀργυροῦν διάχρυσον ἔχον μέσον σταυρὸν καὶ γράμματα γράφοντα· λάβετε φάγετε. Θυμὸς εἷς ἀργυρὸς· ἀστερίσκος, καὶ λαβίς.

Digitized by Google

Διὰ τῶν δοθέντων παρὰ τοῦ μακαρίτου μοναχοῦ κυροῦ Ἰωάννου καὶ νοταρίου μυστικοῦ καὶ ἐπὶ τοῦ κριτηρίου· Βλαττίον κιτρινοτρίβλαττον, οὗ ὁ ἀὴρ ὀξὺς, ἔχον μῆκος σπιθαμὰς ϛ' καὶ πλάτος ε'. ἕτερον βλαττίον ἐνδυτὸν, πανίον σαρακηνικὸν ἐξέμπλωτον· προσευχάδιον ἀργυροῦν ἔχον ἔσωθεν τίμιον ξύλον χειμευτὸν καὶ ἀγγέλους, καὶ κάτωθεν τὴν Θεοτόκον, τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον, καὶ τὸν ἅγιον Κωνσταντῖνον, καὶ τὴν ἁγίαν Ἑλένην· ἀμφότερα χρυσᾶ χειμευτά· ἔτι δὲ ἡ θήκη ὁλάργυρος.

Ἕτερον βλαττίον κιτρινοτρίβλαττον, ἔχον μέσα γρύψα καὶ περιφέρια ἐσωφόρια· ἡ ποδέα τοῦ Πανοικτίρμονος· ἕτερα βλαττία δύο τὰ κρεμάμενα εἰς τὸν ἅγιον Πρόδρομον ἀγχέμια, τὸ ἓν ἄνωθεν ὀξὺ λευκοτρίβλαττον μετὰ περιφερίων ἐσωφορίων, τὸ δεύτερον κρεμάμενον, κυκλίον μετὰ περιφερίων Ατταλιατικῶν· ποτηροκαλυμμάγιον ζυγίζον λίτραν ἡμ(ετέραν) μίαν· ἀποβλαττίον Καστρίσιον, καὶ μέσα σταυροὺς χρυσοῦς ἠδ(εῖς). Ἕτερον ἀποβλαττίον σαρακηνικοῦ πανίου, τὸ μὲν ἄνωθεν διάχρυσον. . . . . . Χρυσοῦν νατ. . . . . . καρδαροπόλιον ἀργυροῦν ἔχον καὶ τὸ χεῖλος διάχρυσον, περιφέρια καὶ ἀλυσείδια ἀργυρᾶ, καὶ κρατήρ. . . . .

Digitized by Google

Digitized by Google

B.

ΝΙΚΗΤΑΣ ΧΩΝΙΑΤΗΣ.

Digitized by Google

Digitized by Google

Τοῦ σεβαστοῦ λογοθέτου τῶν σεκρέτων καὶ ἐπὶ τῶν κρίσεων, γεγονότος δὲ καὶ ἐφόρου Νικήτα τοῦ Χωνιάτου προφώνημα εἰς τὸν βασιλέα κὺρ Ἰσαάκιον τὸν Ἄγγελον· ἐγράφη δὲ ἄρτι γεγονότος αὐτοῦ κριτοῦ τοῦ βήλου.

Ἀπαίρεις ἐξ ἡμῶν ἐκστρατεύων κατὰ βαρβάρων, θεοείκελε βασιλεῦ, καὶ ἡμεῖς ἑαυτῶν ἀφιστάμεθα τῷ τοῦ σοῦ κράτους πόθῳ κάμνοντες· ἀεικινήτως γὰρ ἔχων ὡς ὁ τῆς ἡμέρας οὗτος λαμπτὴρ ἥλιος, βραχὺ τῆς καθ' ἡμᾶς διϊππασάμενος ζώνης, μεταβαίνεις ἐκ τῆς δε πρὸς πόλιν τὴν βόρειον, τὴν ἐκεῖσε βαρβαρικὴν διασκεδάσων ἀχλὺν, καὶ φλογώεις τῷ ἀντάρτῃ κατὰ κορυφῆς γενησόμενος· ἐπεὶ καὶ ὅπερ ἐν φαινομένῃ ἥλιος τοῦτ' αὐτὸ ἐν ἡμῖν ζωοδόνος τε καὶ φαυσίβιος· ἢ γοῦν μὴ καθαρῶς ἀποψήσας τοὺς ἱδρῶτας τῆς θεοεικέλου σου μορφῆς, καὶ τὴν Ἄρεως σκευὴν ἀποθέμενος καὶ κοσμήσας ἀνακτορικὸν βῆμα κατὰ πολυτελῆ θρόνον βασίλειον, μὴ δ' ἀνοχεύσας τῶν φροντίδων, ἃς ὑπήνεγκας τὰς Ἀλαμανικὰς δολοφροσύνας ἀποκρουόμενος, αὖ πάλιν ἐν αἰθρίᾳ παννυχίζεις καὶ φέρεις τὸν σίδηρον πανημέριος· καὶ χθὲς μὲν καὶ πρὸ τρίτης βασιλικῆς μεγαλονοίας ἔργον εἶναι οἰηθεὶς προκαταληφθῆναι τὰς δι' Ἴστρου

Digitized by Google

καθ' ἡμῶν ἐκβολὰς τῶν Σκυθῶν, τὸ ἐννόημα ἔργον ἐποίησας· καὶ ὁ τῆς Προποντίδος πορθμὸς μικροῦ τοῖς σκάφεσιν ἀπεγαιοῦτο, τὰ νῶτα ὑπ' αὐτῶν καλυπτόμενος· καὶ ἔχει ταῦτα οὐριοδρομήσαντα Ἴστρος ὁ βαθυδίνης περὶ τὰς αὐτοῦ νησίδας σαλεύοντα· καὶ ὁ ποταμὸς οὗτος κροτεῖ ψαλμικῶς ὀψὲ καὶ μετὰ πολλοὺς τοὺς χρόνους ῥωμαϊκοῖς τυπτόμενος ἐρετμοῖς· μικρὸν δ' ὅσον καὶ τὰς τῶν βαρβάρων φωνὰς καὶ ἐπιτρίψεις ἀράμενος, αἱματόεις εἰς Πόντον ἐσεῖται προρρέων τὸν Εὔξεινον, τοῖς ἔθνεσι δι' ὧν ὁλκῇ σύρεται τὰς σὰς ἀριστουργίας διατρανούμενος, ὥσπερ φωνῇ τῇ ἐξ αἱμάτων βαρβαρικῶν τοῦ ῥεύματος βαφῇ χρώμενος, καὶ τοῖς βαρβάροις οἷον ὑποφωνῶν τοῖς φοινικοῖς τὴν καθ' ἡμῶν φονίαν ὁρμὴν καὶ τελείοις αἱμάτων ἀνδράσιν ἀφελέσθαι τὰ κατὰ Ῥωμαίων πονηρὰ διαβούλια, καὶ διαλεχθῆναί σοι τὰ πρὸς εἰρήνην τῷ θεοειδεῖ ἄνακτι, καὶ πρὸς τὴν ταύτης μεταβαλέσθαι λευκότητα, ἵνα μὴ αὐτοὺς κατέδηται μάχαιρα. Καὶ πρώην μὲν οὖν, οὔπω δὲ πάνυ πρώην, τοιούτοις ἔργοις προσανέκεισο· τῷ μὲν δοκεῖν ἐκεχειρίαν ἄγων, τῷ δὲ ὄντι πρὸς νοῦν διαπονούμενος θειοτέρως, καὶ ταῖς ὑπὲρ ἡμῶν φροντίσι βαλλόμενος· νῦν δὲ καὶ στρατιὰν ἄγεις κατὰ βαρβάρων, συνεπαγόμενος τὰς ὑπὲρ Ἀρχιμήδη ἐκεῖνον ἐκπονηθείσας σοι πετροβόλους μηχανάς, τούς τε ὀρυκτῆρας καὶ τοὺς κριούς, καὶ εἴ τι ἄλλο κατερείπειν ἔχει πυργόβαριν. Καλὰ μὲν οὖν καὶ ὅσα κατὰ γῆν σοι καὶ θάλατταν προκατώρθωτο, καλλίω δὲ, σὺν θεῷ δ' εἰρήσθω ὃ λέγεται, καὶ τὰ ἐπ' ἀγαθῇ τύχῃ Ῥωμαίων ὅσον οὐδέπω τελεσθησόμενα· καὶ γὰρ ὁμοῦ καὶ ὕδατι μερίσεις τὰ κατορθώματα, καὶ διὰ πυρὸς καὶ ὕδατος· λέγω δὴ τῆς καυστῆρος μάχης καὶ τοῦ ποταμίου ῥεύματος βασανισθέντες οἱ βάρβαροι, τέλος ἀπειπόντες, τὸν τοῦ σοῦ κράτους ζυγὸν ἐπέλθωσιν ὡς ἀναψυχήν. Ταῦτα δέ μοι φαντάζεσθαι δίδωσιν οὐκ ἄλογος ἔφεσις καὶ ἐλπὶς ἀόμματος καὶ ἀτέλεστος, ἀλλ' ἡ περὶ ἡμᾶς ἐπισκοπὴ τοῦ θεοῦ καὶ τὸ σὸν ἐν μάχαις

Digitized by Google

γενναῖον καὶ ἀεὶ κατορθωτικόν. Ἐπειδὴ καὶ ἅπερ πρότερον τῷ Δαβὶδ ἀτεχνῶς καὶ σοὶ θεόθεν ἐπήγγελται νῦν καὶ τετέλεσται, καὶ οὔτε ἐν σοὶ ἐχθρὸς ὠφελεῖ, οὔτε υἱὸς ἀνομίας προτίθησι τοῦ κακῶσαί σε. Οὐκοῦν καὶ ἣν μετὰ τὰς λαμπρὰς νίκας ἐπὶ τῶν πρώην αὐτοκρατόρων τὸ ὑπὸ χεῖρα εἶχε διάχυσιν, ταύτην ἡμεῖς αὐχοῦμεν καὶ πρὸ τοῦ τοῖς βαρβάροις ἐπιστῆναί σε μαχεσόμενον, οὐκ ἐπ' ἔλαττον ἧς καρπούμεθα ἡδονῆς μετὰ τὴν σὴν ἐκεῖθεν ἐπάνοδον· ἴσμεν γάρ, ἴσμεν τῷ συνεθισμῷ τῶν τροπαίων καὶ τῷ γε ἐπὶ σοὶ τῆς νίκης ἀμεταμείπτῳ, ὡς καὶ τῆς νῦν μελετωμένης κατ' ἀντιπάλων συμπλοκῆς πέρας ἔσεῖται δήπουθεν δεξιόν, καὶ διπλῆν εὐφροσύνην ἐφ' ἑκάστῃ σου τῶν πράξεων ἄγομεν· ἀρχομένῃ τε παιανίζοντες, καὶ ληγούσῃ κροτοῦντες χαρμόσυνα· ὥς τε εἰ μὴ τοῦτ' αὐτὸ μόνον τὸ ἐξ ἡμῶν ὁποσονοῦν σε διΐστασθαι μέσως τῆς καρδίας καθήπτετο, ἅπαντα ἂν τὸν τῆς σῆς κατὰ βαρβάρων ἐκδημίας χρόνον πανήγυριν ἤγομεν· τί γὰρ ἂν καὶ δράσειεν ὁ μαστιγίας καὶ τρίδουλος τοῦ ἀληθοῦς δεσπότου κατ' αὐτοῦ ἐπιόντος σου, νικητικώτατε βασιλεῦ; ἢ τί ποιήσειε χύτρα πρὸς λέβητα; Πάντως ἐρεῖ μὲν τοῖς ὄρεσι πεσεῖν ἐπ' αὐτὸν καὶ τοῖς βουνοῖς καλύψειν αὐτόν, ἐφ' ὧν ἐχρηστηρίαζε τὰ ἀπόρρητα· ἐξερευνηθήσεται δὲ καὶ καταληφθήσεται ὑπὸ τῶν σῶν στρατευμάτων, ὅσα καὶ ὑπ' ἀγαθῶν θηρευτῶν τοῖς θάμνοις ἐνθαπτόμενον κνώδαλον· ἔτι βραχὺ καὶ ζητηθήσεται ὁ τόπος αὐτοῦ καὶ οὐχ εὑρεθήσεται, κἂν κατὰ τὸν ἑωσφόρον ὁ δαιμονόληπτος θήσας τὸν θρόνον ἐκόμπασεν, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, καί σοι τῷ ἀντιθέῳ ἄνακτι Σατὰν καὶ ἀντίθρονος ἔσεσθαι. Ἀλλὰ φιλοχριστότατε βασιλεῦ καὶ τῶν πώποτε αὐταρχησάντων μετὰ τοῦ ἐπικρατοῦς φιλοκινδυνότατε ὁμοῦ καὶ μεγαλοκινδυνότατε, ἐπειδήπερ ὅλῳ ῥυτῆρι κατὰ τῶν βαρβάρων ὁρμᾷς ἀνταποδώσων αὐτοῖς τὸ ἀνταπόδομα αὐτῶν πολλαπλάσιον, καὶ οὐκ ἀπάγουσί σε τῆς ὑπὲρ ἡμῶν ταυτησὶ ποθήσεως οὐ κάματοι καὶ ἀγῶ-

Digitized by Google

νες ἀγχώμαλοι, οὐκ ἐπιτολὴ κυνὸς, οὐ σειρίου φλόγωσις, οὐκ ἀποτόμων καὶ δυσεμβόλων ὕψη ὀρῶν, οὐ στενὴ καὶ ἀνάντης ὁδοιπορία, οὔτε τι τῶν ἁπάντων ἕτερον· τὸ γοῦν παρ' ἡμῖν ταύτας σοι τὰς προπεμπτηρίους φωνὰς προσᾴδομεν τὸ ὑπήκοον· ἐξαποστεῖλαι σοι κύριος βοήθειάν ἐξ ἁλίου, ὄρη ὁμαλίζων, εὐπόρευτα τιθεὶς τὰ δυσπόρευτα, πύλας χαλκᾶς συντρίβων, καὶ μοχλοὺς συνθλῶν σιδηροῦς· ἡμέρας ὁ ἥλιος μὴ συγκαύσαι σε, μὴ δὲ ἡ σελήνη νυκτός· εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε, γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ὁ τοῦ κυρίου ἄγγελος σὺ, καταδιώκων καὶ ἐκθλίβων αὐτούς· ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος· ἔθνος γάρ εἰσι βουλὴν ἀπολωλεκὸς, ἐκπορνεῦσαν ἐν τοῖς ἐπιτηδεύμασι σφῶν, θεοῦ τε σωτῆρος τῇ παραβάσει τῶν ὅρκων ἀφεστηκὸς, καὶ βασιλέως ἰσοθέου πολλάκις καταψευσάμενον τὸ ὅλον, σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν· καὶ συμπεράνας τὰ κατὰ τοὺς ἀποστάτας καὶ τοὺς ἀντιπόρθμους αὐτοῖς Σκύθας κατὰ τὴν βούλησιν τῆς ἐν χειρὶ θεοῦ βασιλικωτάτης καρδίας σου, ἐπαναζεύξαις ὁ ἡμέτερος δημαγωγὸς κατὰ τὸν πάλαι Μωσῆν ὅλος θεοειδὴς ἐκ τῶν τοῦ Αἵμου τεμπῶν ὡς ἐξ ἑτέρου Σινᾶ, τὰς τῶν βαρβάρων ψυχὰς ἀπολαξεύσας εἰς τὸ εὐϋπότακτον ὅσα καὶ ἐγχειριδίῳ τῷ σῷ φοβερῷ δόρατι, καὶ τὸν τῆς προτέρας δουλείας νόμον ἐγχαράξας αὖθις αὐταῖς ὡς ἐν ἄλλαις λιθίναις πλαξί· καὶ παρασταίη σοι ἐκ δεξιῶν νίκη μεγάλη τε καὶ περιφανὴς, ὡς ἄλλη τις εὐδαίμων βασίλισσα, ὡς ἂν ἡμεῖς τὸ ὑπὸ χεῖρα τὸ ταῦτ. . . . πρόσωπον λιτανεύσωμεν, οὐχ οἱ τοῦ λαοῦ πλούσιοι μόνοι, ἀλλ' ἤδη καὶ ὁ σύρφαξ ὄχλος καὶ ξύγκλυς κοινῶς τελοῦντες τὸν θρίαμβον· ἐπὶ δὲ τούτοις ὁ θρόνος σου εἴη εἰς τὸν αἰῶνα, καὶ αἱ ἡμέραι σου ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ, καὶ τὸ κράτος σου πολυχρόνιον.

Digitized by Google

Τοῦ αὐτοῦ ἐπαναγνωστικὸν εἰς τὸν πατριάρχην καὶ τὴν σύνοδον· ἐγράφη δὲ ἔτι ὄντος αὐτοῦ γραμματικοῦ βασιλικοῦ καὶ συνεκστρατεύοντος βασιλεῖ.

Χάρις καὶ πάλιν θεῷ τῷ καὶ κατὰ τῶν ἀνθεστηκότων καὶ ἀλλοτρίων υἱῶν τῶν Σκυθῶν ἐπιφιλοτιμησαμένῳ νίκος τῇ βασιλείᾳ μου· εἴη δὲ ηὐλογημένον καὶ τὸ αὐτοῦ ὄνομα, τοῖς ἐχθροῖς μου διδόντος νῶτα καὶ πάντα πολέμιον ταπεινοῦντός μοι· ὁ γὰρ παντοκρατορικῇ περιέπων τὴν βασιλείαν μου δεξιᾷ ἐν πολέμῳ, ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ, ἐν τοῖς ἔνδον καὶ θυραίοις κακοῖς, τοσοῦτον ἐμεγάλυνε τοῦ ποιῆσαι μετ' αὐτῆς ἔλεος, ὡς ἔτι ἐπὶ τοῖς προτέροις αἴνεσιν αὐτοῦ τῷ στόματι φέρουσαν καὶ μήπω καθαρῶς εὐχαριστήσασαν ἐπ' αὐτοῖς, ἑτέροις κατὰ πόδας καινοτέροις ὑψοῦν καὶ κατὰ βαθμίδωσιν ἀνάγειν οἷον τοῖς μείζοσιν, ὡς μὴ εἶναι ὅτε οὐχί· πρότριτα μὲν γάρ, καθάπερ φθάσαντες ἐνηχήθητε εἰς ἀκοὴν ὠτίου ἀνελιχθέντων τῶν χαροποιῶν ἐκείνων καὶ εὐαγγελίων γραμμάτων τῆς βασιλείας μου, ἡνίκα ἡ τῶν ποτὲ βασιλὶς παιάνων ἔμπλεως ἦν, καὶ παρὰ στενωποῖς τε καὶ ἀγυιαῖς ἐθύετε θεῷ εὐχαριστήρια, ἐφ' ὑψηλὰ ἐτίθει τοὺς πόδας μου, καὶ πάντα βουνὸν ἐταπείνου τῇ βασιλείᾳ μου, μετατιθεὶς εἰς εὐθέα τὰ σκολιὰ καὶ παρέχων εὐπόρευτα τὰ δυσπόρευτα, καὶ ψηλαφητὸν οἷον τοῖς ἀποστάταις σκότος κατεσκεδάζετο· τῷ ποιοῦντι κατὰ τὸν προφήτην ὄρθρον καὶ ὁμίχλην καὶ ἐπιβαίνοντι ἐπὶ τὰ ὕψη τῆς γῆς. Καὶ οἱ μὲν τῶν ὑπεναντίων μαχαίρας ἔργον γενόμενοι ἔκειντο κατὰ βοσκήματα σφακελίζοντες, οἱ δὲ δεσμοὺς ἕως τραχήλου ὑπήνεγκαν καὶ δραπέταις οἰκέταις ἐπίσης ᾐκίζοντο· οἱ δὲ φυγῇ τὴν σωτηρίαν πριάμενοι, τέλος ἐλέῳ περισωθέντες τῆς βασιλείας μου, ἃ δι' εὐχῆς οὐκ ἤλπιζον ἔχοντες, ταῦτα καὶ ὑπὲρ εὐχὴν ἀπροσδοκήτως ἐλάμβανον. Καὶ χθὲς μὲν καὶ πρὸ τρίτης τοιού-

Digitized by Google

τοις ἐθαυμάστωσε κύριος τὰ ἡμέτερα· τὰ δὲ νῦν πάντα, εἰ μὴ καινότερα, τοῖς γοῦν προλαβοῦσι κατάλληλα, καὶ θεοῦ περὶ ἡμῶν κηδεμονίαν ἐμφαίνοντα· ὅσῳ καὶ ἡ τῶν βαρβάρων ὁμήγυρις αὖθις ἀπιδοῦσα πρὸς ἔργα νεώτερα τοῖς αὐτοῖς οἷς καὶ πρότερον περιπέπτωκε δυσπραγήμασι, καὶ οἱ κατ' ἐπικουρίαν ἔξωθεν αὐτοῖς συναράμενοι, κακοὶ κακῶς συναπώλοντο. Ὁ γὰρ δαιμονόληπτος τῷ ὄντι Πέτρος, ὁ κακῇ μοίρᾳ τῶν κατὰ τὸν Αἷμον οἰκούντων βαρβάρων καὶ φὺς καὶ τραφείς, καὶ εἰς ἀποστασίαν ἀνιδών, ὡς μὴ ὤφελε, τὴν δίκην τῇ προτεραίᾳ διαδρὰς καὶ παραλόγως διασωθείς, τὸν σύνοικον αὐτῷ μιμεῖται δαίμονα· οὐ φέρει τῶν συνήθων διατριβῶν, ὡς ἐκεῖνος τοῦ ἀνθρωπείου σώματος ἀποσπώμενος· οὐκοῦν καὶ τὴν ἐν ποταμοῖς γλυκεῖαν θάλασσαν Δάννουβιν διελθών, ἀνδράσι χοιρώδεσι τοῖς Σκύθαις συμμίγνυται, φθέγγεται ὅσα οἱ βουλομένῳ· ἦσαν δὲ ταῦτα· ὡς ἡ μὲν βασιλεία μου ἤδη γέγονε παλιμπόρευτος, καὶ ὁ ῥωμαϊκὸς οἴκαδε στρατὸς ἐπανέζευξε, φρουρὰ δέ τις περὶ τὰ κατὰ τὸν Αἷμον ἐγκαταλέλειπται φρούρια, μόνη μὲν πρὸς μόνους τοὺς ἐκεῖ ἀπρόσμαχος, εἰ δὲ καὶ αὐτοὶ συναρήξαιεν, οὐκ ἀρκέσουσα· καταλέγει καὶ μισθὸν ἐπὶ τούτοις, αὐτοῖς· ὁ δὲ, ὡς λίαν τῇ γνώμῃ τῶν βαρβάρων συμβαίνων τε καὶ ἀσπάσιος, διεχυθῆναι μὲν ἀπραγμόνως τῶν τοῦ Αἵμου τεμπῶν, ἀναπετασθῆναι δὲ καὶ Πύλας τὰς Σιδηρᾶς, καὶ τὸ μακρὸν τεῖχος ἀπαρεμποδίστως ἐκείνους παραδραμεῖν, καὶ διὰ στενῆς ταύτης καὶ δυσεξόδου παρόδου εἰς πλατυσμὸν προελθεῖν, καὶ καταδραμεῖν τὰς χώρας τῆς βασιλείας μου, κἀντεῦθεν τὰ δράγματα Ῥωμαίων τίλλειν τοῖς ξίφεσι καὶ τὰς κτήσεις αὐτῶν ληΐζεσθαι, μὴ κάρπωμα διδόντας τοῖς ἡγεμόσι τῆς ὁδοῦ, μὴ κατατιθεμένους μίσθωμα· αὐτὸν δὲ ὡς ἀλάστορα δαίμονα αἵμασι καὶ θρήνοις διακεχύσθαι χριστιανῶν καὶ θέλγειν ἐντεῦθεν τὸ τῆς ψυχῆς ἡδόμενον. Καὶ ὁ μὲν Πέτρος τοιαῦτα τοῖς Σκύθαις καὶ ἐπηγγείλατο καὶ ἐφθέγξατο· οἱ δὲ ὡς ἕρμαιον τὰς τοῦ

Digitized by Google

ἀποστάτου εἰσηγήσεις δεξάμενοι, ἀγεληδὸν καὶ κατὰ τὰς ἐαρινὰς μελίσσας ὡρμήθησαν. Ἔθνος δέ εἰσιν οὗτοι ἀσεβὲς ὁμοῦ καὶ πολυσεβὲς καὶ χειροτονοῦν θεὸν τὸ πρῶτον ὀφθέν· πτωχικὸν μὲν καὶ σισυροφόρον, μαχιμώτατον δὲ καὶ βίον τὴν ληστείαν ποιούμενον, καὶ θανάτου παντὸς ὑπεροπτικόν· σκευὴ δὲ αὐτοῖς ἐν πολέμῳ, γωρυτὸς ἐπὶ τῆς ἰξύος ἐγκάρσιος καὶ τόξον παλίντονον· ἐνστάντος δὲ τοῦ μάχεσθαι καιροῦ, ἱππασμὸς ὁμοῦ καὶ βοὴ καὶ βολή· ἐπιόντας ὑποφεύγουσι, καὶ ἀπιόντες φθάνουσι, καὶ παρὰ τὴν φυγὴν αὐτὴν ἀπεστραμμένοι εἰς τοὐπίσω τοῖς τόξοις βάλλουσι· τῷ δ' αὐτῷ ἵππῳ φέρβονταί τε καὶ φέρονται. Εἰς χιλιάδας οὖν ἀριθμηθέντες καὶ παραμείψαντες τὸν Αἶμον ταῖς ἐπὶ τῶν αὐτοῦ κρασπέδων ἡμετέραις προσβάλλουσι κωμοπόλεσιν· ἡγεμόνες δὲ αὐτοῖς τῆς ὁδοῦ καὶ τῆς μάχης συλλήπτορες οἱ ἐκ τῶν Βλάχων ἀπιδόντες εἰς τὸν πρότερον ἔμετον, οἱ μεταστραφέντες εἰς τόξον στρεβλὸν, εἰς οὓς ὡς εἰς πετρῶδες καὶ ἄνικμον γήδιον ἡ βασιλεία μου τὸν ἔλεον σπείρασα τὴν τούτου ἀνηνύτως πεποίηκε καταβολὴν, ἡ ἄπιστος αὕτη καὶ μοιχαλὶς γενεὰ, ἡ ὡς δάμαλις παροιστρήσασα, ἡ ὑβρίστρια, ἐφ' ἣν καὶ θεὸς ὁ τῶν ἐκδικήσεων κύριος οὐ χρονιεῖ παρρησιαζόμενος, ὡς μηκέτι τῶν ἀνοσίων ἔργων αὐτῆς ἀνεχόμενος. Ληλατοῦσιν οὖν τὰ ἐν ποσὶ, πᾶν εἶδος κακῶν ἐπάγουσι, σφάττοντες, ἀπόλλοντες, πυρὸς τιθέμενοι παρανάλωμα· ἐν δὲ τῷ καὶ θᾶττον ἀκοῆς κατὰ τῶν ἡμετέρων παρεμβαλεῖν χωρῶν, μηδένα γενναῖον ἐκ τοῦ σχεδὸν ἀντίπαλον ἐφευρίσκοντες, ἐμπλατύνονται καὶ κατὰ τῶν ἐν τοῖς πεδίοις συγκτήσεων, καὶ γίνονται καὶ τούτων τινὲς ἀνάστατοι παρ' αὐτῶν. Μαθοῦσα δὴ ταῦτα ἡ βασιλεία μου ἀγαθὸν οὐδὲν ἐπὶ τοῖς μέλλουσι προορωμένη, καὶ ὡς εἰς κίνδυνον ἐλαύνει τὸν ἔσχατον τὰ παρὰ τῶν ἐθνῶν γινόμενα τουτωνὶ, τῇ ἀκοῇ τῶν ἀπευκταίων ἐπισυνάπτει τὴν ἔξοδον, μὴ δ' ἀσπάσασθαι τὰ ἐξιτήρια, ἢ δεξιὰν γοῦν φθάσασα ἐμβαλεῖν, οἷς ἔδει καὶ τοῦτο

ποιῆσαι τὴν βασιλείαν μου, εἴτ' οὖν ἐπηῦχθαι παρ' ὑμῶν αὐτοψεὶ μετὰ βελτίονος τῆς νίκης ἐπανελθεῖν, ἀλλὰ τὰ τῆς ἀποδημίας, καθάπερ καὶ ὑμεῖς ἴστε, ὡς εἶχεν εὐθὺς σχεδιάσασα μὴ δὲ τοὺς ἐπὶ τῆς θεραπείας αὐτῆς ἀναμείνασα· ἡ γὰρ μέριμνα τοῦ ἔθνη ἄνομα εἰς τὴν τοῦ θεοῦ κληρονομίαν καὶ δι' αὐτοῦ τῆς βασιλείας μου εἰσελθεῖν, οἷά τις δαυλὸς ἐπίπρα τὴν βασιλείαν μου· ἀμέλει καὶ συνήλγει τοῖς κακουμένοις κἂν τῷ ἀπεῖναι καὶ τοῖς πάσχουσι κακῶς ὑπὸ βαρβάρων συνεπαθαίνετο· καὶ ἡ μὲν βασιλεία μου συντείνειν ἠβούλετο τὴν πορείαν, καὶ εἰ οἷόν τε ἦν τέτρασιν ἡμέραις καταλήψεσθαι τοὺς βαρβάρους ἠπείγετο, καὶ συμβαλεῖν αὐτοῖς ἐπὶ συμμάχῳ θεῷ ἐγλίχετο· οἱ δὲ συνεπόμενοι ταύτῃ βραχεῖς τὸν ἀριθμὸν προσγενεῖς καὶ τὸ ἄλλως ὑπουργικὸν, ἐπέσχον τῆς συντόνου ὁρμῆς, μὴ ἐξεῖναι σφίσι τῇ βασιλείᾳ μου συμπορεύεσθαι φήσαντες, οἷα τῶν σκευοφόρων ἡμιόνων καὶ τῶν ἵππων οἷς ἐποχοῦνται ταλαιπωρησάντων, καὶ αὐτῶν δὲ ἀποκναιόντων πρὸς παρασάγγας τοσαύτας ὁδοῦ· οὕτως οὖν σχολαίτερον μὲν τῆς προθυμίας, συντονώτερον δὲ τῶν συνήθων ἡμερησίων σταθμῶν μέχρι καὶ εἰς αὐτὴν τὴν Ἀλλαγὴν διοδεύσασα· κτησείδιον δέ ἐστιν αὕτη κατὰ τὴν Θρᾴκην κείμενον· παραρρεῖ δὲ αὐτῇ ποταμὸς Ταυρόκανος ὄνομα· ἀγγελιαφόρῳ περιτυγχάνει, ὃς οὐκ ἐκ περιόδων οὐδὲ κυκλούμενος τοῖς λόγοις, ἀλλὰ βραχυλογῶν ἐφθέγγετο φάλαγγα Κομάνων κατὰ Βαστέρνας αὐλίζεσθαι· καὶ ἡ βασιλεία μου σημάνασα τῇ σάλπιγγι μὴ περαιτέρω πορευθῆναι τὴν σκηνὴν αὐτῆς, τῷ ἐπιλοίπῳ μὲν τῆς ἡμέρας ἐκείνης χρᾶται πρὸς παρασκευὴν τῶν παρευρεθέντων εὐαριθμήτων στρατιωτῶν, μεταδοῦσα ἵππων ταχυπόδων τοῖς μὴ ἔχουσι· τῇ δ' ἐπιούσῃ, ἦγε δὲ τότε ὀγδόην ὁ παρὼν ὀκτώβριος μὴν, οὐδ' εἰς βραχὺ γοῦν ὑπερθεμένη, πρωϊαίτερον τῆς κατὰ ἐναντίων φερούσης ἅπτεται, τὰ ἱππάσιμα μόνον ἐπαγομένη· οὔτε γὰρ σκηνὴ βασίλειος, οὔτε κλίνη χρυσόπαστος, οὔτε σκίμπους βασιλι-

Digitized by Google

κὸς, οὔτε πέπλοι χρυσοῦφεῖς συνεπήγοντο· ἀλλ' εὐζωνότερον ὡς εἶχεν ἐπήλαυνε τῷ τάχει τὴν ἀπόδρασιν τῶν πολεμίων φθᾶσαι θέλουσα· ἀλλ' ἦν ὡς ἔοικε τὸ βάρβαρον, καὶ προσβαλεῖν ὀξὺ καὶ ἀποδράναι ταχύτερον, καὶ ἀκοῇ μόνῃ τῷ δέει ἐκθνῆσκον ὡς ἔδειξεν· ὑπὸ γὰρ τῆς ἀπτέρου φήμης ἐνωτισθὲν ὡς ἐγγὺς αὐτῶν καὶ κατὰ πόδας ἡ βασιλεία μου ἔπεισι, προτροπάδην καὶ ἀκόσμως ὡς ἐνὶ ῥυτῆρι καὶ πνεύματι ἔφυγον τρέχοντες τὸν περὶ ψυχῆς, καὶ ἀγαπητὸν κρίνοντες εἰ τὰς ἡμετέρας χεῖρας διαδράσουσι κακῶν ἀθιγεῖς· ἡ γοῦν βασιλεία μου τὰ κατ' αὐτοὺς οὕτως ἔχειν ἐκ τῶν ἀποσταλέντων ὀπτήρων καταμαθοῦσα, τῇ συλλογῇ τῶν στρατευμάτων ἔτι μᾶλλον προσανέχουσα ἦν· τοίνυν καὶ μέρος δεξαμένη τῆς στρατιᾶς καὶ τῷ πανευγενεστάτῳ γαμβρῷ τῆς βασιλείας μου κυρῷ Ἀνδρονίκῳ τῷ Καντακουζηνῷ παραδοῦσα καὶ πρὸς φυλακὴν τῶν κατ' Ἀγχίαλον χωρῶν τῆς βασιλείας μου τοῦτον ἐκπέμψασα, τῆς εἰς Βερόην ἀγούσης εἴχετο, εὖ διαθησομένη καὶ τὰ ἐκεῖ· ἀλλ' οὔπω παρασάγγας ἠνύκει τέσσαρας, καὶ ἕτερος ἄγγελος τῇ βασιλείᾳ μου πρόσεισι, χλωρὸς ὑπὸ δέους καὶ τὸ ἆσθμα συχνάκις ἀνακαλούμενος, κἀπὶ τοῦ προσώπου φέρων τὸ τῆς ἀγγελίας κακόν· καὶ ἔλεγε καὶ αὐτὸς ἁπλῶς καὶ σαφῶς, Σκυθῶν ἔφοδον περίπου τοὺς χιλίους γεγονέναι κατὰ τὸν Λαρδέαν, μὴ εἰδὼς ὃ ἐλάλει· οὗτοι γὰρ καὶ ὑπὲρ τοὺς ἑξακισχιλίους ἦσαν, ὡς ὕστερον δέδεικται· αὖθις οὖν ἐκκλίνασα ἣν ἐβάδιζε, τὴν εἰς τοὺς πολεμίους ἐτράπετο, μὴ δὲ καθαρῶς τῶν ἀγγελλομένων κατακοῦσαι προσμείνασα, τὸ τοῦ σταυροῦ δὲ σημεῖον διατυπώσασα ἑαυτῇ καὶ τοῖς παροῦσιν ἕπεσθαι διαγγείλασα· ἕρμαιον γὰρ τὴν τῶν βαρβάρων ἡγεῖτο θρασύτητα, καὶ πεποιθυῖα ἦν τῷ θεῷ, ὡς καὶ παρὰ πρώτην ἐμβολὴν αὐτοὺς ἡττήσασα διαχρήσεται. Εὐθὺς οὖν εἰς μοίραν τὸ παρατυχὸν στρατιωτικὸν διελοῦσα, καὶ τὸ μὲν τῷ περιποθήτῳ ἐξαδέλφῳ τῆς βασιλείας μου τῷ πρωτοστάτορι κὺρ Μανουὴλ τῷ Καμύτζῃ, τὸ

Digitized by Google

δὲ ἄλλοις συμπαρεῖναι κελεύσασα, καὶ διελθοῦσα ὑπὲρ τοὺς πεντήκοντα σταδίους, καταλαμβάνει περί τι χωρίον τὸ βάρβαρον αὐλισθὲν καὶ τὴν λείαν κύκλῳ παραθέμενον· ἦν οὖν τὸ μὲν πλῆθος τῶν ἀπαγομένων ἀνθρώπων ὑπὲρ χιλιάδας τὰς ιβ', τὸ δὲ τῶν ζώων ὑπὲρ ἄστρων τὴν πολυπλήθειαν, ὡς μέχρι καὶ τῶν ἓξ σταδίων τὴν σειροειδῆ τούτων ἀπαγωγὴν ἐκτείνεσθαι, ἡνίκα διακεκινήκει τὸ βάρβαρον τραπόμενον εἰς φυγήν. Ὡς δὲ ἐθεασάμεθα καὶ ἐθεάθημεν, παραδόντες οἱ Σκύθαι τὴν αἰχμαλωσίαν τοῖς κατ' ἐπειγωλὴν ἀπάξουσιν αὐτὴν ἐν τοῖς ἔμπροσθεν, οἱ λοιποὶ τοῖς ἡμετέροις συμπλέκεσθαι ἤρξαντο, ὑποφεύγοντές τε ἅμα καὶ ἐπιτιθέμενοι, ὥς περ δὴ τρόπος αὐτοῖς ἐν τῷ μάχεσθαι· ἤνυον δὲ οὐδέν· τὸ γὰρ ἡμέτερον παντοίοις ὁπλομαχίας εἴδεσι κατ' αὐτῶν ἐπιόν, καὶ ἐκ τόξων αὐτοὺς ἀνῄρουν καὶ διέπειρον δόρασι, καὶ γυμνοῖς τοῖς ξίφεσιν ὡς δράγματα κατέβαλλον ἐπὶ γῆς· καὶ τέλος ἀπογνόντες τὴν σωτηρίαν ἀνάκρατοι ἔφευγον, μὴ μόνον τῆς ἀπαγωγῆς τῶν σκύλων οὐδένα λόγον θέμενοι, ἀλλὰ καὶ τὰ οἰκεῖα προσαποβαλλόμενοι· ἦν γὰρ ἰδεῖν ἵππον μὲν ἐνταῦθα ἄνετον Σκυθικὸν, ἐκεῖθι πῖλον παρερριμμένον, ὡδέ που ἀναβολέα, ἀναξυρίδα σύνεγγυς· ὑπὸ γὰρ δέους εἰς τὸ ταῦτα δρᾶν συνηλάθησαν· παρετάθη δὲ αὐτῶν ἡ ἐπιδίωξις καὶ ἀναίρεσις καὶ ὑπὲρ σταδίους ἑξήκοντα· καὶ τάχ' ἂν τελέως ἀναίμακτον τρόπαιον ἡ βασιλεία μου ἔστησε, μηδένα τῶν αὐτῆς ἀποβαλλομένη, καὶ οὐδὲ πυρφόρος διέσωστό τις τῶν πολεμίων, εἰ μὴ τὸ μὲν ἡμέτερον ἀναθαρρῆσαν κατὰ σὺν δύο καὶ σύντρεις καὶ ὀλιγίστους ὀπίσω τῶν Σκυθῶν κατέθεον σποράδες τοὺς βαρβάρους διώκοντες, καὶ ταῦτα τῆς βασιλείας μου πολλάκις ἀνακαλεσαμένης αὐτοὺς, καὶ κατὰ συνασπισμόν τε καὶ συνδρομὴν ὑποθεμένης ποιεῖσθαι τὴν συμπλοκὴν, τοῖς δὲ ἡττημένοις Σκύθαις ἑτέρα τις μοῖρα κατὰ τύχην ἐπεβοήθησε ξύμφυλος εἰς χιλίους καὶ ἔτι πρὸς ποσουμένη, καὶ ἐπιθεμένη ἀπροόπτως τοῖς ἐκ τῶν ἡμετέρων ἀσυντάκτως ἐπιδιώκουσιν· ἐκ γὰρ τῆς τού-

Digitized by Google

των ἀπροσδοκήτου βοῆς τε καὶ ἐπελεύσεως, ὁ τῆς βασιλείας μου στρατὸς διαταραχθεὶς πτοίας ἐπέπληστο καὶ τὰ νῶτα μετέβαλεν· οἱ δὲ ἐπέκειντο ἤδη λαμπρῶς καταθέοντες, καὶ γυμνώσαντες τὰ ξίφη καὶ τοῖς ἵπποις ἐγκελευσάμενοι, κατέφερον οἷς ἂν προσεπέλαζον· κἂν εἰς χείριστόν τι τὰ τότε μετήμειπτο, καὶ ἀντίποινα ἂν ἐπεπόνθημεν ὧν ἐδράσαμεν, εἰ μή μέγα τι καὶ ἀθρόον ἡ βασιλεία μου ἐκβοῆσαι τοῖς συνεπομένοις βραχέσιν ὑπέθετο, καὶ τῇ κατ᾽ αὐτῶν ὁρμῇ καὶ τῷ δούπῳ τῶν ἀσπίδων τὸ βάρβαρον κατεβρόντησε, καὶ ἀγαθὸν καὶ τοῦτο τέλος ἐπέθηκεν· ἐκ γὰρ τῶν βασιλικῶν σημείων ὁπόσα εἰς δρακόντειον θέαν εἰκόνισται παρεῖναι διεγνωκότες τὴν βασιλείαν μου καὶ τὴν κατ᾽ αὐτῶν οὐχ ὑποστάντες ἐπέλευσιν, μεταστραφθέντες ἀκόσμως ἐδραπέτευον, διασπαρέντες ἄλλος ἄλλοθι, καὶ θήραμα τοῖς ἐκ τῶν ἡμετέρων εὐΐπποις ἐκκείμενοι προχειρώτατον· τότε τοίνυν καὶ εἰς ἑκάκου πολλούς, καὶ δύο τοῖς ὑπὲρ ἀριθμὸν τὸν δέκατον ἐπετίθεντο· καὶ εἰ μὴ νὺξ ἐπελθοῦσα τινὰς διεσώσατο, οὐδ᾽ ὁ τὴν τοῦ κακοῦ ἀγγελίαν ἀποκομίσων ὑπολέλειπτο ἄν. Τὰς δ᾽ ἐπὶ τούτοις θεοχλυτήσεις ὑπὲρ τῆς βασιλείας μου τῶν ἀπαγομένων μὲν εἰς δουλείαν ἐκ τῶν ἡμετέρων συγκτήσεων, ἀπολαβόντων δ᾽ αὖθις ἦμαρ ἐλεύθερον, πῶς ἐν βραχεῖ τις καὶ διηγήσαιτο; Ἐθεάσατό τις τῷ τότε τὸ δάκρυον ὑπεκκρουόμενον γέλωτι, καὶ γέλωτα δακρύων ὑπεξιστάμενον, καὶ πάθει μεθιστάμενον πάθος· οἶδα γὰρ οὐ μόνον λύπην δάκρυ γεννᾶν, ἀλλὰ καὶ χαρὰ παράλογος τὴν ὁδὸν ὀχετηγεῖ τοῖς δακρυρροήμασιν. Ηὐλόγησε δὲ τὸν θεὸν καὶ παρθένος φυγοῦσα Σκύθην διακορήσοντα, καὶ γυνὴ τὴν κοίτην οὐχὶ ῥυπάνασα, καὶ πᾶς καὶ πρεσβύτης καὶ ἔφηβος δουλείας ἀνειμένοι βαρβαρικῆς· εἰ δὲ παρὰ τῷ Δαβὶδ καὶ κτήνη πρὸς ὑμνῳδίαν παραλαμβάνονται, οὐδ᾽ αὐτὰ κοινῆς ὑμνολογίας ἀπεῖναι εἴπέ τις ἄν, βουθοίναν ἐξαλύξαντα βάρβαρον καὶ κρεωβόρον οὐχ αἱμάξαντα μάχαιραν. Ταῦτα ὁ τῶν θαυμασίων θεός, ὁ

Digitized by Google

τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἐπιστρέφων οὐ μετὰ λύτρων, οὐ δὲ μετὰ δώρων, ἀλλ' ἐν βραχίονι ὑψηλῷ· δεξιὰ γὰρ Κυρίου καὶ νῦν ἐποίησε δύναμιν· ὃς τῷ οἰκείῳ δίδωσι δόξαν ὀνόματι, καὶ τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τῶν κλήρων τῶν δικαίων οὐ τέλεον ἀφίησιν εἰς μαστίγωσιν. Τούτων οὖν τῆς χαρᾶς κοινοὺς ἡμᾶς ποιοῦσα ἡ βασιλεία μου, τῷ παρόντι ἐπιτροχάδην ἐπιδεδήλωκε τὰ συμβάντα γράμματι, ἵν' ἔχοιτε μὲν εἰδέναι ὅσα περ γεγόνασι, λιτάζησθε δὲ συντονωτέρως τὸ θεῖον, καὶ ὑπὲρ μειζόνων τῶν κατορθώσεών· δύνανται γὰρ εὐχαὶ δικαίων καὶ χειρῶν ἁγίων ἐκτάσεις τρέπεσθαι μυριάδας, ὡς ἂν ἀσεβῶν μὲν σπέρμα μὴ παύσαιτο ἐκτριβόμενον, ζήσωσι δὲ βίοτον ἀστασίαστον οἱ θεῷ διὰ πίστεως πλησιάζοντες· ἐπεὶ καὶ τὸ νῦν τελεσθὲν ὑμεῖς μὲν θεόθεν ᾐτήσασθε, αἱ δὲ χεῖρες τῆς βασιλείας μου ἐξειργάσαντο;

Τοῦ αὐτοῦ λόγος εἰς τὸν αὐτοκράτορα κῦρ Ἀλέξιον τὸν Κομνηνὸν ὑποστρέψαντα ἐκ τῆς ἕω μετὰ τὰς σπονδὰς τὰς μετὰ τοῦ σουλτάνου· προσεχῶς δὲ γέγονε καὶ ἡ ἐπανάστασις κατὰ τοῦ βασιλέως τούτου τοῦ Κομνηνοῦ Ἰωάννου τοῦ λεγομένου Παχέος· εἷλκε δὲ τὸ πρὸς πατρὸς γένος ἐκ τοῦ μεγάλου δομεστίκου τοῦ λεγομένου Ἀξούχου, ὃς ἦν Πέρσης.

Γλυκὺς καὶ ἥλιος μετὰ νέφος, ἡδὺ καὶ ἔαρ μετὰ χειμῶνος κατήφειαν· χαρίεσσα καὶ χύσις θαλάσσης τοῦ κύματος ἀμφιβρύσαντος· ἀλλ' οὐχ οὕτως ἀσπάσια ταυτὶ καὶ ἐράσμια, ὡς ὄψις βασιλέως τὸν τρόπον ἐπιεικοῦς, τὰς χεῖρας μεγαλουργοῦ, περιδεξίου τοῖς ἅπασι, καὶ ἠπίου πατρὸς δίκην τὸ ὑπ' ἀρχὴν περιέποντος, ἄρτι τῶν κοινῶν καμάτων ἐπανιόντος, καὶ μεθ' ἡμέ-

Digitized by Google

ρας πλείους τοῖς ὑπηκόοις ἢ πάλαι Χριστὸς τοῖς Ἀποστόλοις ἐπιστάντος, καὶ τὴν μετ' ἐθνῶν εἰρήνην βραβεύοντος, ἃ τῶν Ρωμαΐκῶν πρότερον συχνὰ κατέχασκον πόλεων, καὶ ὡς ᾅδου στόμια τὰ τούτων ἐπλάτυνον στόματα. Ὅθεν οὐ μόνον οὗτος παρὼν ἀντάξιος κρίνεται τοῦ παντὸς, ἀλλά τε καὶ ἀπὼν περὶ πλείστου τοῖς ὑπὸ χεῖρα τίθεται, καὶ τῆς ὁθενοῦν ἀπουσίας ἐπανήκων, ὑπτίοις χερσὶν ὑποδέχεται καὶ χρηστοτέρων δεξιοῦται προσλαλιῶν· τοῦτο δὴ ὃ καὶ τὸ γερουσιάζον ἡμέτερον πλήρωμα, θειότατε πέπονθε βασιλεῦ, τοῦ σοῦ κράτους ἐξ ἡμῶν ἀπάραντος· μὴ δὲ γὰρ φέρειν ἔχοντες ἄλλοθί που καὶ πρὸς βραχύ σε διατρίβειν, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, τοῦτο μὲν, ὡς οὐκ ἔστι καὶ διηγήσασθαι, δυσχεραίνοντες ἠχθόμεθα, τοῦτο δὲ χερσί τε καὶ νεύμασι καὶ τοῖς πρὸς τὸ θεῖον ἱκεσιασμοῖς καὶ γουνάσμασι πρὸς ἑαυτοὺς ἐπεσπώμεθα καὶ ἀνθείλκομεν ἐπιστῆναί τε καὶ ἐπιφανῆναι πάλιν ἡμῖν, καὶ πρὸ τοῦ ἀπάραι σε μικροῦ ἱμειρόμεθα· οὕπω τῶν ἡμετέρων ὀφθαλμῶν ἀπεκρύβης, καὶ πρὸς ἡμᾶς ἐκαρδιώττομεν ἐπεστράφθαι σε μακροτάτην προθεσμίαν καὶ πλείστην διάστασιν, καὶ ὅλον ἀτεχνῶς αἰῶνα καὶ τὰς εὐαρίθμους ἡμέρας συλλογιζόμενοι· οὕτω φιλοβασιλεῖς ἡμεῖς ἐσμέν σοι καὶ φιλαλέξιοι· οὕτως ἰσχυρὸν βασιλέως χρηστότης, καὶ οὐδὲν αὐτῇ τῶν ὄντων ἀνθαμιλλᾶσθαι δύναται· οὐχ οὕτω Μακεδόνες περιεῖπον Ἀλέξανδρον καὶ Πέρσαι Κῦρον περιεσπούδαζον, καὶ Ρωμαῖοι Μάρκον πεφιλήκασιν ἐκ ψυχῆς, τὸ εὔνουν τῶν κρατούντων ἀγάμενοι, ὡς ἡμεῖς σου, ὦ βασιλεῦ, σχετικῶς ἐξεχόμεθα. Ἀτὰρ ἐκ τῆς ὑπὲρ ἡμῶν ἀποδημίας ἐπανιόντα σε δεχόμεθά τε ἀσμένως, ὡς ἄλλους τῶν αὐτοκρατόρων οὐδένες πω, καὶ περιχαρῶς οὑτωσὶ φθεγγόμεθα πρὸ τῶν ποδῶν σου βάλλοντες ἑαυτοὺς, καὶ τὰ τούτων ἀτεχνῶς περιλιχμώμενοι πέλματα· ὡς ἡμῖν ἐπανῆλθες τὸ γλυκὺ φάος, τὸ μειλίχιον ὄμμα, ἡ γαλήνιος θέα, τὸ πάγκοινον ἀγαλλίαμα· ἦλθες, ἦλθες ὁ τῶν βαρβάρων φοβήτωρ, ὁ τῶν τυράννων λικμή-

Digitized by Google

τωρ, ἦλθες ὁ ἐν ἄναξι ποθεινός· ὡς καὶ ἐν ἀστράσιν ἥλιος φαεινὸς..... καὶ καθ' ἑαυτὸν καὶ τοῖς πᾶσιν ἐπέραστος, καλλίων καὶ διὰ τὰ ἐξ ὑπογυίου σοι ἠνυσμένα· ἐπεὶ καὶ ἡ μικρά σοι ἄπαρσις αὕτη ἢ μᾶλλον..... βραχεῖα μετάβασις σωτηριώδεις οὐκ ὀλίγας πράξεις εἰργάσατο· οὔπω καθαρῶς ἐπέβης τῆς Περσίας, ἀλλ' ἔτι διεπορθμεύου τὸν Ἑλλήσποντον συρόμενον τουτονὶ θαλάττιον ὁλκὴν, καὶ φήμῃ ὁ Περσάρχης ἀπτέρῳ καὶ ἀκοῇ ὀρθίᾳ τὴν σὴν παρειληφὼς κίνησιν, τὸ σὸν ἀστεροπαῖον ὑπεβλέψατο ὅρμημα, ὡς οὐδὲ κνώδαλα βρυχητίου λέοντος ὑπέπτηξαν ἐρυγὴν, καὶ τῶν πρώην ὑπερόγκων ἐνδεδώκει σκεμμάτων καὶ βουλευμάτων· ἥν τε κατὰ Ῥωμαίων στιλβώσας αἰχμὴν ἐσπάσατο, ταύτην ἐνθάψας τῷ κουλεῷ παραδόξως, ἵνα μὴ ἐν αὐτῇ ἀπολῆται, ὑπόσπονδος τὸ καινὸν καὶ ἱκέτης ὑπὲρ εἰρήνης ὁ πρὸ τρίτης ἄσπονδος καὶ ὑπέραυχος, καὶ τὰ τοῦ Ξέρξου διαπειλούμενος ἄντικρυς, αἰφνήδιος καθεώραται. Οὕτω πάλαι καὶ θεὸς μεγαλύνεται ἄπρακτον τὸν ὑβριστὴν ἐπαναστρέφων Ῥαψάκην, καὶ συγχέων εἰς γλῶσσαν τὴν ἐπὶ κακοῖς τῶν πλείστων συνέλευσιν. Καλὰ μὲν οὖν σοι, θεοείκελε αὐτοκράτορ, καὶ τὰ μετ' ἀσπίδος συχνῆς καὶ ἵππου εὐοπλοτάτης τροπαιουχήματα· ἄριστα δὲ οὐχ ἥκιστα πρὸς τοῖσδε καὶ τὰ ἀναίμακτα. Ὅθεν καὶ τὸ βαρβαρικὸν ταπεινοῦται σοι λόγῳ καὶ ὑποκέκυφε τοῖς βουλεύμασιν, ὡς αἱ νόσοι πάλαι ῥήματι Χριστοῦ ἐδραπέτευον· καὶ ἡ νίκη πρόεισιν ἄδακρυς· καὶ αὐτὸς δὲ ἀνδροκτασίας ἄνευ καὶ θυραυλίας καὶ μόλου τοῦ ἐκ τοῦ θώρακος, τροπαιοφόρος ἔχεις ἀκούων· κἀκεῖνα ὁπόσα καὶ δρᾶν ἤμελλες, εἰ κατὰ βαρβάρων ἀπαίρων τὸν Ἄρεως στρεπτὸν χιτῶνα περιημπίσχου καὶ ἵππον ἀνέβαινες τὸν πολεμιστήριον, οὕτω δεῆσαν καὶ βουλεύμασι μετελθεῖν τὸ πολέμιον καὶ χειρὶ καὶ ὅπλοις αὐτὸ παραστήσασθαι, κατ' ἄμφω γίνῃ θεόθεν καρτορθωτικὸς καὶ ἐνδέξιος· εἰ τοίνυν φύγῃ σου τὸ βέλος ὁ βάρβαρος ταῖς τῶν λόγων ἄρκυσι ἁλώσεται δήπουθεν, ῥημάτων βουλόμενος παρά-

Digitized by Google

παν εἶναι ἀχείρωτος, ὡς γοῦν εἰς κῶνον τὴν σὴν δολιχόσκιον αἰχμὴν ἐμπεσὼν, τανηλεγέα ὕπνον ἐσεῖται καταδαρθών. Τοιαύτην ἰσχὺν ἀμφιδέξιον Ἀπόλλωνι μὲν μυθίζουσι Ἕλληνες, κίθαριν καὶ λόγχην αὐτῷ ἐγχειρίζοντες· ἡ δὲ βίβλος τῶν Βασιλειῶν ἐπισημαίνεται τῷ Δαβὶδ, σοφὸν ἐν λόγοις τοῦτον ἀναστηλοῦσα, καὶ τὰς χεῖρας ἐξ ὤμων ἀάπτους φύοντα· οὗ δὴ καὶ τὴν εἰκόνα τὴν σὴν σαφῶς ἀπεξεσμένην ἐν σοὶ θεώμεθα, βασιλεῦ, ὡς εἶναι κατὰ τοῦτο μόνον διαλλάττον τοῦ ἀρχετύπου τὸ ἔκτυπον, ὡς ὁ μὲν ἐν τοῖς ἀνόπιν χρόνοις γεγένηται, καὶ βασιλεύσας πάλαι Παλαιστίνης ἀπογεγένηται· σὺ δὲ τὴν αὐτοκράτορα διέπεις ἀρχὴν· ἐπεὶ καὶ εἰ παράλληλα θείημεν Δαβὶδ καὶ Ἀλέξιον, ἄμφω σοφὼ ἐν λόγοις εὑρήσομεν, ἄμφω τὰς χεῖρας θεοδιδάκτω πρὸς πόλεμον, ἀπαραβλήτω τὸ κάλλος τοῦ σώματος, ἀνανθαμίλλω ψυχῆς τὴν εὐγένειαν, ἀνεικάστω τὸ συμπαθὲς καὶ ἀόργητον, καὶ τὸ δὴ μεῖζον, ὥσπερ οὐδαμῶς ὠφέλησεν ἐχθρὰ ἐπ' ἐκείνῳ, οὔτε μὴν υἱὸς ἀνομίας τοῦ κακῶσαι προσέθετο, οὕτω δὴ καὶ ἐπὶ σοὶ ἅπας ἐπανιστάμενος διακενῆς κακουργεῖ, ὥς τε τῶν προβάντων, ἔκ τε τῶν προσφάτων ἠκριβωσάμεθα. Ἰδοὺ γὰρ ὁ μὲν Πέρσης ὑποπεπτώκει σοι καὶ ταῖς σαῖς ἐπιταγαῖς ὑπεχάλασεν, οὐχ ἵππῳ σε Ἀρραβίῳ ἐνοπτρισάμενος ἔποχον, οὐδὲ θωρακισάμενον καὶ ξυναγείραντα στρατιάν· ἀλλ' ἅμα γραμμάτιον ταῖς σαῖς ὑποσημανθὲν εἰλήφει χερσὶ, καὶ ἅμα λόγχην κατ' αὐτοῦ χαλκευθεῖσαν τὸν ὑπογραφέα κάλαμον φαντασάμενος, τὸ δ' ἐρυθρόβανον αἷμα τῶν αὐτοῦ καταρρεῦσαν σαρκῶν, ὤχρῳ τε συνείληπται, καὶ τῷ δέει τὰς φρένας ἀλλοιωθεὶς, ὑποπέπτωκε. Καὶ ὁ μὲν οὕτως· ὁ δέ γε πανώλης ἐκεῖνος ἀποστάτης, ὁ φθόριμος καὶ προκοίλιος, δίκας γενναίας ἐξ αὐτῆς δοὺς ὧν εἰς σὲ πεπαρῴνηκε κακῶς ἀπόλωλεν ὁ κακός· οὐχ οὕτως ὁ πρωτόγονος καὶ ἀρχέκακος Σατὰν τῶν οὐρανίων σφαιρωμάτων ἐξάπινα καταβέβληται, ὡς οὗτος ἐν ἀκαρεῖ θρονίδος τῆς ἀρχικῆς κατωκάρα καὶ κύμβαχος ἀνατέτραπται, παχέως οὕτω καὶ ἀναισθήτως

Digitized by Google

κατά σου τοῦ Χριστοῦ κυρίου πονηρὸν τεκτηνάμενος σύστρεμμα, φεῦ, φεῦ πρὸς τίνα τρόπον καὶ κατὰ τίνος ὁ τίς; ὁ μηδὲ καθαρῶς ἐγγενὴς, ἀλλ' οἰκογενὴς ὡς πάλαι καὶ Ἰσμαὴλ τοῦ γνησίου καὶ ἐννόμου τῆς βασιλείας ὅρπικος, ὁ κρεωβριθὺς θύλακος, τοῦ εὐήλικος καὶ ὀρθίου κατὰ πύργον Δαβὶδ βλέποντα πρόσωπον Δαμασκοῦ, ὁ δυσειδὴς τοῦ θεοειδοῦς, ὁ πρὸς ἄρσιν μικροῦ καὶ τετραρρύμου δεόμενος ἅρματος, ᾧ πάλαι Ἀβραδάτης πομπευτικῶς ἐπεκάθητο, τοῦ κούφως ἀλλομένου καθ' ἵππων καὶ σωτηρίαν ἡμετέραν τιθεμένου τὴν ἱππασίαν· εἰ καὶ Σαοὺλ ἐν προφήταις, εἰ καὶ ὁ προγάστωρ ἐν βασιλεῦσι. Χάρις σοι τοίνυν θειότατε βασιλεῦ, ὅτι κατὰ τὸν θεόπτην Μωϋσῆν ἀνδρισάμενος τῆς τοῦ ταυροκράνου λατρείας ἡμᾶς ἐξήρπασας, ὃ μωρὸς λαὸς καὶ οὐχὶ σοφὸς θεοῦ καὶ βασιλέως ἀμφοτέρων κτησαμένων ἐπιλαθόμενος, μετὰ μέθην ἀμαθῶς ἐχοάνευσε, καὶ κύψας φρενοβλαβῶς ὡς βασιλεῖ προσεφέρετο, μὴ εἰδὼς ἐξ ἀβελτηρίας ὡς εἰς τετρημένον πίθον ἀντλεῖ τὰ ἀναγορευτήρια ῥήματα, καὶ χρυσοῦν ἐνώτιον ἐν ῥινὶ ὑὸς τῷ συώδει ἐκείνῳ τὴν πιμελὴν, τὸ σεμνὸν τῆς βασιλείας περιτίθησιν ὄνομα· καὶ ὡς εὐκοπώτερόν ἐστι κάμηλος διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ τὸν ἐν ἀνθρώποις μεγάπλευρον ἐκεῖνον βοῦν καὶ πλούσιον τὰς σάρκας τῆς βασιλείας ὁπωσοῦν ἐπιτεύξασθαι, ὡς προσφυῶς οἱ σύρφακες καὶ οἱ ξύγκλυδες, αἱ ἀργαὶ γαστέρες καὶ ὧν ἡ κοιλία θεὸς, εἰς βασιλέα ἑαυτῶν προεστήσαντο λαιμὸν καὶ φάρυγγα ἄνθρωπον· ἢ τὸ τοῦ πάλαι σοφοῦ, μείζω τοῦ σώματος τὴν κύνα τὴν γαστέρα τρέφοντα· πλὴν ἀποστολικῶς εἰπεῖν, καὶ ταύτην καὶ τούτους καταργήσας. ἔχει θεὸς ἐπιτιμήσει τῇ σῇ, εἰς νοῦν ἀδόκιμον παραδοὺς ὥς τε μὴ ποιεῖν τὰ καθήκοντα· ὅτε καὶ ὁ μὲν ἀποστάτης κατὰ τὸν παρ' Εὐαγγελίῳ ἐκεῖνον, οὗπερ εὐφόρησεν ἡ χώρα, μείζονας ἀποθήκας ἐφαντάζετο, καὶ βασίλειον στολὴν τῷ νῷ περιήρχετο, ἀπολαύσεις τε τῇ ἑαυτοῦ προεχορήγει ψυχῇ πλείους· ὁ δ' ἐφ' ἅπασι συνέριθός σοι καὶ προφύλαξ ὁ τῆς με-

Digitized by Google

γάλης βουλῆς τῆς τοῦ πατρὸς ἄγγελος ἐκμυκτηρίζων αὐτὸν τῶν βουλευμάτων, ἄφρον, ἐν ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ, μόνον οὐκ ἐπέλεγεν ἐριστάμενος. Ἢ καὶ ἄλλως σὺ μὲν ὦ βασιλεῦ, ὑπανεκρούου τηνικαῦτα μετὰ Δαβὶδ ἐφ' ὁμοίοις δήπου τοῖς συναντήμασι· Κύριε ὁ θεός μου, εἰ ἐποίησα τοῦτο· εἰ ἔστιν ἀδικία ἐν χερσί μου· εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός· θεὸς δ' ὑψόθεν καὶ ἠρέμα ἀντεπεῖδε καταψῶν καὶ διακουφίζων τὰ προσέρποντα δυσχερῆ· ἐπιπέσοι ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται· ὃ καὶ παρὰ πόδας ἐπηκολούθησε. Καὶ νῦν ὡς ἐπ' ἀτελευτήτῳ τῷ ἔργῳ τῆς τυραννίδος καὶ γλῶσσαι μὲν Κερκώπων κατὰ τῆς κακεργάτιδος στωμύλλονται κεφαλῆς ᾐωρημένης ἄνω εἰς ἀψῖδα μετεώριον· καὶ κορῶναι δὲ οὐχ ἧττον λακέρυζαι παρ' αὐτὴν ἐριπτάμεναι κρώζουσιν· ἡ δὲ, καὶ αὐτὴ σεσηρυῖα (ὑπ') ἀνέμου εἰσπνέοντος τὴν οἰκείαν ὀλολύζει παράνοιαν. Ἀλλ' εἴης, ὦ βασιλεῦ, καὶ τοὺς ἐντὸς τυράννους χειρούμενος, καὶ τοὺς ἐκτὸς βαρβάρους τροπούμενος· συνάρχοι δέ σοι καὶ συνδεσπόζοι ἡ φερώνυμος τῷ ὄντι βασίλισσα, ἡ καὶ κάλλει μὲν σωματικῷ πασῶν γυναικῶν ὑπερέχουσα, μάλιστα δὲ καὶ ὑπεράγαν ταῖς βασιλίσι τῶν ἀρετῶν, καὶ τὸ περιόντι δήπουθεν τῆς συνέσεως· καὶ εἰ μὲν δυνατὸν, εἴης ἀθάνατος καὶ ἀκήρατος, ὡς δὲ τοῦτο ἡ βρότειος φύσις οὐ δίδωσι, τοῖς γοῦν ἐκλεκτοῖς ἐκεῖ καταλεγείης παρὰ θεῷ, καὶ συμβασιλεύοις ᾧ ἐνταῦθα βασιλεύῃ Χριστῷ, ἀπὸ ζωῆς εἰς ζωὴν, ἐξ εὐφροσύνης τε εἰς εὐφροσύνην κατὰ Παῦλον μὴ ἀπορευσάμενος· ὀψὲ μέντοι καὶ μετὰ κληρονόμον ἔννομον τῆς ἀρχῆς, εὐδαίμονά τε παντάπασιν εὐγηρίαν καὶ κράτος εὔθυμον πολυχρόνιον.

Digitized by Google

Τοῦ αὐτοῦ λόγος εἰς τὸν βασιλέα κὺρ Ἀλέξιον τὸν Κομνηνόν, ὅτε ἐπανέζευξεν ἀπὸ τῶν μερῶν τῆς δύσεως· ἡνίκα ὁ πρωτοστάτωρ Μανουὴλ ὁ Καμύτζης, ἐξάδελφος ὢν τοῦ αὐτοῦ βασιλέως, συμπλακεὶς τοῖς βαρβάροις καὶ κατασχεθείς, παρὰ μὲν τοῦ βασιλέως οὐκ ἐξωνήθη, ἠγοράσθη δὲ παρὰ τοῦ Δοβρομήρου Χρύσου τοῦ κατέχοντος τὸν Πρόσακον καὶ τὴν Στρούμμιτζαν· καὶ ἔκτοτε ἐπανέστη τῷ βασιλεῖ μετὰ τοῦ αὐτοῦ Χρύσου, γαμβροῦ ὄντος τῷ αὐτῷ πρωτοστάτορι ἐπὶ θυγατρί, ὃν καὶ ἡττήσας ὁ βασιλεὺς ἐδίωξε. Τότε δὲ καὶ ἀγάπην ἐποίησε μετὰ τοῦ Ἰωαννίτζη τοῦ κατέχοντος τὸν Ζυγόν.

Εὐλογητὸς κύριος ὁ θεός σου, ὃς καὶ ἀπέκλεισε τοὺς ἄνδρας τοὺς ἐπαραμένους τὴν χεῖρα αὐτῶν ἐπὶ τῷ κυρίῳ μου τῷ βασιλεῖ. Ἐκ τῆς βίβλου πορίζομαι τῶν Βασιλειῶν τὰ χαρμόσυνα ταῦτα καὶ εὐάγγελα ῥήματα, νικητικώτατε βασιλεῦ, ἅπερ ὁ μὲν Δαβὶδ εἰς ἀγγελίαν ἐδέχετο πρότερον τῆς τοῦ πατραλοίου παιδὸς ἀναιρέσεως· νυνὶ δ' ἔγωγε εἰς χαριστήρια ᾄδω σοι, τῆς τοῦ ἀποστάτου λαμπρᾶς καθαιρέσεως μέλπων τὰ ἐμβατήρια, καὶ παιανίζων τὰ νικητήρια· κἀκεῖνα ἐπὶ τούτοις τῆς ἱερᾶς τῶν ψαλμῶν δέλτου ἀναλεγόμενος καὶ φθεγγόμενος· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ. Καὶ γὰρ ἀγχίθεε βασιλεῦ, ἐν πολλοῖς καὶ ἄλλοις καὶ σχεδὸν τοῖς πλείοσι πάρισος καὶ ἐφάμιλλος τῷ βασιλεῖ Δαβὶδ καθιστάμενος, καὶ πίναξ ἀκριβὴς τῶν ἐκείνου καλῶν προκείμενος, οὐ δὲ κἀπὶ τοῖς δεῦρο νεκροῖς ὁμοῦ καὶ ἀνιαροῖς συγκυρήμασι, τῆς εἰκασίας ἐξέστης τοῦ θεοπάτορος· παῖς ἐκεῖ θρασυκάρδιος ὑβριστὴς καὶ μεγαλόφρων ὤφθη κατὰ τοῦ φύσαντος, ὃν εὗρον φησὶν

Digitized by Google

ὁ Δαβὶδ κατὰ τὴν καρδίαν μου, καὶ χεῖρες υἱϊκαὶ παραφόρως κατὰ χειρῶν ὡπλίσθησαν πατρικῶν θεόθεν ἡρμοσμένων εἰς πόλεμον· κἀνταῦθα δέ τις τῶν κατειλεγμένων εἰς αἷμα σόν· τὸ δὲ ὄνομα ἑκὼν ὑπερβήσομαι, ὅτι μὴ δὲ λέγειν δέομαι· κατὰ σοῦ μειρακιευσάμενος πτερνισμὸν πολλῷ τοῦ πατραλοίου ἀσυγγνωστότερος διελήλεκται· καθόσον ὁ μὲν, παιδάριον ὢν ὑπέροπτον μηδέ πω τὰς παρειὰς ἰούλοις λαχνούμενος καὶ κόμην τρέφων πολλὴν καὶ φύσει πυρσὴν ὑπὲρ χρυσίου ἀπορρινήματα, τῷ ραίκτῃ συγγενόμενος Ἀχιτόφελ καὶ ἴχνεσι προβὰς ἀλώπεκος, τῶν φύσεως σεμνῶν ἐθῶν ἐπελάθετο· ὁ δὲ πολιοκόρσης ὢν ἀκριβῶς, ὑπὲρ τὰς κοινὰς ἐννοίας καὶ δόξας φαύλοις προσήρρακται πράγμασιν, ὡς εἴπερ πρὸς παιδίον μετέστραπτο, οὐκ εὐαγγελικόν τε καὶ ἄθετον εἰς βασιλείαν οὐράνιον· ἀλλ' εἰ ὁ Ἀβεσαλὼμ τὰς φρένας ὁπλοτερ . . . . (δύσ)πιστος οὗτος καὶ δυσδαίμων ἐν ἅπασιν ἀνθρώποις· χειρωθεὶς δὲ καὶ εἰρχθεὶς, μήτε μὴν ὑπομείνας τὸν μικρὸν ὅσον οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων λυσόμενον αὐτοκράτορα, ἀλλ' ἑαυτὸν κακοδαιμόνως ἡμῶν ἁπάντων πριάμενος καὶ λύτρον ἑνὸς, ἀπειρεσίους ἀντιβραβεύσεις ἑαυτοῦ, τὸ παρρώμαιον· τέλος δὲ καὶ ταῖς καθ' ἡμῶν τῶν ὁμοφύλων ὁρμαῖς καὶ σφαγαῖς ἀναμαχέσασθαι τὴν ἧτταν προθέμενος, ἣν ἀνέτλει τοῖς ἐπιρρεύσασιν ἐχθροῖς συμπλεκόμενος. Καὶ σὺ δὲ, ὦ βασιλεῦ, καθ' ἑνὸς ἀντάρτου τὸ δόρυ διακραδαίνων, τὴν ἐξ ἡμῶν πορείαν πεποίησαι· οἱ δέ σοι, σύνδυο καὶ σύντρεις καὶ καταπλείους ἐπανετράπησαν· καὶ ἵνα σαφῶς διαγράψωμαι τῷ Ἑρμαϊκῷ δόνακι, οὓς μετῆλθες αὐτὸς τῷ ἀρεϊκῷ δόρατι, ὁ μὲν, οὐδὲ γὰρ καὶ νῦν ἀφεκτέον τούτου, ὅσα καὶ ἵππος στατὸς καὶ Ὁμήρειος ἐφ' ἱκανὸν ἐμφατνισθεὶς τοῖς δεσμοῖς, ἐπειδή περ αὐτὰ καθάπαξ ἀπέθετο, μικροῦ κατὰ πεδίων κροαίνων, ἐριαύχην καὶ γαυριῶν, ἀκρώνυχος προεπόδιζε, ταῖς Ἀξειοῦ καὶ Πηνειοῦ λουσόμενος προχοαῖς, καὶ τῶν ἐκεῖσε κατασκιρτήσεσθαι λειμωνιῶν· εἰ καὶ ὡς λίθος ὀκριόεις ἐκ τῶν

Digitized by Google

τοῦ Αἵμου ἀκρωρειῶν ταῖς τῶν ἡμετέρων χωρῶν καταῤῥαγεὶς κοιλότησιν, εἰς κεφαλὴν γωνίας καὶ εἰς ἀκρόγωνον ὀστοῦ κείσεσθαι· μᾶλλον μὲν οὖν εἰς Μωσέα προσποιῶν ἑαυτὸν, καὶ καθάπερ πυξία οὐκ οἶδ' ὁποῖα καὶ φράσαιμι, ὡς ἐκ Σιναίου τοῦ Αἵμου τὰς ὀλεθρίας ἐντολὰς τοῦ βαρβάρου καὶ τὰς ἐκεῖθεν ἐνδόσεις ὡς ἐμφάσεις κρείττους ἐγχειρισάμενος, δημαγωγίας ἐφαντάζετο μείζονα, ἄλλοτε ἄλλοις τῶν δρωμένων παραπετάσμασι φαντασιώδεσι χρώμενος· σὺ δὲ ἅμα τὴν κατὰ τούτου κίνησιν ἐσχηματίσας καὶ ἅμα τῶν ὀθνείων ὁπλισμῶν καὶ τῶν προσθέτων συνασπισμῶν, ὅσα καὶ πτερῶν συλλογιμαίων ἀποψιλώσας, κολοιοῦ ἀχρειότερον ἤλεγξας· καὶ νῦν γέγονεν, ὡς ὁ Ἰὼβ εἶπεῖν ὁ τλησίπονος, ὥσπερ ἄχυρμιὰ πρὸ ἀνέμου καὶ ὡς κονιορτὸς ὃν ὑφείλετο λαῖλαψ. Ἕτερος δέ τις δεύτερος, τὸ μὲν κῆδος τουτωῒ σύμφυτος, τὸ δὲ γένος ἀλλόφυλος, ἀλλοπρόσαλλος καὶ χαμαιλέων τοῖς συμφυέσι κακοῖς πολύμορφος, ὑπέδυ μὲν ἐπίσης σκορπίῳ τε καὶ φαλαγγίῳ πέτρας ἀποτόμους καὶ δυσπροσόδους, συνιδὼν δὲ ὡς μάτην ὑπὸ ταύτας καταδαρθάνει ἢ γοῦν διακενῆς ὡς πολύπους προσφύεται καὶ συγχρώζεται τῷ ἀτοξεύτῳ μικροῦ ἐρύματι, καὶ ὡς κέλυφοι οἱ φερέοικοι καὶ ὡς ὄστρακα τὰ ζωόφυτα, τὰς τοῦ πολιχνίου περιπτυχὰς ὑπεισέρχεται, οἱονεί τι λάϊνον λώπιον αὐτὰς ἀμπεχόμενος· ἀλλ' οἷος μετὰ βραχὺ καὶ οὐχ οἷος πάροιθεν δείκνυται· πρώην μὲν γὰρ μὴ τὸν κηδεστὴν ἐῶν ἀκηδῆ, ὡρᾶτό οἱ συναγωνιστὴς καὶ συνέριθος· μετ' οὐ πολὺ δὲ κατανωτισάμενος ἐκεῖνον βαρβαρικῶς, περισαίνει σου τὸ κράτος κολακικῶς· πρὸ δὲ πάντων δίχασιν συναφείας ψυχῆς καὶ σώματος ὑφορώμενος, ἀψόφως ἐμβάδι τῆς δίκης ἑφέρποντα καὶ τομὸν ἐφιστάμενον, ὧν οὐκ ἔστι μετὰ διάζευξιν συμπλοκὴν εὑρέσθαι καὶ συνδρομὴν, διχοτομίαν μέτεισιν ἄλλην, σωμάτων μόνων εἰδυῖαν συναλοιφὴν καὶ συμφυΐαν καὶ πρόπλασιν, πιστοῦσθαι θέλων ἐντεῦθεν τὴν ἐκ τοῦ ἀπίστου διαίρεσιν καὶ διάστασιν, καὶ τὴν πρὸς τὸν πιστὸν ἀλλοίωσίν τε

καὶ μεταχώρησιν· ἀμέλει τοι καὶ εἰς τέκνον μὲν τὴν πίστιν Ἀβραμιαίων ἐκ τῶν λίθων ἐκείνων ἀνεγερθῆναι οὓς διαπαντὸς ὑποδύεται διϊσχυρίζεταί πως καὶ διατείνεται, καὶ τοῖς ὄρεσι δὲ ἐκείνοις πεσεῖν ἐπ' αὐτὸν καὶ τοῖς βουνοῖς ὁμοίως καλύψειν αὐτὸν διεντέλλεται, εἰ βραχύ τι γοῦν ἀποσταίη κράτους τοῦ σοῦ, καὶ ἄλλῳ τῳ τῶν ἁπάντων προρρέψειε· τὴν δὲ τοπικὴν μετάβασιν εὐλαβεῖται καὶ ὡς λαξευτὸς ἐν πέτραις ἢ πρὸς μόνον γεγλυμμένος ἀνδρείκελον, ἰέναι περαιτέρω ἀναίνεται. Κἀκεῖνα δ' οὖν ὁ ὀρειβάτης οὗτος ἀναμέλπων οἷον πρὸς σύριγγα, οἴμοι πῇ φύγω τλάμων ἀΐδαν ἄφυκτον; τὸ μέλος ποιεῖται πρὸς ἀπόδρασιν ἐγερτήριον. Λιθοῦται δ' οὖν καὶ οὗτος ὡς ἡ τοῦ μύθου Νιόβη καὶ πρόεισιν ἐκεῖθεν οὐδόλως, δεσμοῖς δουλείας πεδούμενος· καὶ καθ' ὅσα κατωκάρα ἐρρίζωται τὴν κεφαλὴν ἐπεδαφίζων σου τοῖς ποσίν, ἀκινητίζεται πρὸς τὴν πρόοδον. Ἡγοῦμαι δ' ἔγωγε ὡς ἀφ' ὕψους οὗτος ὁ βάρβαρος ἐς Ἀξειὸν κατακύψας τὸν τῷ Προσάκῳ παραρρέοντα ποταμὸν, (οὗ) ἐν ὕδασιν ἰσχναῖς ἐκφάσεσιν ἐνοπτρισάμενος ἑαυτὸν ἀνώποδα ἰνδαλλόμενον, ὡς ἤδη πεπονθὼς τὸ σκιαγραφούμενον . . . . . ὑποκύπτει καὶ φθέγγεται δούλια, κἂν οὐκ ἔχει θαρρεῖν τὴν ἔξοδον, καθάπερ καὶ τὸν Βουκέφαλον ἵππον οἱ πάλαι φασὶν ἄγριον εἶναι παντάπασι καὶ ἀκόλαστον, ὅτι τὴν πρὸς ἥλιον ἰδίαν σκιὰν ἐνσαλευομένην ἑώρα πρὸ ἑαυτοῦ καὶ προπίπτουσαν· τί δ' ἂν καὶ ἔδρασεν οὗτος οὐ λέγω, τοῖς ὀφθαλμοῖς σε παρειληφὼς, βασιλεῦ· ἀλλ' εἰ καὶ μόνον τὸ σὸν ἔγχος ἐνώπιον στιλβούμενον ἐθεάσατο, πάντως ἂν ὡς ἐν κατόπτρῳ λείῳ περιγραφόμενος τῇ τούτου στιλπνότητι κατὰ καμπήν τε καὶ ἐπάνοδον τῆς αὐγῆς, ἀπείρηκεν ἂν ἀπαξάπασιν. Ἀλλὰ τούτων μὲν οὐδέν τι καὶ πέπονθε· ἄλλοτε δ' ἄλλοις παλλεύμασι σοῖς στρατηγικοῖς καὶ σκέμμασι φρενὸς βαθυγνώμονος ὡς δελέασιν ἰχθύες ὑποσυρόμενός τε καὶ ἀγκιστρούμενος, τέλος δείσας τὸν διὰ καλάμου βαφῆς τῆς βασιλικῆς ἐπιχαλώμενον ἐκείνῳ πορφύρεον

θάνατον, χωρῶν σοι καὶ πόλεων ὑπεξίσταται, ὁπόσας ἀπέδοτό οἱ τῆς καθ' ἡμῶν συνάρσεως ὁ ἐκμανὴς τῆς θρεψαμένης πολέμιος. Οὐκ ἦν δ' ἄρα τὸν ἥλιον ἠρεμεῖν τὸν τὴν φύσιν ἀκάματον, ἢ γοῦν ἐπὶ πολὺ συστεῖλαι τὰ πτίλα τὸν ἀετὸν, μὴ δ' ὑψιπέτην τὸν ἀέριον φέρεσθαι· ὅθεν ὁ βάρβαρος οὗτος τὴν ἄλλην ἰδών σε τραπόμενον, ῥαστώνην τὸ πρᾶγμα λογίζεται, καὶ φαντάζεται καμάτων τῶν σῶν ἀνακώχευσιν. Σὺ δὲ γίνῃ τις καὶ πάλιν εὐμήχανος, καὶ τρέχων αὖθις μετὰ μικρὸν ἣν ἐβάδιζες πρότερον, πράγμασιν αὐτοῖς καθυπέδειξας, ὡς πάντα δοῦλα φρονήσεως καὶ αὐτῇ τῶν ὄντων οὐδὲν ἀνθάμιλλον· ὢ κυνῶν βελτίστων ἐκείνης ἐπιθωΰξεως· ὢ κλωγμῶν ἐκείνων κυνηγέτιδος ὄρνιθος· ἅ σοι πάρεργον ὁδοῦ πρὸς θήρας συνήραντο, μικροῦ καὶ ἀόρνου πλοῦ· τί σου φῶ; τὴν εὐμέθοδον ταύτην ἐπίνοιαν, μέθοδον στρατηγικὴν, ἢ πόλεως χρονίως ἐξ ἡμῶν ἀποστάσης ἐπάνοδον, δευτέραν εἰς μάχην ἔξοδον καὶ πρόοδον εἰς ἕτερα τρόπαια, ἢ τοῦ φρονηματώδους βαρβάρου κάθοδον εἰς ταπείνωσιν, καὶ βαθμίδα ἡμετέραν καὶ ἄνοδον εἰς κλέος ἀθάνατον; Οὕτω πάντα ἐν σοφίᾳ ἐποίησας. Τίς δὲ ὁ τοῖς δυσὶ τούτοις καὶ χειρὶ καὶ γνώμῃ καὶ τῇ καθ' ἡμῶν μανίᾳ συναλειφόμενος; Ἔθετο μὲν τὸν θῶκον ὡς ἄντυγα οὐρανίαν τὸν ὑπερνέφελον Αἷμον ἀντιδοξῶν σοι καὶ ἀνθιστάμενος, καὶ βροντῶν ἐκεῖθεν ἐπιπλάστως κατὰ Σαλμονέα ψευδοχρονίωνα, εἰς ἐνιαυτοὺς ἤδη ἀπηναιδεύσατο· πλὴν καὶ οὗτος τὸ βυρσῶδες καὶ πρόσφατον τοῦ βροντήματος ῥαγησόμενον εἰδὼς καὶ στησόμενον, προτείνει σοι χεῖρα καὶ σπένδεται· καὶ ὁ πρῴην τοῖς ἐκεῖ συναναβαίνων ὄρεσιν ἀτεχνῶς τῷ φρονήματι καὶ τὴν ὀφρὺν αἴρων τῆς ὀρειαίας κορυφῆς καθύπερθεν, ἀρτίως τὴν προτέραν τύχην ἀναμανθάνων καὶ κατὰ νοῦν λαμβάνων τὴν ἡλικιῶτιδα ἐκείνῳ καὶ θρέπτειραν δούλωσιν, αὐτοῖς παρίστησιν ἔργοις καὶ διατυποῖ περατουμένην ἀληθῶς ἐπ' αὐτῷ, τὴν δεῦρ' ἀνάβηθι κάτω, νῦν γὰρ ἄνω κατέβης διακελευομένην φωνήν· περιπέζιος

Digitized by Google

ὁ ὑψιβάμων γινόμενος, καὶ τῷ σῷ ὑποκύψας κράτει, θαυμασίως πῶς τὴν ὑπόβασιν ἀνάβασιν εὕρατο, καὶ τὴν τῆς δόξης ὑπόπτωσιν ἐγνώρισεν ὕψωσιν· καὶ μᾶλλον ἄρτι τὴν δουλείαν ἀνέλυσε τοῖς σοῖς ἐνσπόνδοις ἐγγραφεὶς καὶ συμμάχοις, ἥπερ πρότερον αὐτὴν ἀπεσείσατο Σατάν σοι καὶ ἀντάρτης φαινόμενος. Εἰ δὲ δοίη τις καὶ τοῦτό με φθέγξασθαι τὴν ὑπὲρ κεφαλῆς ἀστροσύνθετον ἑλίκην ἄρκτον μιμούμενος, ἐκεῖ που καθ' ἕνα χῶρον τὰ πλεῖστα περιαγνύμενος στρέφεται, καὶ ὡς δοκεύειν αὕτη μυθίζεται τὸν Ὠρίωνα, οὕτω δή που καὶ αὐτὸς κατεπτηχὼς ὑποβλέπεται τὸν ἥρωα σὲ τὴν ἰσχὺν αὐτοκράτορα· καὶ ὥσπερ κατὰ βραχὺ καὶ οἷον ὁδῷ προϊὼν τὴν τῆς Μυσίας τυραννίδα περιεβάλετο, οὕτω παλίνστροφος αὖθις ἰδοὺ καὶ οἷον ἀντιπόρευτος ἑαυτῷ δεικνύμενος, τὴν ἐς τὰ χείρω καὶ ἐσχάτην μετάβασιν διαχαράττει καὶ ὑπαινίττεται· καὶ τοῦτό μοι δίδωσιν ἐννοεῖν τε καὶ λέγειν οὐ θερμότης ἄλογος ψυχῆς, οὐδὲ διάκενος φάντωσις καρδίας, ἀλλὰ τὸ εὖ εἰδέναι, ὡς οὐκ ἐάσει δήπουθεν κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων εἰς μακροτέραν μαστίγωσιν, καὶ τὸ εἴκειν τοῖς καθόλου τὰ μερικά, καὶ τὸ μηδὲν εἶναι φοβερόν τε καὶ εὐχρηστούμενον τῆς συμφωνίας ἀπορρηγνύμενον· ὅλως δὲ εἰ καὶ τὸν ἀρκτικὸν πόλον εἰς ἐνοίκησιν ὁ βάρβαρος εἴληχε, καὶ τοῖς ἐν αὐτῷ καταλλήλως ἀστράσι τὸ τῆς ἀρχῆς ἀειφανὲς καὶ οἷον ἄδυτον ὑποκρίνεται, ἀλλ' ὁ τῶν ὅλων μικροῦ συνοχεὺς καὶ σὸς ἀρχικὸς ἄξων, τῆς βορείου σφαίρας τοῦτον ἀποκυλίσειε καὶ εἰς λῆξιν περιάξας ἑσπέριον, τὸν οὐράνιον ταρτάριον θήσεται. Οὕτως ἄρα, κράτιστε βασιλεῦ, οὐχ ἕν τι κατωρθωκώς, ἄσμενος ἀσμένοις ἡμῖν ἐπανέζευξας· ἀλλὰ σχοινίον ἐπανῆλθες διαλυσάμενος ἔντριτον, καὶ ὡς ὕδραν Ἡρακλῆς πολυκάρηνον, πρὸς τὸ εὖ διέθου τὴν καθ' ἡμῶν τῶν πολεμίων πολύπλοκον συστροφήν. Ἀρίστη μὲν καὶ ἡ Βελλεροφόντου κατὰ θηρίου τοῦ τριμόρφου πάλαι στρατήγησις οὐχ ἧττον δὲ γεραρὰ καὶ σεμνὴ καὶ ἡ σὴ αὕτη ἐκστράτευσις,

Digitized by Google

ὅτι καὶ τὸν ὡς λέοντα καθ' ἡμῶν διὰ τοῦ γένους βασιλικὸν ὠρυόμενον, ἀπήνεγκας πόρρωθι, καὶ τὸν ὡς ὄφιν ἐπὶ πέτρας συρόμενον καὶ τὰ ἴχνη ἀδιάγνωστα ἔχοντα, ὑπηγάγου πρὸς δουλείαν· καί γε προσυπέκλινας τούτοις καὶ κατεμάλθαξας τὸν πυρὸς πνείοντα μένος βλημαιώδη καὶ συμπληροῦντα τὸ τοῦ τέρατος τριφυὲς, καὶ τῶν δύο μάλιστα κρατιστεύοντα· ὡς ἔγωγε, οὐδὲ τὴν τοῦ Φρυγίου διάσπασιν ἅμματος, ἣν Ἀλέξανδρος κατὰ Δαρείου στρατεύων εἰργάσατο ῥυμὸν διαζεύξας ζυγοῦ, σοφώτερόν τι δυνηθῆναι λελόγισμαι· εἰ δὲ καὶ Θεοῦ φωνὴν διακόπτουσαν φλόγα πυρὸς ἢ Θεὸν αὐτὸν καταβαίνοντα καὶ γλωσσῶν συμφωνίαν διαμερίζοντα ἡ θεία οἶδε Γραφὴ, οὐ δή που καὶ πρὸς ταῦτα, τὰ ἐνταῦθα εἴ πως παραβληθεῖεν, ἀπεοικότα φανήσεται· εἴποιμι δ' ἂν ὡς καὶ εἰς ἀλεύρου σάτα τρία τοὺς τῷ λόγῳ διαγραφέντας κατά τινα ζύμην τὴν σὴν ἔμφρονα τόλμαν ἐμβαλὼν, τὰ μὲν πρῶτα τῷ τῶν σῶν ἱδρώτων ἐνθέρμῳ προχεύματι, ὡς εἰς χαλαρὸν αὐτοὺς ἀνέσευσας φρόνημα· ἔπειτα δὲ τῇ τῶν δακτύλων σου συμπτύξει πρὸς ἀκροχείρισιν δόρατος καταπιέσας τε καὶ συμπιλήσας ὥσπερ ζύμῃ τὸ φύραμα πρὸς ἑαυτὸν μετεποίησας. Ἀλλ' ἐντα(ῦθα) τοῦ λόγου γενόμενος, οἶδα ὡς ἄν τις τὸ τοῦ Πλάτωνος ἐκεῖνο ἐπαπορήσει μοι, εἷς, δύο, τρεῖς· ὁ δὲ τέταρτος ποῦ; τοῖς εἰρημένοις τρισὶν ἀντάρταις πολὺς ἐγκείμενος παραζευχθῆναι καὶ τέταρτον, τὸν μυρμηκάνθρωπον ἐκεῖνον καὶ Θερσίτειον τὸ εἶδος προφέροντα· ἢ καὶ ὡς σπυρίδα μίαν τοῦ τῶν τροπαίων σου περισσεύματος ἀρθῆναι καὶ τοῦτο καὶ δοθῆναι τῷ λόγῳ ἰσχυριζόμενος· ἔγωγε δὲ κατ' ἄλλην ἔννοιαν τοῖς προκειμένοις ἐφάρμοστον τῷ Σολομῶντος γνωματεύματι χρώμενος· ὃ φὴς διὰ τριῶν . . . . τὸ δὲ τέταρτον οὐ δύναται φέρειν· οὐκοῦν καὶ δοκιμάζω τοῖς τρισσουμένοις κακοῖς, ἃ τὴν ὑφ' ἡμᾶς ἑσπέριον γῆν διεκύκησαν, ἀσκαλαβώτην συνάπτειν οἰκίδιον ἐν ὀχυρώμασι βασιλέως ἀναρριχώμενον. Σοφὸς ὁ μῦθος κνώσσοντα λέοντα ποιῶν (ἐν) χειρὸς ἐκτά-

Digitized by Google

σει μιᾶς τὴν τοῦ μυὸς ὁδὸν ἀνατρέποντα, καὶ κώνωπα διαγράφων ἅμα περισαλπίζοντα θηρίων τὰ ἀρχικὰ, καὶ παραχρῆμα νήμασιν ἀράχνης συλλαμβανόμενον· ἀλλ' οὗτος μὲν ὁ κώνωψ ὃν ἡ Κύπρος ἐξεῖρψεν, ἔτι τε μὴν ὁ μῦς ὃν ὄρη τὰ Ροδόπης ὠδίνησαν καὶ ἀπέτεκον, ἄϊστος οἰχέσθω καὶ ἄπυστος, μὴ δὲ παρ' ἡμῖν γοῦν μεταλαγχάνων ὀνόματος, κατὰ τὸ πάλαι τῶν Ἑλλήνων παράγγελμα περὶ τοῦ τὸν κατ' Ἔφεσον νεὼν ἐμπρήσαντος τῆς Ἀρτέμιδος. Σὺ δ' ὑπὲρ ἡμῶν, μεγάλαθλε βασιλεῦ, λαμπρῶς οὕτω καὶ καλλίστως ἀγωνισάμενος καὶ ψύχει συμμίξας καὶ καύσωνι, καὶ καχεξίᾳ προσπαλαίσας σώματος, καὶ παντοδαποῖς ἄλλοις κινδύνοις προσομιλήσας ἐκγένως, ἐκ τῶν ἐκτὸς, ἐκ τῶν ἔσωθεν, βραχύ τι τῶν γυομόρων καμάτων ἀνόχευσον, καὶ ὡς τόξον ἑαυτὸν ἀνεικὼς τῆς ἐντάσεως, κατὰ παραίφασιν Σολομώντειον, δεῦρο φάγε μετ' εὐφροσύνης ἄρτον σου καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἰνόν σου, ὅτι ἤδη ηὐδόκησεν ὁ θεὸς τὰ ποιήματά σου· καὶ εἰ μὲν δυνατὸν εἰρηναῖον καὶ ἀστασίαστον εἴη τὸ κράτος σου ἐς ἀεὶ, εἰ δέ τινες καὶ πάλιν κακόσχολοι ῥέζοιεν ἔργα νεώτερα, ἐπὶ τοῦ νώτου τούτων αἱ χεῖρές σου γένοιντο, τοῦ θεοῦ τὰς σωτηρίας σου μεγαλύνοντος καὶ ζωήν σοι βραβεύοντος πολυχρόνιον.

Σελέντιον γραφὲν ἐπὶ τῷ ἀναγνωσθῆναι ὡς ἀπὸ τοῦ Λάσκαρη κυροῦ Θεοδώρου, κρατοῦντος τῶν Ρωμαΐκῶν ἀνατολικῶν χωρῶν, ἡνίκα ἡ Κωνσταντινούπολις ἑάλω ὑπὸ Λατίνων καὶ παρ' ἑαυτῶν ὡς δορύκτητος κατείχετο μετὰ καὶ τῶν ἑσπερίων Ρωμαΐκῶν χωρῶν.

Σάλπιγξ ἔστι μὲν καὶ πολεμικὴ, ἔστι δὲ καὶ πνευματική· καὶ τῆς μὲν ἠχησάσης τὸ ἐνυάλιον, ὁ τῷ στρατολογήσαντι ἀρέσαι προθέμενος στρατιώτης, ἔνθους τὸν Ἄρεα εἴσεισι, πῦρ

τῶν ὀμμάτων βλέπων, καὶ σιδήρῳ τὸ σῶμα κατάφρακτος, ὡς εἴπερ εἰς ἀνδριάντα μετεσκεύαστο χάλκεον· ὁ δὲ οἱ ἵππος, οὐδ' αὐτὸς ἀτρέμας ἵσταται· ἀλλ' ἐφριμάξατο μὲν ὅτ' ἀριζήλη ἴαχε σάλπιγξ, καὶ τὰ ὦτα ὀρθιάσας ὕφαιμον ὁρᾷ καὶ κόπτει ποσὶ τὸ δάπεδον, καὶ μυκτῆρες ψοφοῦσιν ὑπ' ἄσθματος φυσιόωντες, καὶ ζητεῖ σκιρτῆσαι κατὰ ξιφῶν, καὶ τοῖς ἐπ' αὐχεσίας κόσμοις ἐναγλαΐζεται· τῆς δὲ τοῦ πνεύματος ἀλαλαξάσης τὸ εἰς ἀρετὴν ἐγερτήριον, οἱ τοῦ βασιλέως Χριστοῦ μαθηταί, καὶ τῆς στρατείας ἐρῶντες τῆς ἄνωθεν, τὸν τοῦ συνθήματος νόμον εὐλαβούμενοι, τῆς νηστείας τὸ στάδιον ὑπεισίασι, τὸν θώρακα τῆς πίστεως ἐνδυσάμενοι, καὶ τὸ κράνος τοῦ πνεύματος περιθέμενοι, καὶ κατὰ τῶν πνευμάτων τῆς πονηρίας ἀνδρίζονται. Ἂν τοίνυν αἱ τῶν σαλπίγγων φωναὶ πόλεμον ἐφεστάναι συνθηματίζουσαι, ἢ γοῦν ἄφιξιν εὐσήμου τῷ Κυρίῳ ἡμέρας ὑποσημαίνουσαι, τὰ τῶν πολλῶν διανιστῶσι φρονήματα καὶ πρὸς τὸ πρόσφορον ἔργον ἕκαστον ἐπεγείρουσι, πάντως ἂν πλειόνως διαθερμανεῖ τις πρὸς πόλεμον ἢ καὶ πρὸς ἀρετῆς ἐργασίαν ἐξερεθίσῃ τὸν ἐνηχούμενον, διάρας στόμα καὶ διατρανώσας ἐλλόγως ὁπόσα ὁ τυρσηνικὸς κώδων ἀσήμως κέκραγε, ψοφῶν διαέρια· ἐπεὶ καὶ μέγα ὤνησε πολλάκις τὸν ἀγωνιζόμενον τοῦ ἀγωνοθέτου βραχεῖά τις ὑποφώνησις, καὶ ὑπερέπτη τὸ τῶν σαλπίγγων βαρύγδουπον ἠρεμαία παραίφασις ἔμπρακτος, καὶ τὸ τοῦ ἀλείπτου βραχύφωνον ἐπεμβόημα τὸ τῶν βαρβίτων ὑπερεφώνησε κρόταλον· ἀμέλει τοι καὶ ἡ ἐκ θεοῦ βασιλεία μου τὰ τοῖς στρατηγοῖς καὶ βασιλεῦσι πρεσβεύσασα ἔθιμα, καὶ τὰ τῆς ἐκκλησίας ὅσια τιμῶσα καὶ σέβουσα, κατὰ καιρὸν ἀμφοτέροις κέχρηται· καὶ τὸ μὲν τοῦ πολέμου σύνθημα, ἤδη πολλάκις καὶ λοχαγοῖς καὶ στρατιώταις ἐνέδωκε πρό τε τῆς ἀρχῆς καὶ μετὰ τὴν ἀρχὴν αὐτήν· οὐδὲ γὰρ ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς κροτάφοις ἀνάπαυσιν ἐχαρίσατο· ὡς καὶ τῶν ἐνταυθοῖ συνειλεγμένων οἱ πλείους ἢ καὶ πάντες ἐπίστασθε· ἀλλὰ παραβαλλομένη μόχθους

Digitized by Google

ἐκ μόχθων, ὡσεὶ καὶ ποιμὴν λοβὸν ἥπατος ἐκ στόματος θηρῶν, ἀποσπᾶν προὔθετο ὅσα τῶν ἡμετέρων ἀφήρπασε τὸ διειληφὸς ἡμᾶς ἁπανταχόθεν πολέμιον. Τὸ δὲ τῆς νηστείας διαγγελτικὸν κήρυγμα μέτεισιν ἰδού, καὶ τίθησιν ἔνηχον τοῖς πνευματικῶς ὁπλιτεύσασι. Δεῦτε τοίνυν τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς· εἰς πατέρα γὰρ θεόθεν τοῦ ῥωμαϊκοῦ πληρώματος ἡ βασιλεία μου τέτακται, καὶ εἰ πολλῶν μετὰ τοὺς χρόνους ἐλαύνει πανύστατος· δεξιὰ γὰρ Κυρίου ἐπ' ἐμοὶ ποιήσασα δύναμιν, καὶ πρὸς τόδε τὸ βασίλειον ὕψος ἄρασα, ταυτηνί μοι τὴν προσωνυμίαν εἰκότως παρέσχετο· μηδεὶς οὖν ἔστω τῆς τοῦ πατρὸς ἐμοῦ καὶ βασιλέως ἀνήκοος παραιφάσεως· ἀλλὰ κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου, φιλόχριστον πλήρωμα· καὶ μᾶλλον εἰ περὶ ψυχῆς ὁ λόγος, καὶ σωτηρίας πρόξενος ἡ ἀφήγησις· καὶ σοφίας μέτεισι τὴν ἐν πνεύματι .... ὁ καθηγητὴς ἡμῶν καὶ διδάσκαλος ὁ Χριστὸς, νέος Ἀδὰμ γενόμενος, καὶ διὰ νηστείας τὴν τοῦ πρώτου πτῶσιν ἰώμενος ἣν ὑπέστη τοῦ ξύλου γευσάμενος, νηστεύσειν εἵλετο καὶ ἡμῖν ὑπέθετο· περιχαρῶς τοίνυν τὴν νηστείαν ὑποδεξώμεθα, αἰδεσθέντες τὸν ταύτης πάροχον, καὶ τὴν ἀπ' αὐτῆς ὠφέλειαν οἰκειούμενοι· εἰ μὴ γὰρ κατὰ τὸν ὡρισμένον τόνδε τῆς νηστείας καιρὸν προσπέσωμεν θεῷ καὶ προσκλαύσωμεν, καὶ τῶν ἡμαρτημένων ἕκαστος ἀποσταίημεν, πηνίκα ἂν οὕτω διαπραξώμεθα; Νηστεία κάθαρσις πνεύματος, κένωσις σώματος, ὄχημα νοὸς πρὸς θεὸν, ψυχῆς αἰθρία, στιλπνὸν τῆς θείας ἐλλάμψεως ἔσοπτρον, παθῶν ἀμαύρωσις, τῶν ἐπὶ γῆς μελῶν νέκρωσις· αὕτη τοίνυν τὸν κεντροβαρῆ, οὐρανοβάμονα δείκνυσι, καὶ ἀγγέλοις ἑνοῖ τὸν χθόνιον· εἰ δὲ τῇ νηστείᾳ καὶ προσευχὴ συνδυάζοιτο, δίπαλτον τοῦτο ξίφος κατὰ Σατὰν, καὶ κατὰ δαιμόνων ἀληθῶς ἀμφίστομος μάχαιρα· εἴη δ' ἂν ὁ ταύταις ἐλαφριζόμενος καὶ περιηργυρωμένη τὰς πτέρυγας πέλεια, ἐκ τοῦ κατακλυσμοῦ τῶν παθῶν ἐς δένδρον τὸ σταυρικὸν καταπαύουσα, καὶ ὡς κάρφος

Digitized by Google

ἐλαίας· ἐκεῖθεν τὰ τῆς σωτηρίας φέρουσα σύμβολα· ἢ γοῦν ἀετὸς τανυσίπτερος περιπταπταίνων καὶ σὺν ροίζῳ πλείστῳ φερόμενος, ὅπου πεσὼν ὁ Χριστὸς τὸ ἡμέτερον πτῶμα ἀνέστησεν· οὐκ ἀκόμψως δ' ἂν καὶ παράδεισον τὸν τῆς νηστείας καιρὸν ὀνομάσῃ τις, ξύλον ζωῆς βλαστάνοντα τὸν σταυρόν. Δεῖ τοίνυν τὸν ὀρεκτιῶντα ἀθανασίας δρέψασθαι ὃν τὸ ξύλον ἀνέδωκε τοῦ σταυροῦ γυμνὸν τῇ ἀπερίττῳ ζωῇ καὶ ἁπλότητι τὸν τῆς νηστείας διϊέναι παράδεισον, καὶ μήτ' ἀκοὴν ὑπέχειν τῷ γαστριοίκῳ κἀπὶ τῷ στήθει ἕρποντι δράκοντι, καὶ ὡς γνώσεως ἄλλο φυτὸν παριέναι τὴν τοῦ βίου τύρβην τὴν πολυσχιδῆ τε καὶ πολυφρόντιδα· χρεὼν δὲ τὸν νηστεύοντα μὴ βρωμάτων μόνον ἀπέχεσθαι, ἀλλὰ καὶ τῶν τῇ ψυχῇ συμφύτων καθαρεύειν παθῶν· νηστευσάτω τοίνυν ὀργῆς ὁ βαρύμηνις, τοῦ χολᾶν ὁ ἀκρόχολος· καμήλου τὸ ταμιευτικὸν τῆς ὀργῆς, ὥσπερ τὸ δολερὸν τῆς ἀλώπεκος, τὸ στικτὸν τῶν παρδάλεων, τῶν λεόντων τὸ μονοδίαιτον, τὸ δ' εἰς ὁλκοὺς λορδοῦσθαι τῶν ὄφεων· ἐπεὶ μὴ δ' ὡς σώζειν δυνάμενον αὐτὸ καθ αὑτὸ τὸ νηστεύειν νενομοθέτηται· ἀλλ' εἰ ἀγωγὴ πρὸς ἀρετὴν παραδέδοται, καὶ πόρθος θεοῦ στοιχείωσις· εἰ γάρ τις οἴνου μὲν αἴθοπος τὴν μετάληψιν οὐ προσίεται καὶ τῆς ἐδητύος ἀπέχεται πανημέριος, πόντῳ δὲ παραπλησίως οἴνοπι κατὰ τῶν πέλας ζέει θυμῷ, καὶ τύπτει πυγμῇ ταπεινόν, ἢ γοῦν ἐν βρώσει ἄρτου τὸν ὑποπεπτωκότα λέων ἐσθίειν προάγεται, μὴ δὲ διαλύει βιαίων συναλλαγμάτων στραγγαλιάς, πρὸς οὐδὲν ὀνήσιμον τὸ νηστεύειν μέτεισιν· ἀληθὴς γάρ ἐστι νηστευτὴς ὁ θυμὸν ἄγχων, ὁ τῷ πλησίον μὴ δρῶν κακὸν, μὴ δ' ὀνειδισμὸν λαμβάνων ἐπὶ τοῖς ἔγγιστα· ἐπὶ δὲ, ὁ διαθρύπτων ἄρτον πεινῶσι, τοὺς δ' ἀστέγους εἰσοικιζόμενος, καὶ περιστέλλων ἀχίτωνας, καὶ τὰς μὲν χεῖρας ἐν ἀθώοις νιπτόμενος, τὸ δὲ πρόσωπον λουόμενος δάκρυσι, καὶ ὡς ἐλαίῳ τὴν τῶν καλῶν ἐργασίαν τὴν κεφαλὴν λιπαινόμενος, καὶ προκόπτων ἐντεῦθεν κατ' ἀρίστην τινὰ πρόοδον, εἰς τὴν τοῦ πε-

Digitized by Google

ποιηκότος μίμησιν, ὃς ἐφ' ἅπασιν ἀνατέλλει τὸν ἥλιον, καὶ πιαίνει ταῖς ὑψόθεν ἐπιρροαῖς ὁπόσην ἥλιος ἔπεισιν ἅρματι, μὴ τὰ τενάγη παριεὶς ἀφώτιστα, μὴ δ' ἄνομβρον ἀφεὶς τὴν ἄνικμον· ὥσπερ γὰρ ὁ κράνος καὶ θώρακα περικείμενος καὶ ξίφος ἄμφηκες χειριζόμενος, καὶ ἵππον ἀναβαίνων πολεμιστὴν καὶ Ἀρράβιον, οὐκ ἂν δικαίως στρατιώτης κληθήσεται, εἰ μὴ καὶ τοῖς ἐχθροῖς εἰδήει συρρήγνυσθαι καὶ συγκόπτειν τῶν ἀντιφρόνων τὰς φάλαγγας, οὕτω δὴ καὶ ὁ νηστείᾳ χρώμενος, οὐ μὴν καὶ προβαίνων εἰς ἀρετῶν τελειότητα, μάτην ἰσχναίνει τὸ σῶμα, καὶ εἰκαίως τὸν χρῶτα τρέπεται εἰς ὦχρον βαπτόμενος· εἰ γὰρ τὸν Φαρισαῖον δὶς σαββάτου νηστεύοντα καὶ τὴν τῶν ὄντων μετιόντα δεκάτωσιν, ἡ μεγάλαυχος τῶν κατωρθωμένων κατέκρινεν ἀπαρίθμησις· ὁ δὲ βραχὺς στεναγμὸς τὸν τελώνην ὑπὲρ αὐτὸν ἐδικαίωσεν, ὅσα καὶ χνοῦν ἄνεμος ἐκριπίσας οἷς περ διεσφάλητο τοῦ δέοντος· πῶς ἂν μονάζον τὸ νηστεύειν καὶ μὴ ταῖς λοιπαῖς θεοπειθέσι πράξεσι συστοιχούμενον τὸν μετιόντα θεῷ καταλλάξειε; Καλὸν μὲν γὰρ ὡς ἐν κναφείῳ τῇ νηστείᾳ τὸ δερμάτινον, τουτοῦ γνάπτειν χιτώνιον, τὴν σάρκα φημὶ τὴν θνητὴν, καὶ ἀντίτυπον ὃ ἠμφίασεν ἡμᾶς ἡ παράβασις· ἄμεινον δὲ εἰ καὶ τῶν ἐντολῶν ἐγγράφει τις αὐτῷ τὴν δεκάλογον, καὶ ὡσεὶ δέρριν διελίττει θεόγραφον, ὁδῷ δὲ προϊὼν καὶ σύμφυτος γίνοιτο τοῖς πάθεσι τοῦ Χριστοῦ, καὶ κοινωνὸς τῆς αὐτοῦ βασιλείας καὶ τῆς θεώσεως. Ἡμεῖς γὰρ οἱ ἐπὶ γῆς βασιλεύοντες καὶ βασιλευόμενοι ἄνωθεν, ὧν μὲν μεταδιδόαμεν τοῖς θεράπουσιν, ὧν δὲ τὴν μέθεξιν ἀπαγορεύομεν· Χριστὸς δὲ οὐχ οὕτως· ἀλλὰ θνητοὶ θεοῖο κατ' ἴχνια βαίνοντες, τῶν αὐτοῦ πάντων ἐσμὲν καὶ κληρονόμοι καὶ μέτοχοι· εἰ δὲ καὶ βασιλεὺς προκινδυνεύει τῶν ὑπὸ χεῖρα, πρῶτος αὐτὸς κατὰ τῶν ἀντιπάλων κεντρίζων ἵππον, κραδαίνων δόρυ, σπώμενος μάχαιραν, τίς οὕτω στρατιώτης δείλανδρος καὶ ὑπόκωφος καὶ τῶν ὅπλων ἃ περίκειται παντάπασιν ἀνάξιος, ὡς μὴ τῷ δε-

Digitized by Google

σπότη ταὐτόζηλος δείκνυσθαι, καὶ οἷ συγκάμνειν καὶ συμμογεῖν καὶ συνδιαφέρειν ἑκάστης τὸν κίνδυνον; ἐκ δὲ τοῦ ὁμοίου καὶ κρείττονος, εἰ Χριστὸς νηστείαν ἠσπάσατο, ὁ μηδόλως τοῦ νηστεύειν δεόμενος, ὑπόδειγμα καὶ τύπος ἀρίστης πολιτείας ἡμῖν γινόμενος, καὶ ὑπαλείφων εἰς μονομάχιον, δι' οὗ θνητοὶ καὶ βλητοὶ καὶ ἐπίκηροι πεφηνότες τοῦ ἀσάρκου τε καὶ ἀναίμονος περίεσμεν πολεμήτορος, ὅστις τῶν ἁπάντων μὴ οὐχὶ νηστεύειν ἕλοιτο; Ἄγε τοίνυν ὁ μὲν στρατιώτης ἐμοῦ τοῦ ἐπὶ γῆς βασιλεύοντος στρατολογείσθω καὶ Χριστῷ τῷ παντάνακτι, τὴν πανοπλίαν τοῦ πνεύματος ἀμπεχόμενος· καὶ ὡς μὲν τόξον τὰς χεῖρας ἐντείνων εἰς δέησιν, ὡς δὲ βέλος τὴν προσευχὴν ἀφιείς, καὶ βάλλων οὕτω τοὺς ἐξ ἀφανοῦς τοξεύοντας, οὐκ αὐτὸς δὲ μόνον ὁπλίτης γινέσθω πνευματικὸς καὶ τὰ τακτικὰ ἀμφιδέξιος, ἀλλὰ καὶ τὸ κτηνῶδες ἴδιον σκῆνος εὐήνιόν τε τῇ νηστείᾳ καὶ εὔδρομον ἔστω τιθείς, καὶ πρὸς ὄχησιν ἐπιτήδειον τοῦ τῶν Χερουβεὶμ ἐπιβαίνοντος. Οἱ ἱερεῖς ἐνδύσασθε δικαιοσύνην, κἀκείνοις ἀνθαμιλλώμενοι περὶ ὧν φησιν ὁ . . . . Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ, ἐπεκαλοῦντο τὸν κύριον, καὶ (αὐτὸς) εἰσήκουσεν αὐτῶν· ὁ θεὸς σὺ εὐίλατος ἐγίνου αὐτοῖς καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν· τοῦτο τὰ πρὸς ἡμᾶς ἐπείγεσθε γίνεσθαι, ὅπερ τὰ πρὸς θεὸν ὑμᾶς ὁρᾶσθαι χρεών, θεῷ συγγινόμενοι, θεούμενοί τε καὶ θεοῦντες ἡμᾶς, ἁγιαζόμενοί τε καὶ ἁγιάζοντες. Οἱ δὲ τῆς μοναδικῆς μερίδος, ὡς ἤδη τοῦ νηστεύειν ὄντες ἐθάδες, καὶ μέλισσαι συνήθεις τοῖς ἄνθεσι, παραβραχύ τι τῶν ἀγγέλων ἐλαττονείσθωσαν, ἑαυτοὺς ὡς ἐξὸν ἐκχοΐζοντες, καὶ πυρὸς σύμβολον τὸ μέλος τιθέμενοι· καὶ τοῦ ἐν τῇ μελέτῃ μὲν τῶν θείων λογίων ἐκκαομένου, μάλιστα δὲ τοῦ ποδηγοῦντος εἰς ἀρετὴν τοὺς ἐν νυκτὶ τῶν παθῶν, ὁποῖον καὶ τὸν τοῦ πυρὸς στύλον μανθάνομεν τὸν τοῦ πάλαι Ἰσραὴλ προηγούμενον· ἢ γοῦν τὸ φαεινὸν τῆς περιβο-

Digitized by Google

λῆς ἐναργὲς τεκμήριον προβαλλόμενοι, τοῦ τὸν ἥλιον τῆς δικαιοσύνης ἀκτῖσι θερμοτέραις προσβάλλειν σφίσι, κατὰ τὴν ἀσματίζουσαν οὑτωσὶ νύμφην· μέλαινα εἰμὶ καὶ καλή, ὅτι παρέβλεψέ με ὁ ἥλιος. Οἱ δὲ τῆς τάξεως τῆς λοιπῆς καὶ τοῦ λαώδους ἀθροίσματος, οἱ μὲν πρὸς τὸν ὅμοιον ζῆλον ἐρεθιζέσθωσαν, οἱ δὲ καὶ πρὸς μετάνοιαν γηπονείτωσαν, καὶ τὸν σταυρὸν αἱρέτωσαν τοῦ Χριστοῦ τὸν ἐλαφρὸν, ὡς αὐτὸς μαρτύρεται, καὶ θώματα ποιήτωσαν ἀρετῶν δακρύων ἐπαρδόμενα νάμασιν. Οἱ δὲ περὶ τὴν ῥοπὴν τοῦ ζυγοῦ καὶ τὴν τῶν συναλλαγμάτων μετάμειψιν ἐν νῷ τὸ τάλαντον φέροντες, ὃ τοῖς ἑαυτοῦ δούλοις ὁ Κύριος διενείματο, τὴν τοῦ πονηροῦ καὶ ὀκνηροῦ οἰκέτου κατάκρισιν ὑφοράσθωσαν, καὶ τὴν ἐκ βραχέων εἰς πλεῖστα τοῦ πιστοῦ καὶ ἀγαθοῦ ζηλούτωσαν πρόβασιν· καὶ ἕκαστος, εἰ μή γε διὰ πάσης τῆς τῶν ἀρετῶν συστοιχίας χωρεῖν δύναιτο, τὴν γοῦν τινῶν αἱρετιζέσθω κατόρθωσιν· ἵν' ὡς εἰς κλίμακα μίαν βαθμίδες πλείονες τὰ θεοφιλῆ ἔργα διατιθέμενα, εἶησαν ἄνοδος εἰς θεὸν, οἷς περ ταῦτα καὶ διαπέπρακται. Οὕτω στρατηγοὶ καὶ φυλαὶ παλαίτεροι ἐνέκλιναν ἔθνη ἀλλόγλωττα· οὕτως οἱ τρεῖς παῖδες ὤφθησαν χρυσοῦ εὐρροιζότεροι καὶ πυρὸς σθεναρώτεροι ἐκκαυθέντος εἰς ἑπταπλάσιον· οὕτω Δανιὴλ λιμῷ προσπαλαίοντας λέοντας ἔδειξεν· οὕτω θεὸν Ἠλίας ἐν Χωρὴβ ἐθεάσατο, καὶ θεόπτης ἐγεγόνει Μωσῆς, ἢ μᾶλλον ἠκηκόει θεὸς Φαραὼ μαστίζων τοῖς στοιχείοις Αἴγυπτον, καὶ χειρῶν ἐκτάσει μυριάδας τρεπόμενος· οὕτω Νινευῖται θεοῦ ἀπόφασιν ἔστησαν· ἀλλὰ καὶ Ἰσραὴλ ἀλφίτοις ἐξ Αἰγύπτου μόνοις ἐνσκευασάμενος, ἃ δήπουθεν νηστείας, τὴν Ἐρυθρὰν ἀβρόχως ἐπέζευσεν· οἱ δ' Αἰγύπτιοι τριστάται ὧν τὰ ὕεια κρέα καὶ οἱ λέβητες, ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ κατέδυσάν τε καὶ διεφθάρησαν. Χθὲς οὖν ὡς πάπυρος ὑλοχαρὴς καὶ κάλαμος φίλυδρος ταῖς ἡδοναῖς ἰλυσπώμεθα, εὐρίπιστόν τινος . . . . (νῦν δὲ) ὡς εὔρριζοι φοίνικες ἐξανθήσωμεν, ἐν οἴκῳ κυρίου πεφυ-

τευμένοι, καὶ τῇ τῶν δακρύων ἁλμυρίδι τρεφόμενοι· καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθῶμεν ταῖς ἀρεταῖς. Ἀεὶ μὲν οὖν ἡμεῖς οἱ τὴν κλῆσιν Χριστοῦ περικείμενοι, βιοῦν ὁσίως καὶ σωφρόνως καθηγετούμεθα, μὴ δὲ χρόνους καὶ καιροὺς διαστέλλειν τῆς ἐς τὸ θεῖον εὐαρεστήσεως, ἀλλ' ἅπασαν τὴν ζωὴν, ὡς ἡμέραν τίθεσθαι μίαν κατά γε τὴν καλοῦ ἐργασίαν καὶ τὴν τῶν ἐντολῶν ἀκρίβειαν· ἐπεὶ δὲ τὸν λόγον τοῦτον οὐ πάντες χωρεῖν ἰσχύομεν, τὴν γοῦν τῶν νηστειῶν προθεσμίαν εἰς ἱλαστήριον καιρὸν ὁρισθεῖσαν καὶ τῆς χρονικῆς περιόδου δεκάτωσιν, μὴ ταῖς λοιπαῖς ἐπίσης ἡμέραις ἀμελῶς διανύσωμεν· ἀλλ' ὡς Χριστὸς ὑπήκοος γέγονε τῷ πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, οὕτω καὶ ἡμεῖς Χριστῷ καθυπείκοντες, μετὰ βρωμάτων καὶ παθῶν καθαρεύσωμεν· καὶ εἴπερ δικαιοσύνη μὲν ἔθνος ὑψοῖ, ἐλαττονοῦσι δὲ φυλὰς ἁμαρτίαι, ὡς Σολομῶντι καὶ τῇ ἀληθείᾳ δοκεῖ, πάντως καὶ τὰ κατὰ τὸ γένος ἡμῶν οὐκ ἄλλως ὑπέστη ταπείνωσιν, εἴτε μὴν ἐλάττωσιν καὶ ὑπόπτωσιν· καὶ ἡ παμβασίλεια πόλις ἡμῶν πυρὶ κατηθάλωται, καὶ πᾶν ὅ τι χείριστον ἀνθρώποις πέπονθεν, ἐς δεῦρο πατουμένη ποσὶν ἀλλοφύλων αἱμοχαρῶν, εἰμή γε δικαιοσύναι μὲν ἐξέλιπον, ἕκαστος δὲ ἡμῶν ὀπίσω τῶν πονηρῶν ἔργων αὐτοῦ ἐπεπόρευτο. Ὢ τίς Ἱερεμίας ὀδύραιτο τὰ ἡμέτερα; ἢ ποῖος χρόνος παρασύρῃ τῆς λήθης τῷ ῥεύματι ὅσα ἡμῖν ἀπέκειτο καὶ ἰδεῖν καὶ παθεῖν; πόλεων ἁλώσεις, ναῶν ἐρημώσεις, σκευῶν παναγῶν βεβηλώσεις, ἀνδρῶν οἰμωγάς, γυναικῶν ὀλολυγάς, σκυλεύσεις, μεταναστεύσεις, καὶ τἆλλ' ὁπόσα τὸ τεθνάναι δρῶσι τοῦ βιῶναι πολλῷ αἱρετώτερον! Εἶδες Κύριε, μὴ παρασιωπήσῃς· ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν ἡμῶν, μὴ δ' ἀπώσῃ εἰς τέλος· ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν· καὶ ὃν τρόπον ἡμᾶς ἐπεφύλλισας, οὕτως αὐτοὺς ἐπιφύλλισον. Τάχα δ' ἂν, καὶ τὰ πρὸς ἕω ταυτὶ χείρω εἶδον καὶ ἔπαθον, ὧν ἡ δυσμὴ δεδυσπράγηκε, καὶ πολλῷ δυσαχθέ-

Digitized by Google

στερα τῶν ἐκεῖ συμπεπτώκασιν, εἰ μὴ θεὸς ἐγκατέλιπε σπέρμα τὴν βασιλείαν μου· ἐὰν γὰρ θέλω καυχήσασθαι οὐκ ἔσομαι ἄφρων κατὰ Παῦλον φθέγξασθαι τὸν πνευματορήτορα, καὶ χειρῶν ἑτέρων Ἡρώδου καθάπερ πρότερον τὸν ἐπὶ τῶν κυμάτων πεζεύσαντα μαθητὴν, καὶ φρουρᾶς παραδόξως ἐξείλετο, καὶ τοῖς ὧδε παρέπεμψε μέρεσιν· ἴστε γὰρ, ἴστε πάντες τοὺς κόπους, τὰς ἀγρυπνίας, τὴν ἐκ τῶν δε τῶν τόπων εἰς ἑτέρους ἄμειψιν, τὰ ἔνεδρα τινῶν καὶ πονηρὰ διαβούλια, τὴν εἰς ἔθνη τὰ πρόσοικα πολλάκις ἄφιξιν, τὴν ἐκεῖθεν σύναρσιν, τὰς ἐν ταῖς ἑλλησποντίοις πηγαῖς τῶν ἱδρώτων πηγάς· ἃ δὴ πάντα συνηνέχθη τε καὶ κατεπράχθη τῇ βασιλείᾳ μου, οὐχ ἵνα κέρδος καρπώσωμαι ἴδιον, οὐχ οὕτως ἐγὼ πλέον φίλαρχος ἤπερ φιλόπατρις, ἀλλ' ἵνα τῶν ἑῴων ἀποσοβήσαιμι πόλεων, τὸ κατὰ πᾶσαν εὐπέτειαν τὴν Ρωμαϊκὴν ὑπεισιὸν ἐπικράτειαν, ὅσα καὶ νέφος ἀκρίδων, καὶ κεῖρον ταύτην καὶ ληϊζόμενον ἐπιζεφύριον ἐπάρατον σύνταγμα, καὶ στήσαιμι τῆς πρόσω φορᾶς τὴν κατὰ γάγγραιναν νόσον ἀεὶ τὰ σύνεγγυς νεμομένην ἀγχέμαχον λατινικὴν στρατιάν. Μετὰ τοιαύτης προθέσεως καὶ πεποιθήσεως τῇ δε κακεῖσε κατὰ δίαυλον ἡ βασιλεία μου περιήρχετο· νῦν μὲν ἐκτρεπομένη καὶ πρὸς μόνην τῆς σημαίας αὐτῆς τὴν ἀνέμωσιν, τὰ τὸν Εὔξεινον δεικνύντα κακόξεινον μειράκια· νῦν δὲ συμπλεκομένη τῷ μιγέντι τοῖς ἔθνεσι καὶ μαθόντι τὰ τούτων ἐπιτηδεύματα, κἀπὶ τούτοις δρῶσα ἐκδίκησιν, καὶ δεσμοὺς ἕως τραχήλου ἐγείρουσα· νῦν δ' ἄλλοις ἐπιοῦσα καὶ τὰ τούτων συστρέμματα διαλύουσα, ὅσα καὶ παιδίων ἐπὶ ψάμμου ἀθύρματα· ὁ δ' ἐντελὴς μισθαποδότης θεὸς, καὶ τὰς ἐπὶ στήθους ἐννοίας ἑκάστου τῶν ἀνθρώπων ζυγοστατῶν, τὴν θερμὴν ὁρμὴν καὶ τὸν ὑπὲρ τοῦ καλοῦ ζῆλον τῆς βασιλείας μου προσδεξάμενος, εἰς τὴν βασίλειον ταύτην ἀνηρπάκει περιωπὴν, Δαυΐδειον τὸ χρίσμα καὶ τὴν ἀρχαιρεσίαν ταυτίζουσαν δωρησάμενος· (ὡς) ἐκεῖνος τῆς Ἰούδα πρώτως ἐπέβη φυλῆς, εἶτα καὶ τοῦ παντὸς

Ἰσραήλ, καὶ ἡ βασιλεία μου ἐς δεῦρο τῶν πρὸς ἀκτῖνα ῥωμαϊκῶν ὑπεριζάνουσα πόλεων, πέποιθεν ὡς ὁ πρωτότοκον θέμενος τὸν Δαυὶδ ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς, καὶ προσεπιδοὺς ὕστερον ἐκείνῳ τὴν τῶν ἑτέρων φυλῶν κληρούχησιν καὶ τῆς Σιὼν τὴν κατάσχεσιν, αὐτὸς καὶ τὰ τῆς βασιλείας μου κατευθύνων διαβήματά τε καὶ διαβούλια, πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων ἐξουσίαν χαρίσαιτο, καὶ κατ' ἐθνῶν ἀνδρίσασθαι δοίη τῶν τὴν Ῥωμαίων διειληφότων, ὡς οὐδ' αἱ μέλισσαι τὰ μελίκηρα. Ἔσται δὲ ταῦτα δήπουθεν, εἴπερ διὰ νηστείας καὶ προσευχῆς καὶ τῆς τῶν καλῶν ἐργασίας, εἴπω δὲ καὶ τῆς ἐς τὴν βασιλείαν μου εὐπειθείας, τὸν θεὸν θεραπεύσομεν· βούλεται γὰρ τὸ θεῖον τοῖς δι' αὐτοῦ βασιλεύουσιν ὑπείκειν εὐμαρῶς τὸ ἀρχόμενον, καὶ ῥᾳδίως ὑπενδιδόναι καὶ μηδαμῶς ἑτεροζυγεῖν τοῖς τὰ κοινὰ χειρίζουσι πράγματα· ἐπεὶ καὶ τάξις ἐστὶν ἡ τὸ πᾶν συνέχουσα· τάξις ἐν ὥραις, τάξις ἐν ἡλίῳ καὶ ἀστράσι, τὸ δὲ δὴ μεῖζον τάξις ἐν πνεύμασιν, εἴπερ καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται, καὶ οὐδὲν τῶν πάντων τὸ χρήσιμον αὐτῆς διαπέφευγεν. Εἰ τοίνυν οὕτω πολιτευόμεθα, ἐροῦμεν ἂν τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν! τῷ λιθοκαρδίῳ γένει τῶν Ἰταλῶν καὶ μετεώρῳ κατὰ λόφους καὶ βουνοὺς τὸ φρόνημα, ὅπερ ἐν θαλάσσῃ τὴν πορίαν θέμενον κατέδραμε τὴν ἡμετέραν, καὶ πλατὺ κατ' αὐτῆς ἐπικέχηνε· καὶ τῶν πατρίδων αὖθις λαβώμεθα ὧν ἁμαρτόντες ἀπεσφαιρίσθημεν· αὗται δέ εἰσι τὸ ἀρχαῖον καὶ πρῶτον ἡμῖν ἐνδιαίτημα, ὁ παράδεισος, καὶ ἡ πρὸς Ἑλλησπόντῳ πόλις τοῦ κυρίου τῶν δυνάμεων, ἡ πόλις τοῦ θεοῦ ἡμῶν, τὸ εὔρριζον ἀγαλλίαμα πάσης τῆς γῆς, ἡ παρὰ πᾶσιν ἔθνεσιν περιμάχητός τε καὶ περιώνυμος. Καὶ γένοιτο, Χριστὲ βασιλεῦ, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι, ὁ διασκορπίζων ἔθνη τὰ τοὺς πολέμους ἐθέλοντα, ὁ θανατῶν καὶ ζωογονῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ διὰ τῶν εὐωνύμων καὶ δεξιῶν πηδαλιουχῶν

Digitized by Google

καὶ διεξάγων ἀρίστως τὰ ἀνθρώπινα πράγματα, νῦν μὲν (τὴν τῶν) ἡμερῶν τεσσαρακοντάδα πάντως ἡμᾶς εὐαρέστως διηνυκότας, ᾆσαί σοι τὰ ἐκ νεκάδων ἀναστάσιμα, ἐφεξῆς δὲ καὶ τὰ κατ' ἐχθρῶν κροτῆσαί σοι νικητήρια· εἰ δὲ καὶ τὰ εἰσιτήρια ἑορτάσομεν ἧς ἐκπεπτώκειμεν πόλεως εἰς ἐλευθερωτὴν Μωσῆν καὶ τὸν ἐπανάγοντα τὴν αἰχμαλωσίαν Σιὼν Ζοροβάβελ κριθείσης τῆς βασιλείας μου, εἴη ἂν τοῦτο τῶν σῶν θαυμασίων ἔργων θαυμασιώτερον καὶ τῶν πώποτε τελεσθέντων ἐξαισίων ἐξαισιώτερον. Ὅτε καὶ τὰ λοιπὰ θρέμματα τῆς φωνῆς ἀκηκοότα τῆς βασιλείας μου, ὡς εἰς μάνδραν μίαν τὴν προτέραν ἀρχὴν ἀλισθήσονται, ἃ τῶν ἕως οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμὴν, εἰς δόξαν σὴν καὶ καύχημα τῆς κληρονομίας σου, ᾧ πρέπει μεγαλωσύνη τε καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τοῦ αὐτοῦ λόγος ἐκδοθεὶς ἐπὶ τῷ ἀναγνωσθῆναι εἰς τὸν Λάσκαριν κὺρ Θεόδωρον βασιλεύοντα τῶν ἑῴων Ρωμαϊκῶν πόλεων, ὅτε οἱ Λατῖνοι κατεῖχον τὴν Κωνσταντινούπολιν, ὁ δὲ ἐκ Μυσίας Ἰωάννης κατέτρεχε μετὰ Σκυθῶν τὰς δυσικὰς Ρωμαϊκὰς χώρας.

Φασὶν Ἀλέξανδρον, ἐκεῖνον δ' Ἀλέξανδρον, ὃς ἐκφὺς Φιλίππου στρατείαν ἤλασε βαρεῖαν κατὰ Δαρείου, καὶ μόνος ἐξ ἁπάντων τῆς ἕω πάσης ἐκράτησε, φιλολογεῖν τὰ πλεῖστα καὶ σοφῶν τοῖς ἀρίστοις συγγίνεσθαι, ἐν πολλοῖς δὲ καὶ εἰωθέναι λέγειν, ἐπὶ τῷ δὲ μάλιστα ταῖς τῶν πράξεων μεγίσταις ἐνασμενίζειν καὶ μεγαλοκίνδυνος εἶναι καὶ φιλοκίνδυνος, ὅπως βαρβάρους μὲν νικῷεν Ἕλληνες, ὑπὸ δὲ Ἑλλήνων αὐτὸς ἀνακηρύττοιτο, καὶ εἴη

Digitized by Google

τις ἐντεῦθεν ἀθάνατος, φύσιν λαχὼν ἐπίκηρον· καὶ καλῶς οἶμαι δρᾶν καὶ λέγειν Ἀλέξανδρον, καὶ μὴ μόνον Ἀλέξανδρον, ἀλλὰ καὶ πάνθ' ἕτερον αὐτοκράτορα φιλότιμον κατ' Ἀλέξανδρον. Ἐπιδίδωσι γὰρ ἅπαν τὸ ἐπαινούμενον, καὶ πρόεισιν ἁπανταχῇ γῆς τοῖς τοῦ λόγου πτεροῖς κουφιζόμενον, ὥσπερ ὑποφθίνει καὶ λήθης βυθῷ παρασύρεται τὸ μὴ λόγῳ διακρατούμενον· καὶ οὕτως δ' εἰπεῖν, αἱ μὲν πράξεις χειρῶν, αἱ δὲ χεῖρες Μουσῶν ἐπιδέονται, ἵν' αἱ μὲν δρῶσιν ἔργα πολέμια τῷ δραστηρίῳ τῆς φύσεως, τὰ δὲ ὡς ἁλιάσι ταῖς σελίσι παραδιδόμενα τὸ τοῦ χρόνου περῶεν μέγιστον πέλαγος· καὶ κατὰ τοῦτο οἶμαι οὐκ ἐπίπαν διώρισται τὰ τὸν Ἑρμῆν ἐκδιϊστῶντα τοῦ Ἄρεος, οὐδ' ὁποίως ἔχει πρὸς τὴν ἀπόφασιν ἡ κατάφασις· εἰ γὰρ οἱ λόγοι ἔργων σκιὰ, ἥδ' ἀεὶ συνέπεται τοῖς ἔργοις καθὰ τοῖς σώμασιν, ἐκ τοῦ ἀναμφιλέκτου δήπουθεν ταῖς ἀρίσταις πράξεσι καὶ τοῖς κατορθωτικοῖς ἐν πολέμοις ἄναξιν, συμπρόεισιν Ἑρμῆς ὁ διάκτορος, καὶ συμφυὴς ὁρᾶται καὶ σύνθωκος· τεκμήριον δ' οὗ φημι ἀναμφίρηστον, ὁ τῆς Καλλιόπης παῖς Ὀρφεὺς, κἂν ταῖς εἰκόσιν αὐτοῦ ταῖς χαλκήρεσι συναγωνιῶν οἷον Ἀλεξάνδρῳ τὰς λαμπρὰς μεθ' ὅπλων νίκας ἀναδουμένῳ, καὶ ἱδρῶσιν ἅπας περιαντλούμενος. Ἐπεὶ τοίνυν ταῦθ' οὕτως ἔχει, κράτιστε βασιλεῦ, καὶ νικητὴς ἡμῖν ἐπανήκεις καὶ τροπαιούχων ὁ ἐξοχώτατος, ἄγε κατάθου τὰ ὅπλα ἐπὶ βραχὺ, διανάπαυσον τὸν ἵππον, τῶν μόχθων ἀνάπνευσον, τοὺς ἱδρῶτας ἀπόσμηξον, τὴν κόνιν ἀπόμορξαι, ἥτις ὡς αἱ ἄχναι τοὺς ἅλωνας, τὴν ἱερὰν παλύνει σου κεφαλήν· ἀλλὰ δὴ καὶ σάλπιγγα τὴν ἀριζήλην μὴ τὸ ἐνυάλιον ἐνδοὺς ἀλαλάζειν, ἀλλ' οἷον τὸ πομπικόν τε καὶ τὸ προσόδιον, ἑρμαϊκὰ ἐνώτισαι ῥήματα· καλῶς ἠγώνισαι· λαμπρῶς ἠρίστευσας· γενναίως διήθλευσας· δεῖ σε λοιπὸν καὶ τὸν ἐπὶ τοῖς κατορθουμένοις ἔπαινον δέξασθαι, καθάπερ οἱ ἀθλοῦντες πρότερον τὴν ἐγγραφὴν καὶ τὸν στέφανον. Οὔκουν ἐκθηλυνοῦσιν οἱ λόγοι σε, μὴ δέδιθι τοῦτο· παροξύνουσι δὲ μᾶλλον

καὶ προσεπιρρώσουσιν εἰς ἔργα μείζονα (καὶ) ἀνώτερα· ὥσπερ πάλαι καὶ τὸν Ἀλέξανδρον τὰ Τιμοθέου κρούματα ἐνεθέαζον πρὸς ὁπλένδυσιν· ἔπαινος γὰρ τοῖς μὲν βλαξὶ καὶ θηλυδρίαις, ἐκνευρισμὸς καὶ γυναικισμὸς, καὶ τοὺς τοιούτους ἄν τις θεάσαιτο παραπλησίως ταῖς ψηχομέναις ὑσὶ τὰς γαστέρας, ὑπὸ τῶν ἐπαίνων τὰ ὦτα κνωμένους καί πως ἀνιεμένους εἰς ἀνανδρότητα· τοῖς δ' ἀνδρικοῖς καὶ γεννάδαις, καὶ ὧν αἱ μὲν χεῖρες ἐπ' ἐπιμελείαις ἀεὶ, ὁ δὲ βίος ἀραρώς τε καὶ σύντονος, κέντρον εἰσὶν εἰς ἀρετὴν τὰ ἐγκώμια καὶ παράθηξις πρὸς ἄλλων ἀριστευμάτων αὐτούργησιν· ὥσπερ ἐν εἰκόσιν εἰλικρινέσι καὶ κατόπτροις λείοις τοῖς λόγοις τὰ σφῶν ἀναμανθάνουσι κατορθώματα, καθάπερ καὶ Ἠλέκτρα τὸν ἀδελφικὸν ἀνεγίνωσκε βόστρυχον τοῖς ἑαυτῆς πλοκάμοις παρεξετάζουσα. Δοτέον τοίνυν τῷ λόγῳ τὰς ἀριστείας σου, καὶ εἰσοιστέον τὸν ἔπαινον, καθά τι κέρμα καὶ ὄφλημα δίκαιον· εἰ γὰρ σὺ τὰς νίκας περὶ πλείστου τίθης, ἀεὶ καὶ διὰ μελέτης ἔχεις τὰ τρόπαια, οὐδ' οἱ λόγοι λήσονται δήπουθεν τοῖς λαμπροῖς τῶν ἔργων ἐκφύεσθαι, καὶ τιθέναι ταῦτα τοῖς ἁπανταχῇ διαβόητα· ὅτι μὴ δ' ἐκ γένους διαδοχὴν, ἀλλ' ἆθλον ἀρετῆς καὶ καμάτων καὶ τραυμάτων ἀντίδοσιν, τὸ ἄρχειν θεόθεν εἴληφας. Ἐκάλει μὲν γάρ σε πρὸς βασιλείαν καὶ τῶν ὅλων ὑπερεκάθιζε, καὶ κῆδος βασίλειον καὶ τὸ γένους εὔποτμον καὶ ἐπίσημον, καὶ τὸ βραχύ τι παρ' Ἀγγέλους ἠλαττονῆσθαι τοὺς τὰ Ῥωμαίων σκῆπτρα χειρίζοντας· τῶν δὲ πραγμάτων ἄλλως ριφθέντων, καὶ πανσπερμίας ἐθνῶν ἑσπερίας χειρωσαμένης τὴν πρωτίστην καὶ καλλίστην τῶν πόλεων, καὶ ἄλλων ἄλλῃ διασκεδασθέντων τῶν ἐς ἡμᾶς εὐπατριδῶν, καὶ πάντων τὸν περὶ ψυχῆς τρεχόντων, καὶ τῶν μὲν ἐπαναστάντων, τῶν δὲ μεινάντων μὲν ἐπὶ τῆς πατρίδος οὐκ ἐπαμυνάντων δὲ τῇ πατρίδι, ἀλλὰ καὶ κατεπεμβαινόντων μᾶλλον αὐτῆς, καὶ πλεῖον ἑαυτοὺς αἰσχυνόντων οἷς ἑκόντες τοῖς κρατοῦσιν ὑπέκυπτον ἔθνεσι, καὶ τρύφος ἄρτου καὶ κοτυλαίου

Digitized by Google

κεράσματος τὴν ἐλευθερίαν ἀγεννῶς ἀπεδίδοντο· καὶ τοῦ καιροῦ μονονουχὶ φωνὴν ἀφιέντος κατὰ περίτρανον κήρυκα μὴ τύχης πέττευμα, μὴ γένους κληρούχημα, ἀλλ' ἀνδρείας δώρημα καὶ πολλῶν ἱδρώτων βράβευμα προκεῖσθαι τὴν βασιλείαν, μόνος ἐξ ἁπάντων αὐτὸς ταῖς τῶν ὅλων γνώμαις ἀντίρροπος γέγονας· οὐ γὰρ διαδρὰς τοὺς πολεμίους ἀπεψιλωμένος πάντων πλὴν τῆς ἀρετῆς καὶ τοῦ σώματος, ὡς ἐκ φλοίσβου θαλαττίου πάλαι Ὀδυσσεὺς ὁ πολύμητις. . . . . ὅρων καὶ σταθμοὺς ἐσχάτους ἐζήτησας ἐπίσης τοῖς ἄλλοις φιλοψύχοις, εὖ πράττειν ἑαυτὸν μονώτατον προμηθούμενος· ἀλλὰ τί οὐ δίδως ὕπνον τοῖς ὀφθαλμοῖς, οὐ δ' ἐπισταλάττεις τοῖς κροτάφοις ἀνάπαυσιν; θρηνεῖς κατὰ προφήτην πολύδακρυν ὅσα δυσχερῆ τῇ νέᾳ Σιὼν ἐπεισήρρηκε, κἀκ τῶν παρόντων τὰ μέλλοντα φανταζόμενος, καὶ τὰ δεινὰ προδήλως ὁρῶν ἐφέρποντα· κακὸν γὰρ ἐπὶ κακῷ ἐστήρικτο πάντῃ· τὰ μὲν αὐτίκα διοικεῖς συμφερόντως, τὰ δὲ προασφαλίζῃ, καὶ ὅλην σφίσιν ἀπονέμεις τὴν μέριμναν· περιέρχῃ τὰς ἑῴας πόλεις, εἰς λόγους ἔρχῃ τοῖς ἑνοῦσι· τίθης ὑπόψια ὅσα πείσονται πάνδεινα, εἰ μή σοι πείσονται τάχιον· τούτοις ἐπιπλήττεις, ἐκείνοις ἐπιτιμᾷς· νῦν μὲν ἐκκλησιάζεις τὰ λαώδη συστήματα, νῦν δὲ παραλαμβάνων ἰδίᾳ τοὺς λογίμους καὶ συγκαλῶν ἐς συνδείπνιον, πολυγύμναστος τὸ ἦθος καὶ ποικίλος τὴν γνώμην δείκνυσαι, εἴπως ἀναθάλψεις οὕτως τὸ ἀπεσβηκὸς ἤδη τῶν Ῥωμαίων φρόνημα· ἐπεὶ καὶ πάντες ὡς οὐράνια φάσματα τὰ εἰς δοκίδας διεκτεινόμενα, τὸ δόρυ τὸ λατινικὸν ὑπεβλέποντο· ἠνέσχου πολλάκις ὡς καὶ βλασφημούμενος, ἐνιαχοῦ καὶ ῥάβδον ἀπειλήσας, βακτηρίαν ἀπένειμας, καὶ κυρώσας ἔχθραν, φιλίαν ἐκράτυνας, οὐ ζητῶν τὸ ἑαυτοῦ, τὴν δὲ σώτειραν τῶν πόλεων πασῶν μετιὼν στρατήγησιν, οὐδ' ὅπως περιβαλῇ τὴν πορφυρίδα καὶ ὑποδύσῃ τὸ ἐρυθρὸν πέδιλον, ἀλλ' ἵνα τὸ κηρεσιφόρον βάρβαρον ἀπελάσειας, καὶ τῇ πατρίδι βοηθήσῃς κακῶς πασχούσῃ καὶ στεγούσῃ

Digitized by Google

τὰ πάντων τῶν δεινῶν δυσαχθέστερα· ηὔξω κατὰ τὸν ἐκ Ταρσοῦ θεοκήρυκα τῆς κοινῆς προκινδυνεύων ἐλευθερίας, καὶ ἀνάθεμα εἶ, ναὶ ὑπὲρ τῶν ὁμογενῶν καὶ συμφύλων σοι. Βαβαὶ τῶν ἱδρώτων σου βασιλεῦ, οἷς ἐνελιμνάσθης πολλάκις τοῖς ἐν ταῖς πηγαῖς τῇ πόλει κοντοφόροις ἀνθαμιλλώμενος, ἱδρώτων ἐκείνων δι' ὧν ἐπήγασαν ἡμῖν τὰ σωτήρια· καὶ σὺ δ' αὐτὸς, ὡς ἐν νάμασιν ὠκεανίοις λουσάμενος ἥλιος, χαριέστερος ἡμῖν ἀνατέταλκας· ὦ τῶν σῶν ἐκεῖσε διακοντίσεων, ἐν αἷς ἀπώσω τὰ δεινὰ τὰ προσέρποντα· ὦ τῶν ἀκραδάντων ἐξελιγμῶν καὶ τῶν ἰθὺ τῶν πολεμίων τοῦ δολιχοσκίου σοι δόρατος ἀνατάσεων, δι' ὧν ἀνώρθωσας μὲν τὰ ἡμέτερα ἤδη κείμενα χθόνια, τῇ δὲ κεφαλῇ τῶν πολεμίων θάνατον τανύσκιον ἔβαλες· ὄντως ἡ ἐκεῖθί σου ἱππασία σωτήριος ἡμῖν ἀναπέφηνεν, ἐκεῖ δὲ τὰς χεῖρας ἐγνώσθης ἄμαχος, καὶ ξυστὸν διαγκωνίσασθαι ἀπαράβλητος, καὶ ὡς λέων ἐριαύχην, ἄλκιμος καὶ ὀξύρροπος, καὶ ὡς ἀετὸς ὠκυπέτης, τὰ ἴχνη ἀνεξιχνίαστος· ἐπεὶ καὶ ὡς εἰ δι' αἰθέρος ἔβαινες, ἢ γοῦν ἀνέμων ἠλαφρίζου ταῖς πτέρυξιν, εἴτε μὴν ἐπλούτεις τὸ ἡλιακὸν ἀεικίνητον μικροῦ καὶ τάχιον ἐννοήματος τῇ δε κἀκεῖσε περιήρχου καὶ περιΐππευες· δόξαν δέ σοι καὶ Πέρσαις ἐπιστῆναι καὶ τῷ σφῶν ἀρχισατράπῃ πρὸς λόγους ἐλθεῖν, ὡς ἐπὶ τὸ εὖ καὶ οὗτος τὰ Ῥωμαίων τολυπεύσειε πράγματα, περισσότερος ἐφάνης τῆς φήμης· ὃς γὰρ ἀκοῇ παρείληπται σφίσι πρότερον βασιλέως κηδεστὴς καὶ τῇ εὐγενείᾳ πολὺς, τοῦτον ὀφθαλμοῖς καὶ πείρᾳ τότε κατειληφότες στρατηγίᾳ διαπρεπέστατον, μεγαλόφρονά τε καὶ φιλοκίνδυνον, πλείστης ὅσης φιλοφροσύνης ἠξιωκότες, καὶ στρατιὰν συμμαχίδα ἐπαμησάμενοι, ἄσμενοι ἐξέπεμψαν ἄσμενον· ὅτε καὶ χρηστῶν ἐλπίδων Ῥωμαίους ἐνέπλησας, ὡς ἤδη καὶ Περσῶν συμφρονησάντων Ῥωμαίοις καὶ συνθιγανόντων αὐτοῖς τοῦ Ἄρεως, καὶ θαρρεῖν ἐπεπείκεις ἀπειρηκότας ἐφ' ἅπασιν, ὡς ἐπὶ δεξιῷ ἤδη τῷ τῶν πραγμάτων ἀποτελέσματι, καὶ μὴ μέλλειν ἐνῆγες μήτε μὴν ὁπωσοῦν ἀναδύεσθαι, ἀλλ' ἀνδρίζεσθαι, ἀλλὰ μάχεσθαι·

Digitized by Google

ἀμέλει καὶ σημῆνας τῇ σάλπιγγι τὸ εἰς πόλεμον ἐγερτήριον, ἀτεχνῶς ἀρχαγγελικὸν ἀλάλαγμα τὸ ἐκ νεκρῶν ἀναστάσιμον, τὸ τῆς τυρσηνικῆς κώδωνος ἐκείνης ἐδεδείχεις ἀπήχημα· ἦν γὰρ ἰδεῖν ὡς ἐκ σημάτων ἄλλων τῶν οἰκημάτων τοὺς δειλανδροῦντας, ἀνεγρομένους, καὶ τοὺς τρεπομένους τὸν χρῶτα, πρὸς μάχην ἀρρενουμένους, γεγανωμένους τὰ πρόσωπα· τί μοι πρὸς τὰ μεγαλοπρεπῆ ταῦτα καὶ νεανικὰ κατορθώματα, τὸ θάρσος καὶ τὸ μένος, ὅπερ ἡ Παλλὰς Ἀθήνη τῷ Τυδείδῃ παρέσχετο, ἥ τε τῶν μυρμήκων ἐς ἀνθρώπους μετάμειψις, τὸ τῆς εὐσεβείας Αἰακοῦ περίπυστον γνώρισμα; Ἃ γὰρ οἱ μῦθοι τοῖς ἥρωσιν ἐπευφήμησαν προσάπτοντες ἐκείνοις τὰ τῇ φύσει ἀσύμφωνα, ταῦτα ἐφ' ἡμῶν εἰς ἔργον αὐτὸς ἐξενήνοχας· τοὺς γὰρ ἐκ τῶν ἡμετέρων τάξεων μὴ δὲ μέτωπον κόρυθος πολεμίας κατιδεῖν στέγοντας καὶ μηρμύκων ἀγεννεστέρους εἰς ἔργα Ἄρεως, ἢ γοῦν τοὺς τὸ κρόνος ᾅδου περιθέσθαι διψῶντας ἡνίκα καιρὸς εἰς μάχην ἐκτάσσεσθαι, τούτους αὐτὸς μεταναδεύσας, ἢ καὶ ὡς εἰπεῖν μεταλλοιώσας, ἐκ φυγοπολέμων ἀπέδειξας μαχητάς, ὁπλίτας ἀπὸ ψιλῶν, ἐξ ὑπωροφίων σκηνήτας, ἐξ οἰκουρῶν αἰθριάζοντας· ἐξ ἀχρείων τοὺς ἵππους, Ἀρραβικοῖς καὶ νισαίοις χρωμένους ὀχήμασι καὶ μασχαλιστῆρσι διαδέοντας, τούτους καὶ τεχνωμένους σκεπαστήρια περιβλήματα τοῦ ἱππείου σώματος διϊκνούμενα. Οὐκέτι παρὰ πασσάλῳ ῥωμαϊκὴ ἀσπὶς ἀπῃώρηται καπνοῦ ἀπόζουσα, οὐδ' ὁ βελοφύλαξ γωρυτὸς θριπηδέστατος, οὐδὲ τὸ εὐκαμπὲς τόξον εὐρῶτος ἔμπλεων, οὐδ' ἑτεροκλινὲς τὸ ἀνεμοτρεφὲς δόρυ καὶ νήνεμον καὶ ἀκράδαντον, οὐδ' ἀξινοτελὲς τὸ ἔγχος ὡς ἰῷ δαπανώμενον· οὐκ ἦν ἄρα λόγος ἁπλῶς διάκενος οὐδ' εἰς ἀέρα μάτην χεόμενος, ἀλλ' εὐθυβόλως ἄγαν ἐκτοξευόμενος, ὁ κρεῖσσον εἶναι γνωματευσάμενος ἐλάφων στρατεύματος ἡγεῖσθαι λέοντα, ἢ γοῦν ἔλαφον ἡγεμονεύειν λεόντων συντάγματος· εἰ δὲ καὶ φωνὴν ἀκούω θεοῦ τὰ τῶν ζώων καταρτιζομένην εὐπτόητα, καὶ φλόγας πυρὸς διακόπτουσαν, οὐκ ἀπα-

Digitized by Google

δόντως φαίην ἂν ταὐτοδύναμα καὶ τὰ σὰ ἡγεμονικὰ ῥήματα, καὶ τὰς τακτικὰς μεθόδους, αὐτοκράτορ θεοειδέστατε. Τὸ δ' ἔτι τούτου περιφανέστερον, οὐκέτι μετὰ τὴν σὴν ἐπιστασίαν αἱ ῥωμαΐκαὶ πόλεις ἀντιβλέπουσιν ἀλλήλαις, καὶ τοὺς θεσμοὺς ἀγνοοῦσαι τῆς φύσεως, αἱ μὲν τῷδε προσνεύουσι καὶ φιλίως περιπλέκονται, αἱ δ' ἐκεῖνον ἐκτρέπονται, καὶ ἄλλῳ τὸ βλέμμα χαρίζονται· οὐδὲ φυλὴ φυλὴ καὶ Ἰσραὴλ εἰσὶ καὶ Ἰούδας· οὐδ' οἱ μὲν δαιμονίζεις, καὶ οὐ θεῷ προσπίπτουσιν, οἱ δὲ τῷ Βάαλ ἀμαθῶς ὑποκλίνονται. Ταῦτα δὴ τὰ παρὰ προφήταις πάλαι ταλανιζόμενα, καὶ χθές τε καὶ πρώην παρ' ἡμῖν ἀτεχνῶς ἀνομούμενα· ἀλλὰ πᾶσαι φυλαὶ συμφρονήσασαι καὶ συνιοῦσαι εἰς γνώμης ταὐτότητα, οὐ τὴν ῥάμνον ἐς ἀρχὴν ἐπικρίνουσιν· οὐδέ τινα, ἱμάτια μὲν ἔχοντα καὶ τὴν τοῦ σώματος καταστολὴν εὐπόρφυρον, τῶν δὲ πολεμικῶν παντάπασιν ἄϊδριν καὶ ἀτεχνῶς ὑπέρου ψιλότερον ἐς τὸ φρονεῖν καὶ πράττειν τὰ δέοντα, ἀλλὰ τὸν πρώην κατὰ δίκην ἡγεμονεύοντα καὶ τότε τῶν ὅλων ἐς ἀρχαιρεσίαν ἐνδεξιώτερον· καὶ τὰ μὲν πρῶτα κατ' ἀρίστην τινὰ καὶ πρόοδον καὶ προχείρισιν, ἐς στρατηγόν σε πάντες προβάλλονται σφέτερον, ἔπειτα τοῖς ἐπαινετέοις προβαίνοντες, ἐκεῖνα τὰ δαυϊτικά σοι προσφυῶς ὑποψήλαντες, περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ, καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε, εἰς βασιλέα χρίουσιν αὐτοκράτορα, ὡς τὸν ἐξ Ἰεσσαὶ ἡ μὲν Ἰούδα φυλὴ πρότερον, ὁ δ' ἅπας Ἰσραὴλ ὕστερον· ὅπερ οὖν καὶ ἐφ' ἡλίου ἔστιν ἰδεῖν· ὡς ἄνεισι τὸν ἑῷον ὁρίζοντα, καὶ ἅμα τῶν νεφῶν αἱ συστάσεις διασκίδνανται· καὶ νὺξ μὲν φωτὶ μεθίσταται, καὶ μειδιᾷ τὸ σύμπαν περίγειον, διασπειρομένων πανταχῇ τῶν ἀκτίνων, οἱ δ' ἀστέρες ὡς βραχύφωτοι ἀποκρύπτονται, μὴ δ' ὅτι περ εἰσὶ γινωσκόμενοι· τοῦτο δὴ καὶ ἐπὶ σοὶ συμβὰν κατείδομεν, φωστὴρ ἡμέτερε βασιλεῦ· τοῦ γὰρ βασιλείου ἅρματος ἐπιβὰς καὶ τὰ τῶν κρατούντων σύμβολα περιθέμενος

Digitized by Google

τοὺς μὲν τυραννικοὺς τὸν τρόπον καὶ στασιώδεις, ὅσα καὶ πυγολαμπίδας ἀπημαυρώκεις, καὶ κατὰ τῶν θηρίων τὰ ἡμερόκοιτα ταῖς σφετέραις ἀναγκάζεις ἐνθάπτεσθαι· ὁ δὲ ὡς Βὴλ πέπτωκε, καὶ ἕτερος ὡς Δαγὼν συντέτριπται. Ἆρα δὲ μετὰ τὸ φοινικοῦν πέδιλον καὶ τὴν τοῦ στέφους ἀνάδησιν ὁπωστιοῦν καθυφήκεις, καὶ τῆς πρώην ἐνδεδώκεις καὶ πρὸς βραχύ τι προθέσεως, ἢ κατὰ τὸν ὑποδυόμενον τὸ κέλυφος σκώληκα σπανίως ἐποπτάνῃ στρατηγοῖς καὶ στρατεύμασιν; οὐκ ἔστιν εἰπεῖν, οὐκ ἔστιν· ἀλλ' ἔννομον ἀνθρώπων ἐπιστασίαν, οὐ γνώμην αὐθαίρετον τὴν βασιλείαν εἰδὼς καὶ προσθήκην μόχθων, οὐ τρυφῆς χορήγησιν οὐδ' ἀνάπαυλαν, οὐ δὲ μὴν ἀγνοῶν ὡς οἷον τὸ ἀρχέτυπον τοιοῦτο καὶ τὸ ἐξ αὐτοῦ ἰνδαλλόμενον, καὶ ὡς φιλεῖ τὸ ἄρχειν ἐξομοιοῦσθαι τὰ πλεῖστα τῷ ἄρχοντι, τὰ μὲν τῶν πρώην βασιλέων ἐπιτηδεύματα, καὶ τούτων οἱ τὴν βασιλείαν ὡς ναῦν κατέδυσαν αὔτανδρον, ὅσα καὶ χαρακτῆρας τῶν πολλῶν λωβητῆρας ὡς ἀπό τινων κύρβεων καθαιρεῖς τῶν πόλεων· τὰ σὰ δ' ἀντεγκολάπτεις ἐντάλματα κατά τινα νεοτύπωτα ἀκριβῆ μορφώματα. Εἰ δὲ λίαν ἐργῶδές σοι, τό δε καὶ δυσεγχείρητον, οἷα μὴ δὲ κηρὸν εὐένδοτον μετιόντι καὶ ῥᾳδίως ἐναποματτόμενον τὰ τῶν σφραγίδων εἰκάσματα, ἀλλ' ἀνθρωπίνας καρδίας ἀπολαξεύοντι τύποις ἄλλοις ἐνδιαστρόφως προχαραχθείσας καὶ χρονισάσας τοῖς οὐκ ἐπαινετέοις ἰνδάλμασιν. Ὁποῖαι δ' ἐμφάσεις αἱ σαὶ καὶ οἷα τὰ ἀντεγγραφόμενα, νικητικώτατε βασιλεῦ, αὐτὰ βοῶσι τὰ πράγματα· ἐκ δ' αὖ τῶν θείων ἀκηκοὼς φωνῶν, μακάριος ὁ ποιήσας καὶ διδάξας, οὐχὶ τοῖς μὲν στρατιώταις ἐπιτάσσεις θωρήσσεσθαι, καὶ τὸ δόρυ βαστάζειν καὶ τὸν ἵππον ἑτοιμάζειν εἰς πόλεμον, καὶ τῷ Ἄρεϊ μέλπεσθαι, αὐτὸς δ' ἐπὶ σκηνῆς καθήμενος ἐνηχῇ τοὺς πρὸς λύραν ᾄδοντας, καὶ περισκοπεῖς τὸν ἀπαγγέλοῦντα τί τὸ κατὰ μάχην συμβὰν, καὶ εἰ νενικήκαμεν ἢ καὶ ἡττήμεθα· ἀλλ' αὐτὸς τὸν ἠγήτορα μὴ ψευδόμενος, πρῶτος ἀναβαίνεις τὸν ἵππον τὸν πολεμήτορα, καὶ

Digitized by Google

θωρακίζῃ πρὸ τῶν ἄλλων καὶ τὸ ἔγχος πάλλεις τὸ μείλινον, τὸ βριθὺ καὶ μέγα καὶ στιβαρόν. Εἰδὼς δὲ καὶ χρημάτων τὰ πράγματα ὤνια, οὐ τὰ χρήματα πραγμάτων ἀνταλλάγματα, οὐκ ἀποδειλιᾷς πρὸς ἀργύριον, οὐδὲ περὶ τὰς δόσεις σμικρολογῇ, οὐδ' ἐπαγγελικὸς ὁρᾷ τις ὡς ὁ δώσων ἐπίκληθεὶς Ἀντίγονος, ἀλλὰ τελεσιουργὸς τῶν ὑποσχέσεων γίνῃ, καὶ ὡς οὔ τις ἕτερος τῶν πάλαι φιλότιμός τε καὶ μεγαλόδωρος. Ἐκ γοῦν τῶν ἔργων σου τουτωνὶ καὶ τῶν τακτικῶν μεθοδεύσεων, τὸ μὲν κοντοφορικὸν λατινικὸν ἀνεστάλη, εἰπεῖν δ' οἰκειότερον τῆς ἡμετέρας αἰσχρῶς ἀπελήλαται· μᾶλλον μὲν οὖν καὶ περὶ σπονδῶν καθικέτευσε, καὶ τὴν πίστιν ἔνορκον ὡμολόγησαν οἱ τὴν γῆν πᾶσαν τῷ δόρατι μετεωρίσειν κομπάζοντες· τὰ δ' ἀμφιστρεφόμενα, τὸν Πόντον μειράκια, καὶ τοῦτον ὑπεισιόντα, ὥσπερ καὶ μάνδρας λέοντος ὕπεισι κνώδαλον τοῦ θηρὸς ἐκεῖθεν μεταναστάντος, τὴν δὲ Νικομήδους ὑπονοθεύοντα καὶ κατὰ λῃστείαν τῶν ταύτης ὅρων ἐπιβαίνοντα, ἔδειξας ἐκ τῶν ἔργων δύστηνα καὶ νήπια τὸ φρονεῖν, καὶ καθ' ἑαυτῶν τὰ ὅπλα βαστάζοντα, ὡς ὁ τοῦ μύθου τὰ λῖγα πίθηκος· ἄλλην γὰρ τραπέσθαι προθέμενος τὴν ἁμαξιτὴν καὶ πᾶσι βάσιμον καὶ ἰθὺ τῶν πολεμίων φέρουσαν, ἄλλην ἐστείλω παρὰ δόξαν σφίσιν, ἀνάντη τε καὶ λοχμώδη, καὶ πετρῶν προτομαῖς δυσέμβολον· ὅτε καὶ τὰ σκολιὰ εἰς εὐθέα τιθείς, καὶ τὰ δυσπόρευτα εὐπόρευτα δεικνὺς τοῖς στρατεύμασι, πῇ μὲν αὐτὸς ὡς στύλος πυρὸς προηγοῦ τῶν συντάξεων, τοῖς ὅπλοις ἀπαστράπτων καὶ παμφαίνων τοῖς στρατηγήμασι, πῇ δὲ φωτὶ ποιητῷ χρώμενος, τὴν νύκτα διελεύκαινες ἐς ἡμέραν καὶ τὸ σκότος εἰς φῶς μετέβαλλες. Καλαὶ μὲν οὖν καὶ τοῦ Γεδεὼν αἱ ὑδρίαι δι' ὧν ἡ Μαδιὰμ ἐξηφάνισται, κατ' οὐδὲν δ' ἐκείνων καὶ ἡ σὴ μέθοδος εὐμέθοδος καὶ εὐμήχανος πρὸς τὴν κατ' ἀντιπάλων ἔφοδον καὶ τὴν τοῦ στρατοῦ ἀπόσκοπον δίοδον· ὅθεν καὶ εἰς πλατυσμὸν ἐκδοὺς καὶ ποδὶ ἀψόφῳ μηδαμῶς προσδόκιμος ἐπιστὰς τοῖς ἀντίρροσι καὶ διαπλώσας ὡς

σαγήνην τὰ τάγματα, τὸν μὲν στρατηγοῦντα μείρακα, ὅσα καὶ στρουθίον λεληκὸς οἰκτρὸν καὶ μάτην πτερυγίζον συνείληφας· τὸ δὲ περὶ ἐκεῖνον ὁπλιτεῦον, ὃ μὲν ἀπέταξας εἰς σφαγὴν, ὃ δὲ εἰς φυγὴν, ὃ δὲ εἰς ἔλεον· ἐπεὶ καὶ ἄμικτον οὐδὲν παρὰ σοὶ καὶ ἄκρατον εἰς πανώλειαν, ἀλλὰ παρενείρων τοῖς ἔργοις τὸν ἔλαον, οὐχ ἅμα τὴν χεῖρα ὥπλισας, καὶ κυροῖς τὸν θάνατον· ἀλλὰ καὶ τὴν ἐπιστροφὴν ἀνιὼν καὶ τὸν μετάμελον κατὰ θείαν πρεσβεύων μίμησιν, τὴν τομὴν ἐπέχεις καὶ ἀναβάλλῃ τὴν διχοτόμησιν. Ἀλλ' οὔπω ἀκριβῶς κατέθου τὰ ὅπλα, καὶ κατὰ Περσῶν τὸ δόρυ τιταίνεις, ἐπεισφρησάντων εἰς ἡμέτερον φρούριον κακῶς παθὸν ὑπὸ τοῦ πυρός. Πέρσαι μὲν γὰρ ὡς εἰς σεσαρωμένον οἴκημα τὸ ἔρυμα μεθ' ὁρμῆς ἐπεισέδυσαν κατὰ τὸ πρὸ Εὐαγγελίοις πονηρὸν πνεῦμα, τὸ μεθ' ἑτέρων ἑαυτοῦ σκαιοτέρων πνευμάτων τῷ ἀνθρωπείῳ ἐπεισπίπτον σώματι, διὰ τὴν κένωσιν ἐκείνου καὶ τὴν οὐδενὸς ἀντενοίκησιν· σὺ δ' ἀφιγμένος ἐκεῖσε καὶ πῦρ ἀνάψας πολέμιον, Πέρσας μὲν ὡς μελίσσας τῷ καπνῷ τῆς μάχης ἀποπνίγεις, καὶ πιμπρᾷς ὡς ζωΰφια τὸ πῦρ περισκαίροντα καὶ τὰς πικλέας θρυαλλίδας περιϊπτάμενα· τοῖς δὲ πρώην τοῦ φρουρίου οἰκήτορσιν ὡς ὁ τῆς καμίνου σβεστὴρ ἄγγελος ἐφίστασαι τρισασπάσιος. Ἐπὶ δὲ τῆς θέρμῆς ταυτησὶ νίκης ἐπὶ τὸν νέον ὡρμηκὼς Ἀχιτόφελ, ὅσα καὶ παιδίων ἐπὶ ψάμμου ἀθύρματα τὰ τούτου διαλύεις συστρέμματα· ὁ μὲν γὰρ κατὰ γένος ἡμῖν συναπτόμενος, ταῖς δὲ γνώμαις ἀλλοεθνὴς καὶ τῆς ἑαυτοῦ πατρίδος ἀκρατὴς καὶ πολέμιος καὶ ὢν καὶ δεικνύμενος, ᾤετο φρεναπατώμενος, ὁ ἐπίρρητος καὶ πρὸς ὀφεώδη πανουργίαν ἠκονημένος, ἀρχὴν ἑαυτῷ μνηστεύσασθαι, καὶ χωρῶν καὶ πόλεων Ῥωμαϊκῶν ἐπιβήτωρ ὀφθήσεσθαι, εἰ τῷ κηδεστῇ Πέρσῃ συνερίθῳ χρήσεται καὶ χεῖρα συχνὴν ἐκεῖθεν λήψεται· ἀμέλει δὲ μετὰ δυνάμεων Περσικῶν ἐπιὼν ὁ κατὰ μόνων τῶν οἰκείων εἰδὼς ἀνδρίζεσθαι, ἔκειρε τὸ μὴ συμφρονοῦν ὁμόγλωττον ὡς ἀλλόφυλον· σὺ δ' εἰς ἀκοὴν

Digitized by Google

ωτίου ταυτὶ δεξάμενος, τῷ τολμητῇ τῶν ἀθεμίτων ἐξ ἀντιστάσεως αὐτίκα φανείς, ὡσεὶ καὶ κολοιὸν ξενόπτερον μάλα εὐχερῶς ἀπελήλακας· τῶν δὲ σὺν ἐκείνῳ πολεμίων, οὓς μὲν ἐκκεντήσας εἰς ὕπνον κατεύνασας χάλκεον, οὓς δὲ ποσὶ καὶ ἵπποις ποδώκεσι πριάσθαι τὴν σωτηρίαν ἠνάγκασας, οὓς δὲ συλλαβὼν καὶ τούτων, ὅσοι μὴ τὸ γένος πολλοὶ τὸν δὲ πλοῦτον βαθεῖς, μὴ δὲ τἄλλα χαμαίζηλοι, δεσμοῖς ἕως τραχήλου ὑπέβαλες. Ἀμέλει καὶ δυσὶ ταύταις προσβολαῖς τε καὶ ἀντιτάξεσιν, οἱ Πέρσαι τὸ ἧττον ἀπενεγκάμενοι, οὐκέτι καὶ πρὸς ἄλλην συμπλοκὴν ἠρρενώθησαν· τῶν δὲ συνήθων κλεμμάτων τε καὶ ληστευμάτων καὶ τῶν ἐς προὖπτον μαχισμῶν ἀποσχόμενοι, ἀνιᾶσι τῶν βιῶν τὰ τόξα καὶ χαλαροὶ πρὸς πόλεμον γίνονται· ὁ δὲ τὸ ἄρχειν σφῶν ὑπεζωσμένος καὶ πρὸς σπονδὰς ὁρᾷ, καὶ καθομολογεῖ σοι τρανῶς τὰ φίλια. Οὐκοῦν καὶ πρώτως ἄρτι Ῥωμαῖοι νικῶντες σπένδονται Πέρσαις· πρώην δὲ οὐχ οὕτως τὰ Περσῶν καὶ Ῥωμαίων προὐχώρει πράγματα· ἀλλ' οἱ μὲν τὴν ἡμετέραν λαμπρῶς κατέτρεχον, καὶ πόλεις δὲ καὶ χώρας δέ, τὰς μὲν ἀναστάτους ἐτίθεσαν ὁμολόγως χειρούμενοι, τὰς δὲ καὶ καθ' ὁρμὴν μίαν ἐπιόντες ἐσκύλευον, καὶ νικᾷν εἰωθότες, εἶχον καὶ τὴν ἐκ τῆς νίκης ὑπεροψίαν ἐπιξενουμένην σφίσι βαρβαρικῶς· ἀμέλει καὶ σοβαρευόμενοι καὶ τοῖς Ῥωμαίων κατοφρυαζόμενοι δυσπραγήμασιν, ὤνιον χρημάτων Ῥωμαίοις τὴν εἰρήνην παρείχοντο, καὶ τὰς φιλικὰς σπονδὰς οὐχ ὥσπερ ᾔτουν Ῥωμαῖοι, ἀλλ' ὥσπερ ἥνδανεν ἐκείνοις ἐπέραινον· νυνὶ δ' ἂν ἄλλα πάντα, καὶ θεόθεν λαχόντα σεμνοτέραν προμήθειαν, καὶ τυχόντα δεξιᾶς ἀλλοιώσεως. Εἰ γὰρ δώρημα τέλειον καὶ χάρις αὐτόχρημα θεοδώρητος ὑψόθεν ἐπικατέπτης Ῥωμαίοις, χρεὼν δή που καὶ τὰ κατορθούμενα τῷ τοῦ δόντος μεγαλεῖον συνάδειν καὶ συμφωνεῖν τῷ ἐντελεῖ τοῦ δωρήματος· ὥσπερ καὶ τὸ δένδρον ἴσμεν ἐκ τοῦ καρποῦ, κἀκ τῆς κομιδῆς τοῦ δένδρου τὸν γεωργόν. Οὔπω γὰρ ἡλίου περιφορὰ εἰς κύκλον περιῆκται

τὸν ἐνιαύσιον, καὶ νίκαι σε περιΐστανται, καὶ κυκλικῶς περισκιρτῶσι καὶ διειλήχασι τρόπαια, οὐχ ὅπως τῶν τοῦ χρόνου πλείονα ἡμερῶν, ἀλλὰ καὶ πρὸς ἄλληλα περὶ πρωτείου διαφερόμενα. Ὢ βασιλέως ἐκ τροπαίων ἀρξαμένου μᾶλλον γνωρίζεσθαι, ἢ τῶν τῆς ἀρχῆς συμβόλων καὶ τοῦ παγκλεοῦς ὀνόματος! Ὢ βασιλέως πλειόνως περιστέλλεσθαι φιλοῦντος τῷ στρεπτῷ χιτῶνι τοῦ Ἄρεως, ἢ τῷ ἁλουργῷ ἐσθήματι καὶ τῷ ἐκ λίθων τιμαλφῶν διαδήματι· χάρις σοι τοίνυν παμβασιλεῦ, προάναρχε λόγε θεοῦ, τῆς ἐς ἡμᾶς κηδεμονίας καὶ τῆς τοῦ αὐτοκράτορος ἀναδείξεως! Δαυϊτική σοι καὶ τούτου ἡ εὕρεσις· κατ' ἐκεῖνον καὶ ἥδε ἡ προβλῆσις· ὄντως κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν ἡμῶν, αἱ παρακλήσεις σου εὔφραναν τὰς ψυχὰς ἡμῶν· ἔπαισας καὶ ἰάσω· ἀπώσω καὶ οἰκειώσω· ἐθανάτωσας καὶ πάλιν ἐζώωσας· κατήνεγκας καὶ ἀνέστησας· γεγόναμεν παραβολὴ ἐν τοῖς ἔθνεσι, κίνησις κεφαλῆς ἐν τοῖς λαοῖς, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν· ἀλλ' ἐπιστρέψας, παρεκάλεσας, καὶ τὸν κοπετὸν εἰς χαρὰν, εἰ καὶ μὴ πάμπαν, ἀλλ' οὖν μετέστρεψας· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, τῶν ἐν μέσῳ λέγω κακῶν, ὧν πεπειράμεθα καὶ ὧν εἰς κόρον μετέσχομεν· ἀλλὰ καὶ παραψυχῆς μετέδωκας, στήσας τὰς ἐθνῶν ἁπανταχῇ διεκχύσεις, καὶ σπέρμα ἡμῖν ἀσπάσιον ὑπολειπόμενος τὸν αὐτάνακτα, ἵν' ἔχοιεν οἱ ὀλίγωροι καὶ οἱ κατώδυνοι τὰς ψυχὰς καὶ οἱ ἀκηδιῶντες τὰ πνεύματα καὶ κατ' ὄρνιθας τοὺς ἀβεβαίους καὶ τῶν ἀστέρων τοὺς πλάνητας πολύπλαγκτοι φερόμενοι, ἔνθα κάμψαντες τὸ γόνυ τῆς μακρᾶς περιοδείας καὶ πλάνου τοῦ συχνοῦ ἀνοχεύσονται. Ἡδὺ μὲν οὖν θεώμενον καὶ τὸ διαταθὲν ἐν ἀέρι τόξον ὡς εἰς σημεῖον παραλαμβανόμενον τοῦ μηκέτι ἔσεσθαι ὕδωρ εἰς κατακλυσμὸν, ἀλλ' οὐχ οὕτως ὡς ὑπερήδιστόν τε καὶ χάριεν θέαμα βασιλεὺς ὁ ἡμέτερος, ὃν ὕψωσας ἐκλεκτὸν ἐκ τοῦ λαοῦ σου, καὶ ὃν ἀεὶ θεώμενοι κατορθωμάτων ἀναβάσεις διατιθέμενον καὶ νικῶντα ἑαυτὸν τοῖς ἐπαλλήλοις ἀριστουρ-

γήμασι, τοῦ φιλοτίμου σε δώρου τὸν μεγαλόδωρον μεγαλύνομεν, καὶ φαμὲν ἀνθομολογούμενοι τὰ σὰ θαυμάσια, ἐπάξιον τοῦ δεδωκότος τὸ δωρηθέν, τοῦ προβαλόντος τὸ προβληθέν, καὶ τοῦ χρίσαντος τὸ χρισθέν. Εἰ γοῦν χεὶρ Κυρίου περὶ σὲ βασιλεῦ, καὶ διὰ σοῦ μεθ' ἡμῶν Κύριος, τί; ὁ καθ' ἡμῶν ἐσόμενος; εἰ δέ τις καὶ καταθρασυνθεὶς ἀνθοπλίσαιτο, ὅπως οὐ θεομαχῶν κριθήσεται καὶ ἄπρακτος ἀπελεύσεται; σώζων γὰρ σώσει Κύριος τῇ χειρί σου τὸν λαὸν αὐτοῦ, ἐξειλεγμένον τὸν περιούσιον, ὅς καὶ περιζωννύει σε δύναμιν καὶ τοὺς σοὺς βραχίονας, ὡς τόξον χαλκοῦν δείκνυσι καὶ τίθησιν ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Ἐπεὶ καὶ ὡς ἀπό τινος κέντρου τῆς νικεπωνύμου ταυτησὶ πόλεως ὁρμηθείς, καὶ κύκλον διαγράψας τῶν πρὸς ἕω σχοινισμάτων Ῥωμαίοις, ὡς ἐν γραφείῳ τῷ σῷ δόρατι, ζήλῳ πλήττῃ καὶ τίθῃς ἐν δεινῷ· καὶ φέρειν οὐδαμῶς ἔχεις, εἰ μὴ εὐνοϊκῶς σοι προσφέρονται καὶ κάμπτοιεν τοὺς αὐχένας, καὶ τῷ χώρῳ τῶν ὑποτεταγμένων ἐγγράφονται πόλεων, ὁπόσα ἡ καμπὴ τοῦ κύκλου καὶ τὸ διάγραμμα περιείληφεν ἔσωθεν. Ἀμέλει καὶ πρὸς τὰ Πόντια κλίματα τὸ ὅρμημα θέμενος, τὰς τάξεις ἀγήοχας· οἱ γὰρ ἐκεῖσε νεανίᾳ τινὶ προσρέψαντες, ὅμοιοι ὁμοίῳ, δυσδαίμονες ἀνδρὶ κακοδαίμονι, ἐσκιατραφημένῳ παράπαν καὶ στίλβοντι τὸ σῶμα γυναικώδει λειότητι, δέον προσπεσεῖν καὶ χεῖρα προτεῖναι τῷ μεγαλεγχειρητῇ καὶ νικουργῷ σοι Δαυΐδ· καὶ ὃν ἐξείλετο Κύριος καὶ προέκρινεν, ὡς ἐκ τῶν ἔργων τὸν Δαυΐδ ἀληθίζοντα· οἱ δὲ τῇ Δαυϊτικῇ φρεναπατώμενοι κλήσει, τοὐναντίον ἅπαν κακογνωμονοῦντες εἰργάσαντο, ταὐτόν τι δρῶντες, ὡς εἰ τὸν ἀληθῶς τῶν θηρῶν βασιλεύοντα λεόντα παρεβλέψαντο, ζῷον δέ τι ἀνθείλοντο, λεόντειον δρᾶν περικείμενον· ὄντως λαὸς μωρὸς καὶ οὐχὶ σοφὸς ὁ λεὼς οὗτος· καὶ παραδοθεὶς ὡς ἔδειξεν εἰς νοῦν ἀδόκιμον, ὡς μήτε δρᾶν μήτε συνιέναι οὐδαμῶς τὰ καθήκοντα, καὶ μέγα κατ' ἐκείνους ἀφρονευόμενος, οἳ μετὰ μέθην παίζειν ἀνέστησαν, κἀκ τῶν παιγνίων εἰς ἔργα

ἐξώκειλαν, τῶν παιγνίων ἐπέμπαν γελοιωδέστερα, ταυρόκρανον χοανεύσαντες καὶ ὡς θεῷ προσπίπτοντες τῷ ἰνδάλματι. Κατὰ δίκην τοίνυν εἰς τοὺς ἀποστάτας τούτους καὶ μοσχολάτρας ἀτεχνῶς πορευόμενος, συνέριθον εἶχες ἐφ' ἅπασι τὸν τῶν ἐκδικήσεων Κύριον. Οὐκοῦν ὀμφ(αὶ) καὶ προρρήσεις ἐκ τῶν θείων λογίων ἀνακεκαλυμμένως τὸ μέλλον σοι προεσήμαινον· καὶ διδομένην εἶχες ἐκεῖθεν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ Γραφικῶς εἰπεῖν κροτοῦντες ἦσαν ἐπὶ σοὶ ποταμοὶ ἀναστοιβάζοντες τὰ ῥεῖθρα καὶ τὰ νῶτα ὑποστρωννύντες σοι ἐπ' αὐτῶν κελλητίζοντι. Καὶ σὺ μὲν εἰς ποτάμια νάματα τοὺς ἵππους σου ἐπεβίβασας ταράσσοντας ὕδατα πολλά, κἀκ τῆς ὄχθης ἐπανῆγες ἀναμὶξ ἔχων τὸ πεζεῦον καὶ ἱππεῦόν σου στράτευμα· οἱ δ' ἐναντίοι πρὸς τὴν ὄψιν ταύτην προῆγον ἀμεταστρεπτὶ φεύγοντες, καὶ τοῖς ἄλλοις αὐτάγγελοι γενησόμενοι τῆς σῆς περαιώσεως, τὰς ψυχὰς συγκεχυμένοι καὶ πνευστιῶντες καὶ τὸ κακὸν τῆς ἀγγελίας φέροντες ἐπὶ τοῖς προσώποις· ὥστε καὶ πολλοὺς μὲν τῶν φρενῶν ἐξέκρουσαν τῇ ἀκοῇ τῶν ἀπευκταίων σφίσι, καὶ τουτὶ δεῖ ποιεῖν ἐπὶ καιροῦ παρέπλαγξαν· ἐνίους δὲ καὶ πρὸς πλείω μανίαν ἠρέθισαν, ὡς ὁρᾶν ἐστι καὶ θῆρας ὠμάζοντας πρὸς τὴν ὄψιν τοῦ σιδήρου μᾶλλον ἀγριουμένους καὶ χωροῦντας ἰθὺ τοῦ βάλλοντος. Οὐκοῦν οἱ ἐς τέλος σκληραύχενες καὶ δυσήνιοι τὰ τῶν ὀρῶν εἰσανιόντες ἀπότομα καὶ ἀτόξευτα, καὶ τὰς ἐπὶ τὸ πάντη συνεπτυγμένας στενόπορον παρόδους προειληφότες, καὶ τοῦτο μὲν δένδρων βαθυρρίζων καταβολαῖς, τοῦτο δὲ καὶ ποιηταῖς πύλαις ἐς τὸ ἄβατον ὅλως αὐτὰς κρατυνάμενοι, ἐπέμενον θαρροῦντες τὸ μάχεσθαι, κατὰ μὲν πτηνῶν ἀγέλας κλαγγηδὸν πετομένων θροῦν ἄσημον ἐς οὐρανὸν ἀναπέμποντες, ἐπὶ δὲ τοῖς οἰστοῖς καὶ φαρέτραις ὡς ὁ τοῦ Ὁμήρου κομπάζοντες Πάνδαρος· ὃ γὰρ καὶ δράσεις βασιλεύς; παιανίζοντες ἔλεγον· τί δὲ καὶ σοφισάμενος, ἡμᾶς ἐ-

σεῖται κατασοφισάμενος; ὄρη τὰ ὧδε ἀγχινεφῆ καὶ ὑψίλοφα, ἐπὶ δὲ τούτων ἡμεῖς ἄλλοι τινὲς οὐρανίωνες προφαινόμενοι, οὐδ' ὁρατοὶ τὰ πλεῖστα ἐσμὲν τοῖς κάτωθεν, τῆς ὄψεως ἀτονούσης πρὸς τὸ τοῦ ὕψους αἰθέριον· αἵ τε μεταξὺ ἀλλήλων διερρωγυῖαι φάραγγες ἀτεχνῶς εἰσι κοιλάδες κλαυθμῶνος, καὶ χάος ἄλλο καὶ ἔρεβος· ζητήσαι πάντως στρατιώτας πτηνούς, εἰ προὔθετο βασιλεὺς ἡμῖν συμπλακήσεσθαι, ὡς ἐκεῖθεν ὧδε διαπταῖεν καὶ ἡμῖν συμμίξαιεν· δεινὸς ἐστι τὰς χεῖρας ὁ βασιλεύς, εὐμήχανος τὰς φρένας, ἀνένδοτος τοῖς πόνοις, ἄτειρης ἐν τῷ μάχεσθαι, καὶ ἴσησι μὲν καθ' Ἕκτορα δῖον ἧ μὲν ἐστι δεξιά, ἡ δ' ἐπ' ἀριστερὰ βῶν ἀζαλέην κινεῖν, καὶ ὡς λέων θροεῖν τὸ ἀντίμαχον· τὰ δ' ἐς μάχην ὅλως οὐκ ἴσμεν· ἀμηχανήσει δήπουθεν αἰγάγρους ἀκροβάτους μέλλων ἀναδιφᾶν, καὶ γῆς ἀντιφέρεσθαι διαστήμασι, καὶ παρόδοις στεναῖς ἐπενθλίβεσθαι κατ' ἄνδρα μόγις παρανοιγούσαις τὴν δίοδον. Καὶ οἱ μὲν τούτοις ἦσαν, καὶ τοιαῦτα μετὰ κόμπου ἐφθέγγοντο· σὺ δ' ἐπᾴδων σφίσι ταυτὶ τὰ προφητικά, ἰδοὺ ἐγὼ ἀποστελῶ θηρευτὰς καὶ θηρεύσουσιν ἡμᾶς ἐπάνω ὄρους παντός, διαφὶς ἐς πόλεμον τὰ στρατεύματα· καὶ αὐτίκα τὰ μὲν ἐς διώρυχας βαθυνόμενα, ἀνέβαινον ἐς ἰσόπεδον· τὰ δ' ἐκ κάλων καὶ παντοίων ἀφυσγετῶν διάρματα καθυφιέμενα ἦν, καὶ τὴν πρῴην ὄψιν ἀπολαμβάνοντα, ὡδοποιοῦντο τὰ ἄβατα, ἐψιλοῦντο τὰ τῶν ὀρῶν ὑλήεντα καὶ δυσέμβολα ἀνετρέποντο χαμᾶζε, καὶ χαλκῷ κατηρείποντο ὁπόσα ταῖς πορείαις προσίσταντο· τὰ δ' εἰς γῆν ὑπὸ τῶν πολεμίων βληθέντα, ὡς εἶεν ἐμποδοστάτημα τῷ στρατεύματι, ἃ μὲν τὸ πῦρ διεφόρει λαῦρον ἐμπῖπτον καὶ διαέριον, ἃ δὲ μεταιρόμενα, κούφως ἄλλοθι μετεφέρετο· καὶ ἦν τὰ σκολιὰ εἰς εὐθέα τῇ στρατιᾷ χρησίμως μεταμειβόμενα. Καὶ τί γὰρ οὐκ ἂν ἔδρασε στράτευμα, βασιλέα βλέπον προκινδυνεύοντα, προηγούμενον οὐ μεθεπόμενον, προασπίζοντα οὐχ ὑπασπιζόμενον, ἐν πολλοῖς ἐργολαβοῦντα καὶ τοῦ στρατηγοῦ καὶ βασιλέως

τὸν στρατιώτην ἀντιλαμβάνοντα, καὶ συγκάμνοντα τοῖς ἀρχομένοις τὸν ἄρχοντα; καὶ νῦν μὲν πέλεκυν ἐν χειρὶ ἔχοντα, δρυμοτομοῦντά τε καὶ τὰς παρόδους ἀπολειαίνοντα, νῦν δ' ἕτερον μετιόντα σωτήριον τοῖς στρατεύμασιν; Ἀλλὰ τί ἄν σε ὀνομάσας, δικαίως ἔσομαι καλέσας, μεγαλουργὲ βασιλεῦ; εἴπω στρατιώτην γεννάδαν, μαχητὴν ὁπλιτοπάλαν, δάϊον, ἐχθροῖς ἀπροσπέλαστον; ἀλλ' οὐκ ἐᾷ με τὸ τοῦ κράτους περίοπτον, τοῦ ὕψους ἀποβαίνειν οὐκ ἀνεχόμενον, καὶ δυσκολαῖνον τῇ τῆς κλήσεως χθαμαλότητι· βασιλέα φαίην καὶ στρατηγὸν, ἡγεμόνα καὶ ποιμένα λαῶν· ἀλλ' ἀνθίστανται τὰ ἔργα τῶν σεμνῶν καὶ περιπύστων τῶν δε φωνῶν ἐπὶ πολὺ διϊστάμενα. Τακτικοὶ μὲν γὰρ νόμοι τοῖς βασιλεῦσιν ὑποτιθέασιν, ἐπιτάσσειν τὰ πρακτέα, τάσσειν στρατιώτας, φάλαγγας ἐκτάσσειν, καὶ λόχους καθοπλίζειν ἐς πόλεμον· σὺ δὲ ἐσθλὸς εἶναι μαθὼν, καὶ ἀεὶ τὸ δόρυ προφαίνων ἐν παλάμαις μαινόμενον, τοὺς ἀρχηγικοὺς νόμους ὑπερβαίνεις, οὐ τὸ πραχθησόμενον μόνον ὑποτιθέμενος, ἀλλὰ καὶ τὰ ὑποτιθέμενα πρῶτος διαπραττόμενος, καὶ τοῖς ἄλλοις παράδειγμα κείμενος· φθίνει σε τὸ σὸν μένος, ὡς εἴποιεν ἂν ὁμηρίζοντες· οὐδέ ποτε λήγεις πόνων· ἀλεξανδρίζεις ἀληθῶς ἐν ταῖς πράξεσιν, οὐδαμῶς ἀναβαλλόμενος ἐς τὴν αὔριον τὰ διαπονηθῆναι πεφυκότα σήμερον· οὐδ' αὐτὸς μὲν βλακευόμενος, στρατηγοῖς δὲ καὶ στρατιώταις ἐπιτρέπων τὸ πραχθησόμενον, ἀλλ' αὐτενέργητός τε καὶ αὐτεπάγγελτος τοῖς ὁπουδήποτε δρωμένοις ἐφιστάμενος, καὶ τοῖς πᾶσι τὰ πάντα γινόμενος. Ὦ πόσους ἐπέρρωσε τὸ σὸν ἐν πολέμοις ὑποφώνημά τε καὶ ἐπεμβόημα, καὶ στρέψαντας τὰ νῶτα πρὸς τὴν ἐναντίαν τάξιν μετέβαλεν! Ὦ πόσοις, καὶ μόνον ὀφθεὶς θάρσος ἐνέβαλες! Εἰ γοῦν εἴποι σε τὸ λέγειν τὸν τῆς μάχης ληνὸν πατεῖν μονώτατον, καὶ τῶν ἀνδρῶν οὐδένα συγκάμνειν σοι, οὔκουν ψεύδους ἁλώσεται. Ἀλλὰ γὰρ ὅπως ἐπὶ τούτοις διέκειτο τὸ ἀντίπαλον; ὡπλίσατο μὲν οὖν ὡς ἔχω εἰπὼν, τοῖς βέλεσι καὶ τοῖς τεύχεσιν

ἐκρατύνατο, κἂν τοῖς ὄρεσιν ἔθετο τὴν πεποίθησιν· ὡς δ' ἠλέγχθη ταῦτα πάντα διακενῆς μηχανώμενον, ἀναγκαστῶς τὴν ἐναντίαν στέλλεται, καὶ μεθαρμόζεται τῆς προθέσεως· ὅθεν τὸ μὲν, ὅσον θερμότερον ἐς μάχην, βάλλεταί τε καὶ καταβάλλεται, καὶ ἄγεται τὴν ἐς θάνατον· τὸ δ' ὅλοις ποσὶ κατὰ δρομάδας δορκάδας τοῦ φεύγειν ἔχεται· τὸ δὲ πλεῖστον ὡς ἐν μέσαις ξυσχεθὲν ἄρκυσι τὸν κίνδυνον μόνον ἐζ(ητηκός) . . . . ἀβουλίας ἑαυτὸ καταμέμφεται, καὶ πλεῖστα δάκρυα κατασπένδον, τὰ τοῦ θείου γράμματος ἀντιβόλει καὶ ηὔχετο, τοῖς μὲν ὄρεσι λέγον, πέσετε ἐφ' ἡμᾶς· τοῖς δὲ βουνοῖς, καλύψατε ἡμᾶς. Ἐπεὶ δ' οὐχ εὕρισκε περατούμενα τὰ αἰτούμενα, ὅσα καὶ συχνὴν ἐπικουρίαν, τοῦ ἀποστάτου ἀρίσταται, καταγνωκὸς ἐκείνου ἀβελτηρίαν, καὶ πλῦνον ὕβρεσι καὶ βάλλον ὀνείδεσιν, ὡς ἀνδράριον δείλανδρον καὶ ἀπάλαμνον, καὶ βαδιάζειν αὔριον μετὰ τριάκοντα ἡμέρας ἐπαγγελλόμενον· καὶ μάλιστα ὅτι σὲ μὲν ἑώρα τῆς στρατιᾶς προαλλόμενον, καὶ κατ' ἀρίζηλον ἀστέρα τῶν τάξεων πασῶν προεκλάμποντα, καὶ ὡς ἐκ νεφῶν τῶν ὅπλων παμφαίνοντα, ἐκεῖνον δὲ μὴ δὲ δοῦπον ἀκόντων φέροντα, ἀλλὰ καὶ πρὸς λιγμὸν βιοῦ χλωρὸν ὑπὸ δέους γινόμενον, καὶ τειχήρη γυναικωνῶς ὀπτανόμενον, καὶ πλεῖστον ὅσον ἀπὸ σοῦ μακρυνόμενον· καὶ ποῖ τράποιτο καὶ τίς γένοιτο, καὶ τίνα βαδίσας σώζοιτο, γνωσιμαχοῦντα, καὶ τὰ χείρω θανάτου πάσχοντα. Κατὰ μυριάδας τοίνυν ὑποπίπτει σοι τὸ ἀντίπαλον, προβάλλον ἑαυτὸ ἐπὶ στόμα καὶ τοῖς ποσὶ τοῖς σοῖς συμπλεκόμενον, καὶ κόνεσι τὰς κεφαλὰς παλυνόμενον· τί μὲν οὐ φθεγγόμενον τῶν μαλασσόντων εἰς ἔλεον, τί δὲ μὴ πράττον τῶν ἐχόντων καταστέλλειν θυμοῦ ἀγριότητα; Εἶδεν ἂν ἐκεῖ τις τὰς Ὁμήρου λιτὰς πολλαχῇ περιτρυζούσας καὶ τὸν οἶκτον διασκευαζούσας πάνδημον, καὶ τὸ σὸν κράτος τιθείσας ἵλεων. Οὐ γὰρ ἱστᾷς αὐτοῖς τὴν ἁμαρτίαν, οὐδὲ δρᾷς ὁποῖα δεδράκασιν· ἢ γοῦν ἐκεῖνα σφίσιν ἐπεγκαλεῖς δικαίῳ θυμῷ χρώμενος· ὡς διεμαρτυράμην

Digitized by Google

ὑμῖν πολλάκις, ὦ ἄνδρες, τὰ εἰς εἰρήνην πέμπων ἀγγέλους, ἀλλ' οὐδαμῶς ἀντησπάσασθε· ἐκάλεσα καὶ οὐκ ἠκούσατε· ἠπειλήκειν τὰ παρόντα, καὶ οὐ προσέσχετε· ἀνεπέτασα τὸ στέρνον ὑμῖν καὶ προθύμως εἶχον ἐναγκαλίσασθαι, ὑμεῖς δὲ καὶ τὰς ὁδούς μοι πρὸς ταῖς γνώμαις διεταφρεύσατε· ἐν ῥάβδῳ εἶπον ἐπελεύσομαι πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ καὶ πρᾳότητι πνεύματος, καὶ οἷς διεπράξασθε τὸν πλήττοντα προείλεσθε σκίπωνα· νῦν οὖν ὅπως τοὺς σκληροτραχήλους καὶ ἀναιδεῖς τῷ προσώπῳ εἰσδέξομαι; Ἤχησα τὸ ἀνακλητικὸν, ὡς ἐπὶ ποιμνίῳ ποιμὴν εἰσδρη πλανωμένῳ καὶ ἀνομίας καὶ βάραθρα, ἀλλ' οὐκ ἐπεστράφητε τῶν κηρυγμάτων, ὡς τῶν συριγμάτων τὰ τῶν ζώων βληχώμενα, μᾶλλον μὲν οὖν καὶ διακυρίττειν προήχθητε· καὶ διὰ τοῦτο ἤχησεν ἡ σάλπιγξ τὸ ἐνυάλιον, φανείσης ἀνονήτου τῆς σύριγγος· καὶ ὡς εἰς πρόβατα σφαγῆς τοὺς ὀλοθρεύσοντας ὑμᾶς συνήθροισα· φθόνος τοίνυν οὐδεὶς ἀπολαύειν ὑμᾶς τῶν βουλευμάτων καὶ τῶν σκεμμάτων οἷς ἐπεμείνατε, εἰς οὐδὲν ὄφελος ὑμῖν τὰ δρώμενα μετ' ἀντίστασιν ἐξ ἀβουλίας· ἑαυτοῖς τὸν ἔλεον ἀπεκλείσατε· ἐπέστην καὶ ἀπέστητε· ἐλθὼν καὶ λαλήσας, εὗρον ἄλλῳ τὰς ἀκοὰς ὑπέχοντας, ἑτέρῳ τὰ ὄμματα ῥέποντας· ἀναστήτω καὶ βοηθησάτω τοίνυν ἐκεῖνος ὑμῖν, οὗ τὸν ἄρτον ἠσθίετε, καὶ τὸν οἶνον ἐπίνετε, καὶ τοῖς λήμμασι τὰς χεῖρας ὑπείχετε! ἐννόμου βασιλείας τυραννίδα ἠλλάξασθε· Χριστῷ κυρίῳ προσφοιτῆσαι δυνάμενοι, ἑτέρῳ ὅτῳ δὴ προσεδράμετε· πῇ δὲ καὶ πεφευγέναι ἔχοντες, τοιούτοις προσανείχετε εἰς ὄρη; ἀλλ' ὡς ἱππήλατον πεδίον ἰδοὺ ἐξηρεύνηνται· ἀλλ' εἰς τεῖχος, ἀλλ' εἰς ἀκρόπολιν; ἀλλ' ὑπερέβην ἂν καὶ ταῦτα καὶ εἷλον αὐτοβοεί, κἂν ἦσαν ὅλως ἀτίνακτα, τοσαύταις μυριάσι στρατευμάτων περιειλούμενα. Ἀλλ' εἴχετε θαρρεῖν εἰς ὃν ἠλπίκατε, καὶ ὃν θεραπεύειν εἵλεσθε! καὶ πῶς ἂν ἔσωσεν ἑτέρους ὁ μὴ σώζειν ἑαυτὸν δυνάμενος; Τοιούτοις ἔχων χρήσασθαι ῥήμασι, θεσπέσιε βασιλεῦ, οὐδόλως ἐδικαίωσας χρήσασθαι· ἀλλ' ἅμα τὸν λεὼν

ἐκεῖνον εἶδες ἱκετιάζοντα, γουναζόμενόν τε καὶ δεσμόχειρα προσιόντα σοι τὸν πρὸ βραχέος χεῖρας ἀνταίροντα, καὶ θρηνώδεις ἀφιέντα φωνάς, καὶ ὡς λάχος σὸν οἰκτείρεις ἀρχαῖον ὁμοῦ καὶ κράτιστον, καὶ μέρος καίριον οὐκ ἀπόβλητον τοῦ τῆς ἀρχῆς σοι πληρώματος· οὐ δὲ συνορᾶς ὡς ἀπέστησαν, ἀλλὰ χαίρεις ὡς ἐπήσθοντο τοῦ δεσπόζοντος, καὶ κατέγνωσαν ἀπάτην ᾧ προσέκειντο πρότερον· καὶ θύεις θεῷ χαριστήρια, καὶ φθέγγῃ μετὰ τοῦ φιλοψάλμου καὶ φιλῳδοῦ θεοπάτορος· εὐλογητὸς Κύριος ὁ θεός μου ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον· ὁ ὑποτάσσων ὑπ' ἐμὲ τὸν λαόν μου, καὶ ἀποκαθιστῶν ἐμοὶ τὴν κληρονομίαν μου· καὶ ἀφίης τὰ ἐπταισμένα οὐ τῷ μέν, τῷ δ' οὔ, ἀλλὰ πᾶσι κοινῶς· τὸ δὲ μεῖζον οὐ μόνον ἀποχαρίζῃ σφίσι τὰ σώματα, καὶ σὺν σώμασι τὰ ὅπλα, καὶ πρὸς τούτοις τὰ χρήματα, ἀλλὰ καὶ τοῖς τέλεσιν ἐντέλλῃ μὴ δὲ τὰ κτήνη τοῦ πεδίου ὁπόσα εἰς ζυγὸν καὶ δίαιταν ἐπιτήδεια, ἢ γοῦν ἐλάσαι ἢ μὴν κεραΐσαι τοῖς ξίφεσι. Ταύτῃ τοι καὶ βραβεῖα νίκης πολύπλοκα κομισάμενος καὶ φιλανθρωπίας στήσας τρόπαια, μᾶλλον δ' ἀνεγείρας ἐλαίου βωμὸν πολλῷ τῆς τῶν τροπαίων στήλης περιφανέστερον καὶ μονιμώτερον, ἔτι καὶ τόδε προσκατωρθώκεις χάριεν καὶ ἄξιον ἄγασθαι· οἱ γὰρ ἐξ ἐναντίας ἤγγισαν χθιζά σοι καὶ ἔστησαν, καὶ τόξα ἐνέτειναν καὶ θυρεοὺς ἐπωμίσαντο, τούτους σήμερον εἶχες ὑπὲρ σοῦ τὰ ὅπλα βαστάζοντας, καὶ κατ' ἐκείνου τὰς γνώμας μεταθεμένους, ὑπὲρ οὗ πρὸ τρίτης διεκινδύνευον. Ὢ καινῆς πραγμάτων περιπλοκῆς· ὢ θαύματος ἀξίας ἀντιστροφῆς· οἱ ἀντίμαχοι, σύμμαχοι· ὑπερασπισταί, οἱ ἀντίπαλοι· καὶ τῶν ὁδῶν ἡγήτορες σήμερον, οἱ χθὲς πολεμήτορες· ὢ μάχης ἐκείνης εἰρήνην μαιευσαμένης· ὢ νείκους ὠδινήσαντος φιλίας καὶ συνάψαντος εἰς ἓν τὰ διεστῶτα φρονήματα! Καὶ σὺ μέν, ὦ βασιλεῦ, οὕτω τοῖς ἔμπροσθεν προὔβαινες, καὶ τὰς τῶν ἀνδρῶν μὲν ἐκείνων ὁμηγύρεις μεταλλαιῶν καὶ μετεγκεντρίζων, ὡς καλὸς

Digitized by Google

φυτοκόμος ἐξ ἀγριελαίου εἰς καλλιέλαιον, οὐχ ἧττον δὲ καὶ τὰς τραχείας πορείας εἰς τροχιὰς εὐθείας διατιθέμενος. Τάχα δ' ἂν καὶ ἤγγισας οὐ πεπόρευσο, καὶ κακὸν ὄναρ ἐπέστης τῷ τὴν Ποντικὴν Ἡράκλειαν, ὅσα καὶ εἱρκτὴν εἰσιόντι, καὶ ὡς λάϊνον χιτῶνα περικειμένῳ τὸν ταύτης περίβολον, εἰ μὴ καινῶς καὶ ὑπὲρ λόγον ἕτεραι φροντίδες ἀντέκρουσαν, καὶ εἰς μείζονας ἀγῶνας παρὰ δόξαν ἀνθείλκυσαν· ὢ τῶν τυχηρῶν περιπτώσεων· ὅπως γὰρ ἄλλως καὶ φράσαιμι; ὢ πραγμάτων συγκυρίας ἀγνώμονος· οἰκειότερον δ' εἰπεῖν, φεῦ τοῦ φθόνου τοῦ βάσκανον τοῖς σοῖς ἀνιδόντος κατορθώμασι, καὶ τέλος τῆς ἐρωτ(ίας) διαφθείραντος· ὅτε σοὶ τὸν στέφανον ἡ νίκη προύτεινε παντελῆ, τότε ἀντιπεριάγων οὐκ οἶδ' ὅστις εἰς ἕτερα μετήν(εγκεν) ἀεθλεύματα· βραχὺ τὸ ἐν μέσῳ καὶ ὅσον ἔκτασις χειρὸς εἰς τὸ συλληφθῆναί σοι τὸν Σατὰν, καὶ δοῦναι δίκας ὧν πεπαρῴνηκεν, ἢ τοῖς πράγμασιν ἀγχόμενον βαλεῖν ἑαυτὸν κατὰ κύματος· καὶ ἡ τοῖς καλοῖς ἀεὶ ἐπεγκειμένη καὶ συνεισερχομένη λαθρηδὸν ἀντίπαλος ῥοπὴ, καὶ τῶν μὲν ἡδόντων εὐπαρύττουσα, τῶν δὲ θλιβόντων σφίσιν ἀντιπρονεύουσα τὸν κύβον ῥίξασα ἑτέρως, ὡσεὶ καὶ ἥπατος λοβὸν ἐκ φάρυγγος θηρῶν τῶν σῶν ἐξείλετο στρατευμάτων, καὶ πόλιν ἐπὶ Πόντῳ κειμένην καὶ τὴν κλῆσιν εἰληχυῖαν ἐξ Ἡρακλέος, καὶ τὸν ἔνδον ταύτης ὡσεὶ καὶ πεδώτην καθήμενον, καὶ περὶ τῶν ὅλων ἤδη λαμπρῶς ἀπειπάμενον· νῦν ἀληθῶς ἐν λιμένι ναυάγιον· νῦν καθεύδοντα ἄνθρωπον ἔγνωμεν, τρόπαιον μὲν οὐκ ἐγείροντα, χεῖρα δ' ἄνακτος τροπαιοφόρον καινοπρεπῶς ἐκδιδράσκοντα· οὐδ' ἐν ὀνείροις οὕτω τις εὐημέρησεν, ὡς ὁ ψευδώνυμος οὗτος Δαυῒδ παρὰ δόξαν διέδρα τὸν κίνδυνον· ὄντως πολλὰ μεταξὺ κύλικος καὶ χείλους ἄκρου· οὐ δὲ συμβαίνουσα τῇ χθὲς ἡ σήμερον· ἀλλὰ καὶ τὸ τῆς ὥρας πολλοστὸν, ἀλλοπρόσαλον. Καὶ τῇ δε μὲν εἶχε ταυτί. Αὐτὸ δὲ τὸ κατὰ Πόντον ἐκβρασθὲν μειράκιον, ὡς ὑπὸ κύματος θαλάττης σκύβαλον, ᾤετο, εἰ χρήσετο συνερίθοις τοῖς Ἰταλοῖς, σὲ μὲν

Digitized by Google

δυσαπαλλάκτοις καὶ καινοῖς ἐμβαλεῖν μογήμασιν, ἑαυτὸν δ' ἐκσώσειν εἰς τέλος διὰ τὴν τῶν πραγμάτων παλίμπνοιαν· ἀλλ' ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ· ὅθεν οἱ μὲν πυθόμενοι τοῖς περιποντίοις ἐνπονεῖν σε μέρεσι, τὴν σὴν ἁρπάζουσιν ἀπουσίαν, καὶ κατὰ γῆν καὶ θάλασσαν τῇ Νικομήδους προσβάλλουσι· σὺ δ' ἀτίνακτός ὢν ταῖς ἀγχιστρόφοις μεταβολαῖς, καὶ μήτε τοῖς κατ' οὖρον φερομένοις ὑπὲρ ὃ δεῖ κουφιζόμενος, μήτε μὴν ταῖς δυσπραγίαις ὑποκλινόμενος ἀγεννῶς, τὸν μὲν μείρακα παρῆκας, ὡς εὐχείρωτον καὶ πάλιν καὶ πολλάκις ἐσόμενον· τὰ χαλινὰ δὲ μετενεγκὼν, τοὺς ἐκείνου συμμάχους ἀναδιφᾷς, ποθῶν καὶ τὸν τοῖχον ἐξαλεῖψαι καὶ τοὺς τοῦτον ἀλείφοντας· τί δὲ οἱ γενναῖοι μαχηταὶ καὶ ἱππόται ἀκράδαντοι, καὶ τὸ φρονεῖν ἀταπείνωτοι, καὶ ἀγέρωχοι καὶ ὑψαύχενες; οὔπω καθαρῶς μετὰ μοίρας τινὸς στρατιώτιδος αὐτοῖς ἐπέρραξας, καὶ τῷ δέει τὰς φρένας ἀλλοιωθέντες, προτροπάδην οἴχονται, αἰσχύνῃ καὶ νυκτὶ τὰ πρόσωπα καλυψάμενοι· τὸ δὲ καινότερον, οὐδ' οἷοί περ ἐξῄεσαν, τοιοῦτοι καὶ ἐπανῄεσαν· ἀλλὰ συχνοὺς μὲν ἄνδρας πολλοὺς καὶ ἵππους ἀποβαλόμενοι, τὴν δ' ἀποσκευὴν ἅπασαν τῆς στρατείας ἀποσεισάμενοι, καθαπερεὶ φόρτον ἐς ᾅδου κατάγοντα, ὡς ἐν ἑνὶ πνεύματι τὴν Κωνσταντίνου εἰσέδυσαν· οὕτως οὐ χρεὼν τὸν εὔελπιν εἰς θεὸν κἀκείνῳ τὰς πράξεις ἀνάπτοντα, τοῖς αἰφνηδὸν προσπίπτουσιν ἀνιαροῖς ἀηδίζεσθαι. Ἀτεχνῶς γὰρ, φιλοχριστότατε βασιλεῦ, τὸ μὲν ἑσπέρας ηὐλίσθη σοι βραχείας ἀλγηδόνος ὑποκλαυθμυρισθὲν, διὰ τὴν ἀγγελθεῖσάν σοι τῶν Ἰταλῶν ἔφοδον, τὸ δὲ πρωῒ μεγίστη ἐπεγέλασεν ἀγαλλίασις, διὰ τὴν τῶν τούτων ἐκτροπήν τε καὶ ἀποσόβησιν. Καὶ τὰ τοῦ Ἡσαΐου δέ πως ἐπὶ σοὶ πεπεράτωται· Κύριος ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς· καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ πεσοῦνται οἱ βοηθούμενοι· καὶ ἅμα πάντες ἀπολοῦνται. Οὐ μόνον τοίνυν τὰ καλά σοι θεόθεν δεδίσσευται, ἀλλὰ καὶ τὸ προκτηθὲν κάλλιον προσκατώρθωται· οἵ τε γὰρ οἱ ἐχθροί σου τῷ πλήθει τῆς δυνά-

Digitized by Google

μεώς σου ἐψεύσαντο, κἂν σοφοὶ τὴν πανουργίαν ἦσαν καὶ τὸν σὸν δρόμον ἐπισχεῖν ἠπείγοντο· καὶ τὸν καθ' οὗ τὴν στρατείαν ἐκήρυξας, ἔχεις καὶ πάλιν ὡς πρότερον ἐκ τῶν τοῦ Πόντου μερῶν ἀνασπᾶν, ὅσα καὶ ἰχθὺν τῷ σῷ διαπειρόμενον δόρατι, καὶ ὡς στρουθίον καταπαίζειν οἰκτρότατον, διαπτῆναι μὲν ἱέμενον, διαδρᾶναι δὲ μὴ δυνάμενον, τοῦτο μὲν ἐκ τοῦ τὰ ὅπλα ὡς πτίλα περικοπῆναι, τοῦτο δὲ καὶ τὴν περικειμένην αὐτὰ νεολαίαν τῷ σῷ κράτει προσρυῆναι καὶ προσπεσεῖν· ὥς τε τὸ ἄκρον ἑλὼν, καὶ τοῦ μέσου λαβόμενος, καὶ τὸ πλέον ἔχων ἐντεῦθεν, μετὰ βραχὺ καὶ τὸ λεῖπον ἐφομαρτοῦν ἐπόψει καὶ συνεπόμενον. Καὶ βάλλεις οὕτω καὶ νικῴης οὕτω, βασιλεῦ μεγαλόνικε· καὶ εἴη σοι μὴ κατὰ γῆν μόνην μεγίστοις τροπαιουχήμασιν ἐπαγάλλεσθαι, ἀλλὰ καὶ καθ' ἅλα καλλίστοις ναυμαχήμασι καλλωπίζεσθαι· καὶ ὁρῴημεν ἡμεῖς τὸ ὑπήκοον τά τ' ἐπίγεια τά τ' ἐνάλια σὰ κατορθώματα, περὶ πρωτείων ἀμφήριστα, καὶ ἄλλος ἐπ' ἄλλῳ πίπτοιεν καὶ προσπίπτοιεν οἱ ἀλλόφυλοι, ὅσοι σκάφεσι μακροῖς ἡμῖν ἐπιπλέουσι, καὶ ὅσοι γῆθεν ἐπιβουλεύουσι. Γένοιτο δέ σοι καὶ τῇ πατρίδι πόλει ἐπαμῦναι εἰσέτι σπανιζούσῃ τοῦ ἐπαρήγοντος καὶ πασχούσῃ λίαν οἰκτρῶς τὰ μήτ' ἀκοαῖς τλητὰ, μήτε λόγοις ῥητὰ, ἐκ τῶν ἐπιμανέντων αὐτῇ βιαστῶν, καὶ τῶν ἀνεράστων τοῦ καλοῦ ἐραστῶν. Ὦ πῶς τὴν πορφύραν καὶ τὸν βύσσον ἐκδέδυται! ὦ πῶς τοὺς χλιδῶντας χλιδῶνας διέρρηκται· ὦ πῶς τὴν κεφαλὴν σποδῷ πέπασται, ἣν χρύσειος ἐκόσμει κεκρύφαλος καὶ ἐνώπια κατηγλάϊζον παμφανόωντα· ὦ πῶς ἐξουθενωμένη καὶ ἀπωσμένη ἡ πόλεων πασῶν ὑπερκειμένη καὶ βασιλεύουσα, καὶ χαλαρῶν ῥυτίδων ἀνάπλεως ἡ στιλπνὴ πρὸ τρίτης τὰς ὄψεις, ἡ εὐῶπις καὶ ἡ μιλτοπάρῃος! Εἰς σὲ τοίνυν, ὦ βασιλεῦ, τὰ ὄμματα τείνουσα καὶ τὰς χεῖρας αἴρουσα, τὰ δαυϊτικὰ ἐκεῖνα μετὰ συνοχῆς ἐπεύχεται καί φησί· τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με· γενοῦ μοι Μωσῆς ἐλευθερωτής· φάνηθι ὡσεὶ

Digitized by Google

πῦρ δ' διαφλέγει δρυμὸν τοῖς ἐμὲ θεμένοις ἐμπεπυρισμένην πυρὶ καὶ ἀνεσκαμμένην· μὴ φείσῃ τῶν μὴ φεισαμένων μου· τίσειαν Ἰταλοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσιν! Ὑπερέβην ἐν συμφοραῖς ἣ καὶ ὡμοίωμαι τῇ πάλαι Σιών, ἣν στρατὸς ἠδάφισε Βαβυλώνιος· ἀλλ' ὡς ἐκείνην ἐπανήγαγε Ζοροβάβελ, οὕτω καὶ σύ με ὑπολαβὼν τοῦ χαλεποῦ τοῦδε πτώματος ἔγειρον· ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου· οὐκ ἄμισθος ὁ μόχθος ἔσται σοι, ἀλλὰ καὶ λίαν ὁ μισθὸς ἐντελόμισθος· ταινιάσω σε τῷ βασιλείῳ τρανώτερον στέμματι· διαδήσω σε τῷ τῆς νίκης λαμπρότερον στεφανώματι· ὡς ἡ Ῥώμη Βροῦτον ἐπὶ κύρβεων εἰκονίσω σε· ὡς Τιμολέοντα Σικελία δοξάσω σε· ὡς Ἁρμόδιον Ἀθῆναι ἀθάνατα κροτήσω κἀπὶ στήλης ὑψώσω σε. Εἴθε θεασαίμην σε ὃν πάλαι τε καὶ ἐκ πλείονος ἰδέσθαι ποθῶ! ὡς ἂν μήτηρ ἐπὶ τέκνῳ καὶ υἱὸς ἐπὶ μητρὶ εὐφρανοίμεθα, καὶ ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιθέσθαι γένοιτο διά σου. Ταῦτα ἡ γαλουχός σοι πόλις καὶ κοινὴ τῶν Ῥωμαίων πατρὶς οἰμώζουσα καὶ κοπτομένη φησί, βασιλεῦ· ὁ δὲ τῶν παρακλήσεων Κύριος κλύοι μὲν τῶν ταύτης ὀλολυγμῶν, εἴη δὲ καὶ τὸ σὸν τιθεὶς κράτος εὔθυμον, πολυχρόνιον.

Τοῦ αὐτοῦ εἰς τὸν βασιλέα κὺρ Θεόδωρον τὸν Λάσκαριν, ὅτε ἐφόνευσε τὸν σουλτάνον Ἰκονίου· ἐξεδόθη δὲ σαφηνείας πλῆρες τὸ παρὸν προσφώνημα διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν.

Νῦν ἡμέραν, τὴν ἡμέραν ἀκραιφνῶς λογιζόμεθα· νῦν τὸν ἥλιον, ἥλιον· νῦν φῶς ἐλευθερίας καθαρῶς ἐβλέψαμεν ἅπαντες· ἐπανήκεις γάρ, μεγαλουργὲ βασιλεῦ, ἐκ τῶν Περσικῶν σου καμάτων, φαυσιβολώτερος ἡλίου, νέφος πολέμιον διεσκεδακώς, τετριγυς

Digitized by Google

καθ' ἡμῶν δεινὸν καὶ ὀλέθριον· καὶ τῷ μὲν δοκεῖν ἔν τι καταγωνισάμενος ἔθνος, τῷ δὲ ὄντι μυρίαις πανσπερμίαις ἐθνῶν ἀνθαμιλλησάμενος, Πέρσας ἐστρόβησας, Ἰκονιέας ἐκλόνησας, Ἄραβας ἔτρεψας, τοὺς τὴν μέσην τῶν ποταμῶν κατοικοῦντας κατεπολέμησας μάχῃ μιᾷ καὶ τοῖς ἔργοις σου τῶν χειρῶν· τί γοῦν καὶ φήσομεν ταυτηνί σου τὴν ἐπανάλυσιν; οὐδὲν ἀλλ' ἢ πάντως ἐξ ὕψους ἀνατολὴν καὶ θειοτέραν ἐπισκοπήν, μᾶλλον μὲν οὖν ἐπιδημίαν θεοῦ πρὸς ἡμᾶς, εἰ καὶ μὴ τῇ φύσει, τοῖς δ' οὖν λαμπροῖς ἀριστεύμασιν. Ἀλλὰ τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ὄντως θεὸς ἐκδικήσεων Κύριος· ὄντως θεὸς παρρησιαζόμενος, θεὸς ὁ ἡμέτερος· φθέγξομαι γὰρ τὰ Δαυϊτικὰ ταῦτα ῥήματα, ὡς προσφυᾶ καὶ ἐφάρμοστα τοῖς νεαροῖς σου τούτοις μεγαλουργήμασιν. Ἅμα γὰρ ἐπὶ τὸν Μαίανδρον ποταμὸν ἐπεβίβασας τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλά, καὶ ἅμα τὰς τῶν βαρβάρων ὁμαιχμίας διέλυσας· καὶ ἄνδρες μὲν ἐκτείνοντο πρόμαχοι καὶ συνείχοντο ἵπποι πολεμιστήριοι, καὶ χάρακες ἐσκυλεύοντο, καὶ χρήματα διηρπάζοντο· τὸ δὲ λοιπὸν τοῦ στρατεύματος συλληφθὲν δέει, κατὰ πρόβατα σφαγῆς διεσκίδνατο. Ὡς εὐδαίμων οὖν καὶ σώτειρα Ῥωμαίων ἡ ἱππασία σου· ὡς εὐδαιμονεστέρα δὲ καὶ ἡ στρατηγία σου· ὡς τρισμακάριστος σὺ καὶ τρισμέγιστος, παρὰ βασιλεῦσι πᾶσι καὶ ἀρχηγοῖς, νικήσας ἔθνη τὰ ἐς δεῦρο ἀνίκητα, καὶ πολεμικὰς φάλαγγας συγκόψας τροπαιουχεῖν μεγαλαυχούσας ἀεί· ὅσον γὰρ ἦν τὸ Περσικὸν ἱππικόν, τὸ καὶ τοῖς ὅπλοις ἀστράπτον καὶ μικροῦ ἀερούμενον τοῖς ποδηνέμοις ὀχήμασιν· ἐπὶ δὲ τούτοις ὅσον τὸ τοξικόν, ὅσον τὸ δορυφόρον, τὸ ῥαβδοφόρον, τὸ σισυροφόρον ψιλόν, ὅση δὲ καὶ ἡ σκευοφόρος κάμηλος καὶ ἡ τοῦ πολέμου παντοία παρασκευή! εἶπεν ἄν τις πρὸς τὸ πλῆθος ἀπιδὼν τῆς παρεμβολῆς, τὸν ἐπιφερόμενον ἐκείνῃ πλοῦτον, τὸν ἄπειρον ἐν ἵπποις καὶ ἐν ἅρμασιν ἀναρίθμητον, ἐν δ' ἱματισμοῖς

Digitized by Google

χρυσοϋφέσι καὶ πολυτελέσι σκεύεσι καὶ τῇ λοιπῇ θεραπείᾳ τοῦ σώματος, καὶ τὸ τῆς ψάμμου παμπληθὲς ὑπερβαίνοντα, μὴ τοὺς ἐξ Ἄγαρ ἐξιέναι πρὸς Ἄρεκ, ἐς δὲ τὴν Εὐρώπην μετοικίζεσθαι πάντας τοὺς Ἀσίας οἰκήτορας διά τι προσπεσὸν θεόπεμπτον μήνυμα· εἰ καὶ νῦν ταῦτα πάντα ὅσα καὶ ἄχυρμιά τις ἐξ ἅλωνος θερινῆς ἀπελήλαται· οὐ δὲ γὰρ οὕτω Τρῶας ἐφόβησεν Ἀχιλλεύς, ὡς σὺ τὸ Περσικὸν ἐνέκλινας μυρίανδρον στράτευμα. Ἠγωνίσατο καὶ Δαυὶδ, ἀλλὰ καθ' ἑνὸς βαρβάρου τοῦ Γολιάθ, καὶ τούτῳ τὴν κεφαλὴν ἀφελόμενος, ἐν μυριάσιν ἀνδρίσασθαι χορευτρίαις νεάνισιν ᾔδετο· πλὴν ἐπεπήδησέ τις καὶ τῷ Δαυὶδ ἀλλόφυλος· παρεστὼς δὲ Ἀβεσσοὺς, τὸν κίνδυνον ἀπεκρούσατο· καὶ πᾶς ὁ στρατὸς πρὸς τὸν Δαυὶδ ἐξεβόησεν· οὐκέτι πορεύσῃ ἐς πόλεμον, ἵνα μὴ σβεσθῇ ὁ λύχνος τοῦ Ἰσραήλ! Σὺ δὲ οὐ πρὸς ἕνα ἡμιλλήσω· ἀλλ' ὅλας παρατάξεις ἐκλόνησας, τέλος δὲ καὶ θάνατον ἔβαλες εἰς κεφαλὴν τοῦ παρασπόνδου καὶ κομπάζοντος τὰ ὑπέραυχα, καὶ οὐδ' ὅσα Ξέρξης ἠλαζονεύετο καθ' Ἑλλήνων, θάλασσαν ἀπογαιῶν καὶ ἤπειρον θαλαττῶν, καὶ ζοφῶν τὸν ἥλιον βέλεσι, καὶ ποταμοὺς ξηραίνων ταῖς πόσεσι. Τίνα σοι τοίνυν κλῆσιν ἁρμοδίως ἐφεύροιμι; καλέσω σε Περσοκτόνον; ἀλλ' οὐ τοῦτο καὶ μόνον σοι ἐπεγένετο· Πολιορκητήν; ἀλλὰ καὶ νίκας ἐπανεῖλου μεγάλας ἱππομαχίᾳ· Σωτῆρα; ἀλλ' οὐ μόνον τὸ οἰκεῖον ἐξέσωσας, ἀλλὰ προσκατηγωνίσω καὶ τὸ ἀλλότριον. Πόσῳ σὺ θαυμάζεσθαι ἀξιώτερος, ὑπὲρ τὸν Μακεδόνα Ἀλέξανδρον! μεγαλεγχειρητὴς μὲν γὰρ κἀκεῖνος καὶ φιλοκίνδυνος, ἀλλὰ νικήσας Δαρεῖον, οὐχὶ καὶ Δαρεῖον ἑλεῖν δεδύνηται· μᾶλλον μὲν οὖν καὶ Ἰνδοῖς μαχόμενος, ἐτοξεύθη διὰ τοῦ θώρακος εἰς τὸ στῆθος, καὶ πνεῦμα ὁμοῦ τῷ αἵματι ἐκ τοῦ τοξεύ(ματος;) ἐξεπνεῖτο· καὶ ἴλιγγος αὐτὸν καὶ λειποψυχία κατέσχε, καὶ πίπτει ἐπὶ τὴν ἀσπίδα ξυννεύσας· τάχα δ' ἂν καὶ χερσὶν ἑάλω βαρβάρων, καὶ τὴν κεφαλὴν ἀπετέτμητο, εἰ μὴ περιβάντες οἱ Μακεδόνες πεσόντι, καὶ ἄλλος ἐπ' ἄλ-

Digitized by Google

λω προασπίσαντες, ἀνήγειράν τε τοῦ πτώματος καὶ τοῦ κινδύνου ἐξέσωσαν. Καὶ σὺ δὲ μεγαλοκινδυνώτατε βασιλεῦ, κατ' Ἀλέξανδρον ἀνδραγαθιζόμενος, βέβλησαί πως καὶ καταβέβλησαι, μυρίων ἕνα διειληφότων· ἐκ τοῦ αὐτίκα διαναστὰς, ὡσεὶ παρεμβολαῖς ἀγγέλων ἀνεκουφίζου, ἢ Χριστὸν αὐτὸν συμπαρεστῶτα εἶχες καὶ ἀνορθοῦντα καὶ ἀνιστῶντά σε, καὶ εἰληθεὶς ὑπὸ τῇ ἀσπίδι ἀνεπινόητος, καὶ πάλιν ὁπλίτης αὐτενέργητός τε καὶ αὐτεπάγγελτος κατὰ τοῦ Περσάρχου κεχώρηκας, καὶ πεζομάχος ὤφθης καὶ ἱππομάχος, καὶ πλήττων ἐς κνήμας ἵππον τὸν ἐριαύχενα, καὶ καθαιρῶν τὸν ἀναβάτην καὶ ἀναιρῶν, πολλῷ τοῦ Βρασίδου νεανικώτερος, ὃς ἐξελκύσας δόρυ τοῦ σώματος αὐτῷ τούτῳ τὸν βαλόντα ἠμύνετο. Ὅθεν τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου ἀπώλετο· καὶ νενίκηται ὁ νικητὴς, καὶ καταμεμάχηται ὁ μαχητής· καὶ ἑάλωκεν ὁ δυσάλωτος· ὁ δὲ πολεμοχαρὴς κατηδάφισται· καὶ εἶδεν ἥλιος μέχρι καὶ ἐς ἡμᾶς ἀθέατον θέαμα, εἰς γῆν πεσόντα πτῶμα παγχάλεπον καὶ ἀνέγερτον, καὶ τὴν κεφαλὴν ἀπαρασσόμενον τὸν τὴν πρὸς ἥλιον πᾶσαν μεγαλαυχοῦντα χειρώσασθαι, καὶ τὰς ἡμετέρας πόλεις, ὡς εἰς χῶμα καθελεῖν φρυαττόμενον, τοὺς δ' ἐν αὐταῖς οἰκοῦντας ὡς ἐγκαταλελειμμένα ὠὰ καὶ νοσσιὰν ἔρημον αἱρεῖν φανταζόμενον. Τί τῆς ἡμέρας ἐκείνης γλυκύτερον; τί τῆς θέας ἐκείνης χαριέστερον; Χριστὲ βασιλεῦ, τῆς μεγαλωσύνης σου καὶ τῶν καινῶν σου θαυμασίων καὶ τεραστίων τῶν νεκρῶν, καὶ τῆς ἀρρήτου πρὸς ἡμᾶς προμηθείας σου! ὁ γὰρ θανατῶν σὺ καὶ ζωογονῶν, κατάγων εἰς ᾅδου καὶ ἀνάγων, ὡς εἰς ῥοπὴν τρυτάνης τὰ καθ' ἡμᾶς ὑποκλίνας πράγματα καὶ πᾶσαν ἀγαθὴν ἀπαγαγὼν προσδοκίαν, αἴφνης ὑπὲρ λόγον εἰς τὴν ἐναντίαν μετέστησας πλάστιγγα! Ἀνατέτραψαι γὰρ βασιλεῦ, καὶ τοῦ ὀχήματος ἀπεσφαίρισαι, μόνος τὸν ὑπὲρ ὅλων δεχόμενος κίνδυνον, καὶ πρὸς ἕνα πολέμαρχον τοῦ βαρβαρικοῦ παντὸς ἐπιβρίσαντος· ἀλλὰ τῷ σῷ πτώματι πάντες ἡμεῖς ἀνέστημέν τε καὶ ἀνωρθώ-

Digitized by Google

θημεν· ὅταν γάρ φησι, πέσῃ οὐ καταρραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ. Πλὴν καὶ τοῦτό σου τὸ ἀέθλευμα χριστομίμητον ἀληθῶς· καὶ Χριστὸς γὰρ συμπλακεὶς τῷ τῆς φύσεως ἡμῶν πολεμήτορι, καὶ πτῶμα τὸ ἐντάφιον ἑκουσιασάμενος, κἀκεῖθεν ἀναθορὼν, ὡς ἐς γῆν καθεῖλε Σατὰν τὸν ἀρχέκακον, καὶ λαμπρότερος ἐκ τοῦ παθεῖν εἰς τὴν οἰκείαν ἀρχὴν εἰσελήλυθε· καὶ σὺ πρῶτος ἐμβαλὼν τοῖς πολεμίοις, καὶ μόνος μυριάσι καταφράκτοις ἀντιταξάμενος, ὠσθεὶς ἀνετράπης τοῦ πεσεῖν· ὁ δὲ Κύριος ἀντελάβετό σου· καὶ κυκλώσαντες ἐκύκλωσάν σε οἱ βάρβαροι· ἠμύνω δὲ τούτους τῷ τοῦ Κυρίου ὀνόματι. Ἀκολούθως οὖν καὶ βασιλεὺς ὑψηλότερος κατὰ Χριστὸν ἡμῖν ἐπανέζευξας, καὶ εἰσέτι ἀποσώζων τοὺς ὑπὲρ ἡμῶν ἐπενεχθέντας σοι μώλωπας, καὶ διδοὺς φιλαγάθως τῷ βουλομένῳ ψηλαφῆσαί σε καὶ εἰπεῖν· ὁ Κύριός μου καὶ αὐτοκράτωρ μου! Ὅθεν καὶ θαρροῦντες φαμὲν, ὡς τῷ σῷ μώλωπι πάντες ἡμεῖς ἰάθημεν, καὶ ὅτι τὴν σὴν ψυχὴν τῶν ὅλων ἀντίλυτρον δέδωκας. Ἀκούω τῆς ἱστορίας δι᾽ ἐπαίνου καὶ κρότου πολλοῦ τιθεμένης ἐς δεῦρο, μαχητήν τινα τὴν κλῆσιν Καλλίμαχον, ἐφ᾽ ὃν οἱ Πέρσαι πᾶσαν μὲν φαρέτραν ἀνέωξαν, πάντα δ᾽ οἰστὸν ἐξεκένωσαν· ὁ δὲ, καὶ θανὼν ακαθαίρετος ὡρᾶτο περιτοξευθεὶς, καὶ νεκρὸς ἀδοξῶν πεσεῖν, καὶ ζῶν ἐν μόνῳ τῷ σχήματι καὶ ψυχῆς μεμονωμένῳ σώματι, ἀποσοβῶν ὡς πρώην τὸ βάρβαρον, τοῖς τῶν βελῶν πτεροῖς κουφιζόμενος, Ἀλλὰ τί μοι πρὸς σὲ βασιλεῦ θειότατε, τὸ ἕως καὶ νῦν περιώνυμον τοῦτο καὶ διατοξεύσιμον παντὶ τοῦ Καλλιμάχου κατόρθωμα; οὐ γὰρ βλήμασι μόνον παρεστήσω τὸ σὸν ἀνδρεῖον παράστημα, ἀλλ᾽ ὅλης Ἀσίας τοξεύματα καὶ δόρατα κραδαινόμενα, καὶ κόρυθας ἀνατεινομένας χαλκήρεις ἐπὶ τὸ σὸν δεξάμενος σῶμα, ἀντέσχες ὡς ἀδάμας καὶ ἄκμων ῥαιστῆρσιν ἀνάλωτος· εἶχες γὰρ τὸν Χριστὸν ἐπὶ τὴν σὴν σκιάζοντα κορυφὴν ὡς καὶ Δαυὶδ ἐν πολέμοις πρότερον· ἐπεσκίασας γάρ φησιν, ἐπὶ τὴν κεφαλήν σου ἐν ἡμέρᾳ πολέμου.

Digitized by Google

Καὶ ὁ μὲν βάρβαρος οὐκ ᾤετο μόνον, ἀλλὰ καὶ ἐπεβόα τρανότερον, ἐν χερσὶν ἔχειν σε ἤδη, καὶ μικροῦ τὰ νικητήρια ἔθυε· καὶ ὅπου τὸ ὑπὲρ ἡμῶν σου πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί, οἱ περὶ ἐκεῖνον μεγιστάνες ἠθροίζοντο, εἰ καὶ καθ' ἑαυτῶν καὶ ἀνοήτως ἐπεποτῶντό σοι, καὶ δίκην κολοιῶν ἐγάρυον ἄκραν τὰ διακενῆς πτερυγίζοντες. Ὁ γὰρ διεὶς ἐπὶ σταυροῦ τὰς χεῖρας ὡς πτέρυγας ἡμέτερος θεὸς ὁ Χριστὸς, ὡς ἐπὶ τῶν αὐτοῦ σε μεταφρένων ἀνέλαβε, καὶ ὡς κόρην ὀφθαλμοῦ διεφύλαξεν, ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε, καὶ εἰς θεὸν ὑπερασπιστήν σοι γέγονε, συμποδίσας τοὺς ἐπανισταμένους ἐπὶ σὲ ὑπὸ κάτω σου, καὶ στήσας ἐν εὐρυχώρῳ τοὺς πόδας σου, ὡς ἐπὶ σοὶ δέξασθαι πέρας κακεῖνα τὰ Δαυϊτικὰ κρούματα· αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον· ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. Ὡς ἀξίαν γοῦν τοῦ φιλοβασιλέως Χριστοῦ καὶ σοῦ τοῦ φιλοχρίστου βασιλέως, τὴν κρίσιν ὁ πόλεμος εἴληφεν· ἔδει γὰρ καὶ Χριστὸν ὑπερκεῖσθαι, Μωάμεδ ὅλους ποταμοὺς ληροῦντος ροφᾶν, τὴν παρ' αὐτῷ τιμωμένην χαμηλοθήλειαν καὶ πᾶσαν αἰσχρουργίαν τοὺς ἐκ τῆς Ἄγαρ διδάσκοντος, καὶ βασιλέα εὐσεβῆ καὶ φιλόθεον ὑπερτερῆσαι τοῦ τῆς ἀνομίας υἱοῦ, καὶ ταγμάτων ἀρχηγοῦντος πανασεβῶν. Τίς ἀπ' αἰῶνος τοιοῦτον ἤκουσε τρόπαιον; τίς οὕτως ἐν ἀκαρεῖ τὰ Περσῶν καθεῖλε φρυάγματα; τίς εὐμαρῶς ἐχειρώσατο ἄνδρα Περσάνακτα, ὑπὲρ μὲν ἀστέρας τὴν ἵππον ἐλαύνοντα, τὴν δ' ἀσπίδα πεδιάδας ὅλας καλύπτουσαν ἔχοντα; Σὺ μόνος ἄρα, καὶ πρῶτος οἶμαι δὲ καὶ ὕστατος, θειότατε βασιλεῦ, τὸ μεγαλοπρεπὲς τοῦτο καὶ θεοπάροχον τετέλεκας τρόπαιον· ἔδει γὰρ ὡς θεοῦ δωρήματι, καθὼς καὶ ἡ κλῆσις ἐπισημαίνεται, καὶ θεόθ σοι κατορθοῦσθαι μεγαλουργήματα. Καὶ γένος μὲν τὸ Αἰγύπτιον διὰ Μωσέως πᾶν μαστιγούμενον, ἓν τῶν καινοπρεπῶν ἐκείνων ἔργων καὶ θείκῶν, δάκτυλον θεοῦ κατωνόμασεν· ἰδοὺ δὲ καὶ ἡμῖν, διὰ σοῦ κατὰ Μωσέα καινουργοῦντος τὰ ὑπὲρ ἔν-

Digitized by Google

νοιαν, ἔργον τοῦτο θεοπρεπὲς ἐκτετέλεσται, οὐ δάκτυλος μόνον θεοῦ κληθησόμενον, ἀλλ' οὕτω καὶ εἰς φόβον καὶ εἰς θάμβος τοῖς ἁπανταχῇ γενησόμενον ἔθνεσιν, ὡς ὑπ' ἐκπλήξεως ἕκαστον τῷ οἰκείῳ ἐπιθεῖναι στόματι δάκτυλον· βαλὼν γὰρ ἐπὶ κεφαλὴν ἀνόμου θάνατον, ἐξήγειρας μὲν καὶ ἕως τραχήλου δεσμοὺς τῶν ἐκείνου δυναστῶν, ἀφεῖλου δὲ καὶ κεφαλὴν τὴν κομπάζουσαν περιοδεῦσαι καὶ διελθεῖν χώρας καὶ πόλεις ἡμετέρας καὶ πορφυρῶσαι ταύτας τοῖς αἵμασι, καὶ εἰς κοινὸν διέπεμψας γελοιῶδες ἐπίχαρμα, πηριδίῳ ἱππικῷ ἐντεθεῖσαν, καὶ σεσηρυῖαν δεινὸν καὶ μεμυκυῖαν τοὺς ὀφθαλμούς, καὶ τὴν γῆν τῷ οἰκείῳ μολύνουσαν αἵματι. Λαμπρὰ μὲν οὖν καὶ τὰ χθὲς καὶ πρὸ τρίτης σοῦ κατορθώματα, βασιλεῦ, ὅσα θάλαττα καὶ γῆ διενείμαντο, καὶ ἀεὶ τοῦ προτέρου λαμπρότερον τὸ μετέπειτα· τὸ δὲ νῦν τοῦτο τρόπαιον, μεγαλειότερον τῶν πάντων τροπαίων σου, καὶ οὐ τῶν σῶν μόνον τροπαίων, ἀλλὰ καὶ τῶν ὁτεδὴ κατορθωμάτων παλαιγενέσι βασιλεῦσι καὶ στρατηγοῖς, ἵνα μὴ λέγω ἀσύγκριτον, καὶ οἷον οὐδέπω τις τῶν μεγαλοδυνάμων βασιλέων διήνυσε· ταῦτα τοῦ σταυροῦ τὸ σημεῖον, ἐν ᾧ καὶ αὐτὸς ἐφράχθης, καὶ ὃν τοῖς σοῖς ὁπλίταις ὑπέθου αἴρειν εἰς σύσσημον. Ὅθεν καὶ κατὰ τὸν μέγαν ἤκουσας Κωνσταντῖνον ἐν τούτῳ νίκα τοὺς ἐχθρούς σου· τοῦτό σοι τὸ ὅπλον ῥάβδος ἐσεῖται δυνάμεως ἐξαποστελλομένη σοι ἐκ Σιών· καὶ ὑπὸ χειρὶ θήσεται τὴν τετραπέρατον γῆν· τοῦτο τοῖς σοῖς ποσὶν ὑποθήσει πάντα ἐχθρὸν καὶ πολέμιον, ὅσος ἑῷος, ὅσος ἑσπέριος· ἥκασι γάρ, εἴ τι καὶ προβλεπτικῶς φθέγγεσθαι χρή, ἡμέραι τῆς ἐκδικήσεως· ἥκασι καιροὶ τῆς ἀνταποδόσεως· καὶ δεῖ τὰ τῆς ταλαιπώρου τέκνα Περσίδος πρὸς τὴν πέτραν τὴν Χριστοῦ ἐδαφίζεσθαι, ἀνταποδίδοσθαι δὲ αὐτῇ καὶ ὃ ἡμῖν πολλάκις ἀνταπέδωκεν ἀνταπόδομα. Ἐπὶ τοιούτοις ἡμεῖς τὸ ὑπήκοον κατορθώμασι, βασιλεῦ μεγαλόνικε, περικροτοῦντες γεγήθαμεν, καὶ ὡς δῶρον ἀληθῶς θεοδώρητον, τρισασπασίως ὑποδεχόμεθα, καὶ τοῖς

Digitized by Google

σοῖς ἄθλοις ἐναβρυνόμενοι παιανίζομεν, καὶ περισκιρτῶμεν ἐόρτια τοῖς σοῖς ἀγωνίσμασι· ζητοῦμεν καὶ τοὺς ὑπὲρ ἡμῶν ἰδέσθαι σου μώλωπας, καὶ χείλεσι τὰ στίγματα περιπτύξασθαι, οὐχ ὅτι παρ' ἡμῖν τις διστάζων καὶ δίδυμος τὴν γνώμην καὶ δύσπιστος, ἀλλ' ὅτι καὶ Χριστὸς ἔχαιρε ψηλαφώμενος καὶ μαθητοῦ χερσὶ πολυπραγμονούμενος· ὥσπερ πρὸ μικροῦ τὴν τῆς ἱερᾶς σου κεφαλῆς ἐνοπτρισάμενοι κόρυθα τὰ τῆς σῆς ὑπὲρ ἡμῶν ἀγωνίας σύμβολα φέρουσαν, μεθ' ἡδονῆς ἐνηγκαλισάμεθα καὶ περιχαρῶς ἠσπασάμεθα. Ἀλλὰ βασιλεῦ, εἰ μὲν δυνατὸν εἰς αἰῶνα ζῆθι τὸν ἅπαντα, καὶ ἀθάνατον ἔστω τὸ κράτος σου· εἰ δ' ἡ φύσις ἡ βρότειος τοῦτο οὐ βούλεται, ἐς πολιὰν πολιᾶς ἐλάσαις καὶ γῆρας ἔσχατον καὶ τρισεύδαιμον, νίκας νίκαις ἐπισυνάπτων, καὶ τροπαίοις ἐπιστοιβάζων τρόπαια, παρὰ μὲν πᾶσι τοῖς ὁπουδήποτε βασιλεύουσιν ἀπαράμιλλος ὢν καὶ ἀσύγκριτος, ἑαυτῷ δὲ συγκρινόμενος καὶ νικῶν ἑαυτὸν καὶ ἀεὶ τὰ παρῳχημένα τρόπαια τοῖς ἐνεστῶσιν ὑπερβάλλων μεγαλουργήμασι, καὶ φοβῶν καὶ νικῶν οὐ μόνον τὸ πρὸς ἕω βάρβαρον, ἀλλὰ καὶ τὸ δυσμόθεν ἐπεισφρῆσαν ἡμῖν πολυσπορὲς καὶ ἀλλόγλωττον γένος· καὶ εἴης αὐτὸς ὁ προσδοκώμενος ἐλευθερωτὴς τῆς λογίμης πόλεως Κωνσταντίνου καὶ ὁ ἐπανάγων Ζοροβάβελ. Ταῦτα δὲ καὶ τὸ παρεστηκὸς ἐπεύχεται, κράτος σοι θεόθεν αἰτούμενον ἄνοσον, εὔθυμον, ἀήττητον, πολυχρόνιον.

Digitized by Google

Γ.

ΘΕΟΔΩΡΟΣ ΜΕΤΟΧΙΤΗΣ.

Digitized by Google

Digitized by Google

ΘΕΟΔΩΡΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΝΙΚΑΕΥΣ.

Εἶχον μὲν τέως ἐπὶ τῇδε τῇ πόλει ὡς σιγῇ μόνον θαυμάζειν καὶ μὴ πλέον φιλόκαλος εἶναι πειρᾶσθαι, ὥστε καὶ λόγους ἀξιοῦν εἰσφέρειν καὶ τὴν νομιζομένην χαρίζεσθαι τοῖς καλοῖς εὐφημίαν, ἐπειδή μοι καὶ ἐργῶδες ἐπιεικῶς εἶναι δοκεῖ, τῶν αὐτῇ προσόντων ἀγαθῶν ἀντιλαβέσθαι μὴ ἀγεννῶς, καὶ ὅσοις πολλή τις ἡ περιουσία τοῦ λέγειν καὶ τὸ ἐν τούτοις κράτος μεγάλων ἀξιοῦται πραγμάτων, καὶ ἅμα δ' πρόσεστι νῦν, ὅτι καὶ πρὸς παρόντας καὶ ὁρῶντας τοὺς ἀκούοντας γίγνοιντ' ἂν οἱ λόγοι, καὶ τοῖς φαινομένοις, εἰμή τι πλέον, ἔστι προσμαρτυρεῖν, καὶ πολλὴ πάντως ἡ αἰσχύνη μὴ μόνον ὑπερσχεῖν τοῖς ἐγκωμίοις, ἢ τό γε δεύτερον παραθεῖναι τοῖς πράγμασι τὸν λόγον, ἀλλ' ἔτι καὶ πολὺ τῶν ὄντων ἀπολειφθῆναι ἐν εἰδόσι τοῖς ἀκροωμένοις σπουδάζοντα· ὁ μὲν γὰρ ἀγνοῶν τάχ' ἂν ἀποχρώντως ἔχειν οἰηθείη τὴν ἀγωνίαν καὶ ἀγαπήσοι τῷ προστυχόντι, πῶς δ' ἄν τις καὶ διαγένοιτο περὶ μεγάλων καθιστάμενος καὶ συνιεὶς ἧττον ἔχων, ὁπόταν ὁ κριτὴς εὐθὺς μεταφέρῃ καὶ προσαρμόζῃ τοὺς λόγους τῷ συνεῖναι τοῖς πράγμασιν; οὐ μὴν ἀλλ' ὃ μάλιστα τὴν δυσχέρειαν ἐδόκει τῷ λόγῳ ποιεῖν, τοῦτό με δὴ πρὸς τὸ ἐναντίον ἅπαν, ἐπιβαλεῖν ἐπέρρωσε τῇ παρούσῃ σπουδῇ καὶ θαρρῆσαι κατέστησε τοὺς ὑπὲρ

Digitized by Google

τῆς πόλεως ὡς ἔξεστι λόγους· μάλιστα μὲν γὰρ ὅστις μετὰ τῶν πραγμάτων ἀκούει, ἅμα τε ἂν ἔχοι γνῶναι ὅπῃ τῶν λόγων μακρὰν ἐλαύνοι καὶ συγγνῶναι πάντως, καλῶς διαιτήσας ὡς τὸ μὲν ἐνδεῶς τῶν ὄντων ἐρε(ῖν) τοῦ μεγέθους ὂν τῶν πραγμάτων, τὴν δὲ περὶ τὰ κρείττω προθυμίαν, οὐκ ἀδόκιμον οὖσαν, οὐδ' αἰτίας ἴσως ἀξίαν· καὶ τοσούτῳ μᾶλλον ὅσῳ περ ἄν, ὡς περὶ μεγάλων φρονῇ τῶν πραγμάτων, καὶ τοὺς ἄλλους βούλοιτ' ἂν οὕτω λογίζεσθαι· ἔπειτα δ' οὐδὲ τοῦτο δεινὸν οὐδέν, ἀλλὰ καὶ μᾶλλον καθ' ἡδονὴν τοῖς διακειμένοις οὕτω τῶν ἀκουόντων, καὶ τῷ λέγχοντι δὲ οὐ ἧττον, ἐλλεῖψαι τοῖς οὖσι καὶ τὴν ὑπερβολὴν ἐντεῦθεν παραστῆσαι τῶν ἔργων, οἷς ἐνεχείρησε. Τούτοις ἐγὼ τοῖς λόγοις ἔδωκα τῇ παρούσῃ σπουδῇ, καὶ εἰσήχθην εἰς ἀνάγκην ταύτην δοκοῦσαν αὐθαίρετον. Οὐ μὴν ἀλλὰ πατρίς μοι ἡ καλλίστη πόλις αὕτη, τὸ μέρος, καὶ τῇ πατρίδι τι πάντως εἰσφέρειν ἐκ τῶν ἐνόντων ὀφείλεται· ἔθος δὲ ὂν τοῖς ἐπὶ ταῦτα καθισταμένοις, οὐ μόνον τοῖς παροῦσι χρῆσθαι καὶ φαινομένοις, ἀλλ' ἔτι καὶ ἀνατρέχειν καὶ πόρρω τῶν προτέρων χρόνων ἐπιχειρεῖν, τὰ ἀρχαῖα σεμνύνοντας τοῖς εὐφημουμένοις. Εἰ μὲν ᾤμην οἷός τε ὢν ἀμφοτέροις ἀρκέσαι, οὐδὲν ἂν ἦν ἴσως πρᾶγμα πλέον τοῦ προχείρου διατρίβειν, καὶ τοῖς παλαιοῖς τῆς πόλεως φιλοτιμεῖσθαι τοὺς λόγους· νῦν δέ, τί ἄν τις περὶ ταῦτα φιλονεικῇ, ἐνδεῶς ἔχων, ἢ ὡς τῶν ὁρωμένων περιγενέσθαι; καὶ πολλῷ μᾶλλον ἀναγκαίων προσάγειν, ἐπεὶ βουλομένῳ περιττὰ φρονεῖν, πολλὴν ἀφθονίαν, τά τε παλαιὰ σεμνὰ Βιθυνῶν ἀρχαιολογοῦντα πολυπραγμονεῖν, καὶ ἔτι τὸ κλέος ὅσον ἀρχῆθεν ἥκει τῇ πόλει, καὶ ὡς οὐ προσβραχὺ τὰ κατ' αὐτήν, οὐδ' ὀλίγοις ἐσπουδάσθη, ἀλλ' ἄλλοις τε τῶν πάλαι γενναίων σκοπὸς γέγονε φιλοτιμίας· καὶ δὴ καὶ Τραϊανὸς αὐτός, ὕστερον Ρωμαίων αὐτοκράτωρ, οὐ πολλὰς μὲν τὰς κατὰ γνώμην καὶ τὸ ἦθος εὐδοκιμήσεις, πολλὰς δὲ καὶ τὰς κατὰ χεῖρα μεγαλουργίας οὐκ ὀκνεῖ παραπέμπων εἰς ἡμᾶς ὁ χρόνος.

Digitized by Google

οὐκ ἥδεσθη μᾶλλον κατὰ τῆς ἑτέρων φιλοκάλου σπουδῆς ἐπεξιέναι καὶ διατρίβειν, ἀλλὰ τοῖς ἀγαθοῖς τῶν ἔργων ὀρέγειν χεῖρα δεῖν ἐγνωκὼς καὶ εἰς ὅσον δύναιτο προάγειν, μετὰ τῶν ἄλλων καὶ Νίκαιαν τήν δε τὴν πόλιν, ὡς ἔχοι νῦν, ὑπόμνημα καὶ στήλην τῆς αὐτοῦ μεγαλοψυχίας ἵστησιν· ὥστε τὴν αὐτὴν ἐξεῖναι παλαιάν τε ὁμοῦ καὶ νέαν ὁρᾷν· καὶ εἰδήτω σεμνὸν ἡ ἀρχαιότης καὶ τοῦτο μετὰ τῆς πόλεως, καὶ εἰδήτω σοφὸς ὁ χρόνος τὰ κρείττω γνωρίζων ἀεὶ, καὶ τοῦτο πρόσεστιν αὖθις τῇ πόλει· ἀλλ' ὅπερ ἔλεγον οὔ μοι σχολὴ περὶ τὰ τοιαῦτα πολυπραγμονεῖν, καὶ τὴν σπουδὴν ἀναλίσκειν. Ὅτι δὲ θέσεως ἡ πόλις ἔλαχεν εὐφυῶς καὶ τῆς γῆς ἐπικαίρως ἵδρυται, τοῦτο καὶ πάρεστιν ὁρᾷν, κἀνταῦθα τῷ λόγῳ πειρᾶσθαι δεικνῦναι προσῆκον· ἔχει γὰρ οὕτω δεξιῶς, ὡς μήτε πρὸς ἀσφάλειαν, μήτε πρὸς χάριν ἐνδεῖν· ἀλλ' ἀμφότερα ἱκανῶς εἶναι, ὡς οὐκ ἔστιν εὑρεῖν ὑπερβολήν· θαλάσσῃ μὲν γὰρ ἔοικεν, οὐ μάλατοι πιστεύειν· διὸ δήπου μηδὲ συνάπτειν μηδὲ συνοικεῖν ἔγνω· ἀλλ' εἰς τοσοῦτον ἀναχωρεῖ, ὡς τῶν μὲν ἀπ' αὐτῆς πάντων ἀγαθῶν οὐ δυσχερῶς ἀπολαύειν ἐξεῖναι, εἰ δέ τι που δύσνουν ἐκεῖθεν, οἷα δήπου τὰ ἐκ θαλάσσης ἀφανῶς ὑφέρπει, μακρὰν ἀπῳκίσθαι καὶ μηδὲν ἐντεῦθεν εἶναι δεινόν· καὶ ἔστι τοῦτο ἡδύ τε ἅμα καὶ καινὸν ἐκτόπως θαυμάσαι, μὴ μετέχειν οἷα δὴ δοκεῖ, πᾶσα ἀνάγκη, τῶν ἐκ τοῦ αὐτοῦ ἐναντίων, ἀλλὰ τὴν μὲν τῶν ἐκεῖθεν καλῶν ἀπόλαυσιν, καθ' αἵρεσιν ἄφθονον εἶναι· καὶ γὰρ δὴ καὶ φιλότιμος ἔλαχεν ἡ γείτων οὖσα· πᾶν δὲ τὸ ἀπ' αὐτῆς δυσχερὲς ἀργὸν ἐπέχεσθαι καὶ ἀμήχανον ἐγχειρεῖν· καὶ τοῦτο, οὐ λόγον μόνον ἔστιν ἀκούειν, ἀλλὰ καὶ ὁ προλαβὼν ἅπας χρόνος πάρεστιν ἐνταῦθα, τὰς πίστεις εἰς μέσον ἄγων· ἐν ᾧ πολλάκις παράλιαι μὲν ἐκεῖναι τόσαι πόλεις τῶν καθ' ἡμᾶς, αἱ μὲν μακρὰν αἱ δὲ καὶ ἔγγιστα ταύτῃ εὐδαιμονοῦσαι, ἠλλάξαντο τὰ τῆς τύχης καὶ κακῶς ἀπηλλάγησαν τῶν πρὸς τὴν θάλασσαν συνθηκῶν· τῇ δὲ περιῆν ὁ βίος ἀκύμων, καὶ ἅμα προσῆν τὸ καὶ

ταῖς ἄλλαις ὡς ἀπὸ ναυαγίων εἰς λιμένα γίγνεσθαι· ἀλλὰ τοῦτο μὲν ἐκ τοῦ παρήκοντος οὕτως εἰσήχθη· ὅπερ δὲ ἀρτίως ὁ λόγος ἐσπούδαζεν, ὅτι θαλάττῃ μὲν μὴ μάλατοι θαρρεῖν ἐπιγνοῦσα, διὰ τὸ κρυψίνουν ὡς τὰ πολλὰ καὶ ἀφανὲς τῶν ἀπ' αὐτῆς ἐπιχειρήσεων, ἐν ἀσφαλεῖ τῆς γῆς ἡ πόλις ὑποχωρεῖ· ὥσπερ δέ τις ἐφ' ἑαυτῷ τὸ καθ' ἡδονὴν ῥᾴδιον ἔχον ἀνύειν ἢ μή, τὴν θάλασσαν ἐκ τοῦ προχείρου δαψιλῶς ἅττα πρὸς χρείαν ὑπηρετοῦσαν ἔχει· καὶ πάρεστιν ἐνταῦθα τὰ ἐκείνης ἄφθονα τρυφᾶν οὐδὲν ἧττον ἢ ταῖς παροικούσαις τῶν πόλεων. Καὶ οὔπω προσέθηκα τὴν ἐκ τῆς πόλεως ταύτης φέρουσαν θάλατταν· διειδὲς μὲν ὕδωρ ὀφθαλμοῖς χρήσασθαι, ἡδὺ δὲ προσενεγκεῖν καὶ ἅμα ἀφορμὴν τοῖς σώμασιν ὑγιαίνειν, ὡς οὐκ οἶδ' εἴ τι τῶν ἁπάντων ἔστιν εἰσφέρειν, θεῖον οὕτω καλὸν, εὐπόριστον καὶ πρόχειρον ἰατρεῖον· καὶ μὴν ἔτι μῆκος, ὅσον τῶν ἄλλων οὐδὲ μιᾶς ἑτέρας λίμνης ἱκανὸν παραδεῖναι, ὡς τοῖς ἀκριβῶς εἰδόσιν ἀναγκαῖον θαρρεῖν· καὶ πρόσεστι παντοίων ὄψων θησαυρὸς, τοῦτο μὲν εἰς ἀνάγκης χρείαν, τοῦτο δὲ εἰς τρυφὴν ὑπηρετῶν τῇ βουλήσει· οὐ μόνον δὲ ἀλλὰ καὶ τὰ ἐκ ποταμῶν ἔγγιστα παραρρεῖ, ὥστε ἐξεῖναι, καὶ εἰ μὴ φίλα πρὸς τὴν θάλατταν ᾖ, αὐτὴν ἐφ' ἑαυτῆς ἔχειν τὴν πόλιν, καὶ τοῖς οἰκείοις ἀνενδεῶς χρῆσθαι· ὅση δὲ ἄλλως ἡ ῥαστώνη ταῖς ὄψεσιν ἐφίσταται τρυφᾶν, ἐξ αὐτῆς πόλεως καθορῶντι τὴν λίμνην ἐπειγομένην, καὶ ποῖ μὲν τῶν ὑποκειμένων ἀπολαύουσαν πεδίων, ποῖ δὲ συνεχομένην ταῖς δυσχωρίαις καὶ εἴκουσαν, εἰ καὶ τέως ἀντεῖχε τῆς ἐλευθερίας ἐφ' ἱκανὸν ἀντιποιουμένη· καί σοι οὐδ' ἡ ἐφ' ἑκάτερα ταύτης μετὰ τῶν ὀρῶν συμπλοκὴ δόξειεν ἂν ἄχαρι, οὔθ' ὡς ἂν ἔτυχε συμβαίνειν, ἀλλ' οἷον ἐναρμονίως, καὶ ὁμαλῶς, καὶ σκοπὸν εἶναι ταύτην, ὥσπερ ἀποχαρακοῦσθαι καὶ ἐγκλείεσθαι τῇ πόλει· οὐκ οἶδ' εἴτε χάριτος ἀσχολίαν καὶ τρυφῆς ὁρᾶν τε καὶ χρῆσθαι, ὅπῃ ἂν δοκῇ, καθάπερ ἀμέλει τὰ χειροποίητα σπουδάσματα, εἴτε θαλάττης εἰκόνα δοθεῖσαν τῇ πό-

Digitized by Google

λει· καὶ γὰρ δὴ καὶ πρόεισιν εἰς μήκιστον, φεύγουσα τὸν θεατήν, ἀφορμὴν ἐρωτικοῦ πάθους· οὐ γὰρ ὀλίγον δέος μή που βασκήνασα ἡ γείτων ἐλλοχήσει θάλασσα καὶ ὑφέληται δόλῳ· ἀλλ' ἀσφαλῶς τε ἴεται, καὶ διὰ πολλοῦ πομπεύει τὰ ἑαυτῆς ἐπιδεικνῦσα, ἐγγὺς ὅτι μάλιστα ταύτῃ· καὶ διαγενομένη τῶν ἐκεῖθεν ἐπιβουλῶν, ἔπειτα μέμνηται τῶν πρὸς τὴν πόλιν συνθηκῶν, καὶ ἀσμένως ἐπανάγουσα ἑαυτῆς γίνεται. Ἀλλὰ ταῦτα μὲν ἅλις ἂν ἴσως ὁ λόγος ἔχει· ἃ δὲ κατ' ἤπειρον, πολλὴ μὲν ἡ χάρις, πεδιάδες τόσαι πρὸς τὴν πόλιν πάντοθεν ἀπαντῶσαι καὶ ἀλλήλαις σὺν ὥρᾳ καὶ τῇ πόλει συμφυόμεναι· πολλὴ δὲ ὄνησις, τὸ ἀπ' αὐτῶν γόνιμον, ὡς ἔρρωται (1) παντοίαν φοράν· οὐ γάρ ἐστιν ἐφ' ὅτῳ μᾶλλον φέρειν πέφυκεν, ἀλλὰ τοῦτό γε δὴ πάντων κομιδῇ δυσχερέστατον συνιδεῖν, ὅποι τῶν γινομένων ἑαυτῆς ἡ πόλις ἥττηται· ταῖς μὲν γὰρ ἄλλαις οὐ πάντα ἀρκεῖ τὸ φιλότιμον, ἀλλ' ἔστιν οὗ τῶν ὄντων ἐλλείπει· καὶ τοῦτ' ἔστιν εὖ πράττειν, μὴ τῶν ἀναγκαίων ἐλλείπειν· ἐνταῦθα δὲ ὁμοῦ μὲν ὅσα τε ἀνάγκη παρεῖναι, ὁμοῦ δὲ καὶ ὅσα ποικίλλεται τρυφὴ πάντων ἀπολαύειν ἄφθονον ἡ γῆ ταμεῖον. καὶ μόνῃ ταύτῃ σχεδὸν τῇ πόλει ἔξεστιν ἀπόνως τρυφᾶν· δαψιλεῖς μὲν αἱ τῶν παντοίων καρπῶν ἀναδόσεις· ἄμπελοι δὲ θαυμαστόν γέ τοι τὸ χρῆμα, πάρεστιν ὁρᾶν τὸ πλῆθός τε καὶ τὴν γινομένην ἀρετήν· καὶ οὔπω προσέθηκα τὰ ἐκ φυτῶν ὡραῖα, ὧν εἰ παρήσω τὸ πλῆθος, τοσαύτη γε μὴν ἡ φιλοκαλία καὶ τὸ περὶ ταῦτα τῆς φύσεως εὐμήχανον, ὡς καὶ ἀποφοιτᾶν πόρρω τῆς ἐνεγκούσης, εἰς ὅσον ἂν ἐξικνεῖσθαι δέδοται, ὥσπερ ἃ εἴωθεν ἐξ ἀλλοδαπῶν περιοδεύειν τεράστια φύσεως· ἤδη δέ τισιν ἐσπουδάσθη, καὶ τὴν οἰκείαν ἐκ τῆς ἐνταῦθα εὐκαρπίας εὐεργετῆσαι καὶ ἀναγκάσαι πράττειν εὖ, τῆς ἐντεῦθεν βλάστης ἀφορμὴν ἐνθεῖσι δημιουργεῖν παραπλήσια. Καὶ

(1) Ἐν τῇ ὤᾳ γρ. πρὸς παντοίαν.

ταῦτα μὲν μέτρια τῶν ὄντων ἐκ τῶν ἔξωθέν ἐστιν εἰσφέρειν τῇ πόλει· ὁ δ' οὖν οἰκεῖος αὐτῇ στέφανος καὶ ὁ διὰ πάντων, οὐκ οἶδ' εἴτε τελευταῖος εἴτε πρῶτος, νικᾷ λέγειν, τῆς εὐδαιμονίας ὅρος ὄντως ἀσάλευτος· τίς ἂν ἰδὼν οὐκ ἀγασθείη τείχη ταῦτα περὶ αὐτὴν τοσοῦτον ἔχοντα τὸ ἀπὸ τῆς τέχνης θάρρος, ὡς μηδὲν εἶναι πρᾶγμα παντοίαν πρὸς αὐτὰ μηχανημάτων φιλονεικίαν, ἀλλ' ἀνόνητον ἄλλως κατὰ τῶν ἀδυνάτων διατριβήν. Σχῆμα μὲν δὴ τῇ πόλει κυκλικὸν τῶν ὄντων τὸ πολυχώρητον περιφρονεῖ δὲ πᾶσαν ἀνισότητα παρακειμένην καὶ ἀποσεμνύνεται συνάπτειν, οἷα δὴ κλέπτουσιν αἱ πολλαὶ τὰς δυσχωρίας καὶ τὸ ἐρυμνὸν ἐπίτηδες σοφίζονται· φιλανθρώπως δὲ ἔχουσα καὶ ὁμαλῶς κεχυμένη ἑαυτῇ πιστεύει καὶ τοῖς ἔξωθεν περιβλήμασιν, οὕτω τοι καλῶς ἠσκημένοις, ὡς ἡδονήν τε ἅμα εἶναι καὶ θαῦμα προσβλέπειν προμήθειαν ἀκλόνητον, κάλλος ἄμαχον ὅσον, δεσμὸν εὐπρεπῆ· οἷα μὲν γὰρ ἡ τῆς ὅλης δημιουργίας ἡρμοσμένης τῆς ὕλης, ἀπαθὴς ἀνάγκη, οἷα δὲ τὰ ἐν μέσῳ πυργώματα, τοῦτο μὲν εἰς ὕψος ἐπείγεται, ταῖς ἕδραις θαρροῦντα τοῦτο δὲ κάτωθεν προεξίστανται τῆς συνεχείας τοῦ παντὸς συνασπισμοῦ, καὶ ἀπαντῶσι τοῖς ἐναντίοις ἄπονοι καὶ ἀκίνητοι πρόμαχοι· τὸ δὲ πρὸς ἄλληλα τούτων φιλικὸν καὶ μὴ προσολίγον ἐθέλειν ἀφίστασθαι, χορείαν σοι τινὰ ταύτην ἂν δόξῃ περιελίττειν, εὐαρμόνιον μὲν καὶ ἡδίστην ἐντὸς τῇ πόλει τρυφᾶν, ἔνοπλον δὲ εἴ τις ἔξωθεν ἐναντίος προσπελάζει καὶ ἀκοινώνητον συγγενέσθαι. Οὕτω δὲ περὶ ταῦτα μεγαλοψύχως ἡ πόλις ἔχει, ὥστε σοι καὶ ἕτερον μικρῷ πρόσθεν περίβολον ἵστησιν· ὃ δὴ κἂν ἑτέραις ἴσως ἤρκεσε μόνον, προσλαβὸν καί τινα τοπικὴν δυσχέρειαν σύμμαχον, οἷα δὴ τὰ πολλὰ μηχανᾶσθαι εἰώθασι· τῇ δὲ οὐδ' οὕτως ἀπέχρησεν ἡ περὶ τὸ ἀσφαλὲς περιουσία, οὐ μὴν οὐδ' ἐνέλειψεν εἰς τοῦτο καινοτομεῖν· ἀλλ' ἔτι σοι πρὸ τούτου τάφρος ὑποτείνει βαθεῖα, ἰλύος πλέως, ἣν σοφιζομένη τὴν αἴσθησιν ὑποκρύπτει καὶ θησαυρίζει τοῖς ἀπροό-

πτως ἐμπίπτουσιν. Ἀλλὰ τί ταῦθ' ὁ λόγος ἔξωθεν ἔτι τῆς πόλεως διατρίβει καὶ οὐκ εἰσχωρεῖ; Οἷα δὴ παραχρῆμα ταῦτα πάντοθεν προσβάλλει θαυμάζειν, μῆκος τοσοῦτον ὅσον ταῖς πρώταις τῶν πόλεων ἀρκεῖν, τῷ συνεχεῖ τῶν ἐπικειμένων οἰκοδομημάτων ἐνδεέστερον ἔχειν ἑαυτοῦ δοκοῦν, ὧν τὰ πλείω καὶ πρὸς τὸν ἀέρα φιλονεικεῖ καὶ τὴν περιουσίαν (1) τῆς τέχνης ἐπίδειξιν ἐκ μετεώρου ποιεῖται, περιττῶς ἐσχημένα! ἀλλὰ μὴν καὶ βαλανείων ἄφθονος ἀπόλαυσις, καὶ πρόσεστιν ἡ χάρις προστιθεῖσα τῇ χρείᾳ τὸ τρυφᾶν· ἃ δὲ τῆς κρείττονος ὄντως πολιτείας ἐνταῦθα πρόσεστιν, ᾗ που, πολὺς μὲν ὁ κόσμος, μείζων δὲ ἡ ὄνησις· ταῦτα δὴ ταῦτα λέγω τὰ τῶν καμνόντων ἐν νόσοις μετὰ τῆς πενίας κοινὰ καταγώγια, ὧν οὐ μᾶλλον τὸ κάλλος τῶν οἰκοδομημάτων ἔστι θαυμάζειν, ἢ τὴν ὁμολογίαν τῆς φυσικῆς ἀσθενείας αἰδεῖσθαι καὶ τὴν συναίσθησιν, καὶ τὴν κατ' ἄμφω τοῦ γένους φιλανθρωπίαν, τήν τε ἐπὶ τῇ νόσῳ παρὰ τῆς τέχνης ἐπικουρίαν καὶ τὴν τῆς πενίας παραμυθίαν, καὶ ταύτην δίχα νενεμημένην τοῖς τε ὑπὸ τῆς ἱερᾶς νόσου πάντα τὸν βίον ἑαυτῶν ἀπογνοῦσι, καὶ τὸ μόνον κοινὸν ἰατρεῖον τῆς φυσικῆς ἡμῶν οὐκ οἶδ' εἴτε ἀσθενείας εἴτε κουφότητος χρὴ λέγειν, ἀπολέσασι τὰς ἐλπίδας, καὶ τοῖς μετ' αὐτῶν ἔτι σὺν ἀπορίᾳ κάμνουσι, τῶν τε ξένων καὶ ὅστις ἐγχώριος· κατ' ἀμφότερα γὰρ ἡ βασιλικὴ φιλανθρωπία τὸν οἶκτον μερίζει, καὶ νικᾷ τῇ μεγαλοψυχίᾳ τὴν χρείαν, τά τε ἄλλα τιμῶσα τὴν πόλιν τοῖς γιγνομένοις καὶ ἔτι ὑπόμνησιν ἑαυτῶν εἶναι, καὶ μηδὲν πλέον τῆς σωματικῆς ταπεινώσεως φρονεῖν. Τὰ δὲ δὴ σεμνὰ ταῦτα τοῦ κάλλους ἀγάλματα, αἱ περιφανεῖς στῆλαι τῆς καθ' ἡμᾶς φιλοσοφίας, οἱ ταύτης καρποί, τὰ λαμπρὰ καὶ φιλότιμα τέλη, τὰ ἱερὰ φροντιστήρια τῶν ἑλομένων τῆς ὕλης ἀναχωρεῖν καὶ μόνῳ σχολάζειν θεῷ, τίνος ἂν ἑτέρας εἴη πόλεως

(1) Ἐν τῇ φα γρ. εὐπορίαν.

Digitized by Google

τοσαῦτα ἢ οὕτως ἔχοντα παραθεῖναι; τοῦτο μὲν ἀνδρῶν, τοῦτο δὲ καὶ τῆς ἑτέρας μερίδος, μεγαλοψύχως τὴν αὐτὴν ἀνελομένων σπουδὴν, ὧν τὸ περὶ τὴν αἵρεσιν φιλόπονον, καὶ ὅση τις ἡ περὶ αὐτὴν, τοῖς μὲν ἁπαλοῖς ἔτι καὶ τῶν καιρῶν ἐνδεῶς ἔχουσιν ἡ παρασκευὴ, τοῖς δὲ τῶν χρόνων ἀπολαύσασιν ἡ τελείωσις· μεγάλη μὲν ἡ τῆς δόξης αὕτη προσθήκη τῇ πόλει καὶ μείζων ἴσως τῶν ὄντων· οὐ μὴν ἀλλ' οὐκ ἐμὸν ταῦτα προφέρειν καὶ ἱστοροῦντα διατρίβειν· ὡς ἐγὼ δέδοικα μὲν σφόδρα ἧττον ἔχων, ἢ ὡς τῶν ὄντων ἐγγὺς γενέσθαι, αἰσχύνομαι δὲ γέλωτα ὀφλῆσαι τοῖς συνεσομένοις, οὕτως ἔχων, ἔπειτα τοῖς τοιούτοις ἐπιχειρῶν προσάγειν τὸν λόγον· ὅτι δὲ καὶ πλῆθος ὅσον οὐκ ἄλλῃ τῶν τε οὕτω βιοῦν ᾑρημένων καὶ αὐτῶν δὴ τῶν θείων οἴκων, ἐν οἷς ἡ μεγαλόφρων αἵρεσις αὕτη φιλοσοφεῖται, καὶ κάλλος τῶν πλειόνων οἷον ἀμήχανον ἐρεῖν, πολλή τε τρυφὴ τοῖς ὀφθαλμοῖς ὁρᾷν, καὶ τῷ λόγῳ πάντως περὶ ταῦτ' ἔχειν ἀκίνδυνον· αὐτίκα πολλὴ μὲν ἡ περὶ τοὺς θείους νεὼς εὐμήχανος παρὰ τῆς δημιουργίας ἀσφάλεια, πολλὴ δὲ ἡ ἐπανθοῦσα χάρις· ὄροφος μὲν ἄνωθεν ἁβρῶς ἠσκημένος, χρυσοῦ τε αὐγαῖς καὶ ταῖς ἐκ βαφῶν ἄνθεσι, τὴν πᾶσαν ποικιλίαν ἐνταῦθα δαπανώσης τῆς τέχνης· ταῦτα δ' ἐπιπολὺ κάτεισιν ἐφ' ἑκάτερα· διαδέχεται δὲ ποικίλης λίθου διαύγεια, πρὸς τὴν ἄνω χάριν ἐπειγομένη τῇ παντοίᾳ τῆς χρόας ἑτερότητι, συνεργούσης τῆς τέχνης καὶ σοφιζομένης τὴν ἀναλογίαν τῆς ἁρμονίας· τὸ δ' αὐτὸ κάτωθεν καὶ τὸ ἔδαφος ταῖς αὐταῖς ποικιλίαις ὑφαίνεται· ἔδει γὰρ εἶναι πάντα τοῖς ἄνω τὰ ἐντεῦθεν ἐφάμιλλα· στοαὶ δὲ ὑπαλλάττουσι, ταῖς ὑφισταμέναις κίοσιν ἔχουσαι τὸ θαρρεῖν, καὶ προαρπάζειν φιλονεικοῦσαι τὴν ἕδραν, τὴν ἐντυγχάνουσαν ἁπάντων ὄψιν· κίονές τε ἀνατείνουσιν ἐν μέσῳ, αἱ μὲν τὸν ὄγκον αἱ δὲ τὴν ἔνδειαν παρεχόμεναι θαυμάζειν, τὸ μὲν φυσικῆς περιουσίας, τὸ δὲ τεχνικῆς οἰκονομίας ἐπίδειξιν· κορυφαὶ τούτων καὶ βάσεις μυρίαν ὑπέχουσαι τὴν ἀπὸ τῆς τέχνης τομήν·

καὶ ὁ διὰ πλοῦτον κάλλους πάντα τυραννούμενος χρυσὸς, κἀνταῦθα ὠθούμενος, πάντα φαιδρὰ, πάντα ἀλλήλοις ἀναλογεῖ. Καὶ οὔπω προσέθηκα θείων εἰκόνων λαμπρότητας, κἀνταῦθα τῶν πολυτελῶν λίθων τιμίαν ὄντως τὴν χρείαν, καὶ τὸν χρυσὸν αὖθις εἰς κόσμον βιαζόμενον· καὶ σεπτῶν ἀναθημάτων εὐσέβειαν, πολυτάλαντα σκεύη, καὶ βίβλων ἱερῶν θησαυρούς. Ἃ δὲ ἐξιόντι τοῦ νεὼ παραχρῆμα ἅπαντα, ἥ πού πολλὴ χάρις, ὁρᾷν ἔνθεν μὲν λειμῶνας κεχυμένους, ἔνθεν δὲ φυτῶν εὐκαρπίαν τε ὁμοῦ καὶ πολυκαρπίαν, καὶ ἔτι τὴν ἐνίων ἀγονίαν ἐνταῦθα εἰσφέρουσαν· καὶ γὰρ ἄκαρπον μὲν ἀλλ' ἰθυτενὲς ἡ κυπάριττος καὶ εἰς οὐρανοὺς ἀναχωροῦν, ἐμοὶ δοκεῖν ἀτεχνῶς ὑποδεικνύει τοῖς ἐκεῖ φιλοσοφοῦσιν, ὅποι δεῖ τρέχειν καὶ ἀνατείνεσθαι, μετὰ τῆς ἀνόδου καταβραχὺ τὰ περιττὰ τῆς ὕλης ἀποτιθεμένους καὶ στενουμένους πρὸς τὴν ἀνάβασιν. Πάρεστι δὲ καὶ ὑδάτων θαυμάζειν ἐπιρροίας, ὅσας τε δαψιλῶς ἡ γῆ χορηγεῖ, καὶ ὅσας ἐπὶ τῇ φύσει μηχανᾶται τέχνη, τὰς ἀναδόσεις ἐκ μετεώρου σοφιζομένη. Καὶ σιγῆσαί μοι τὰ πλείω δοκῶ, ὅσα τοῖς ἐνοικοῦσιν ἐγγίνεται τῆς φυσικῆς ἀσθενείας ἀναψυχὴ, καὶ τῷ κατὰ τὴν ἔρεσιν ἀλόγῳ τῆς ψυχῆς ἐνδίδωσι τρυφῇ σχολάζειν καθαρωτέρᾳ, τοῦ λογισμοῦ κάμνοντος καὶ προσβραχὺ τῶν πόνων μεθιεμένου. Καὶ ταῦτα μὲν μέτρια πάνυ τῶν ὑπαρχόντων· παρῆκα δὲ τῶν ἄλλων ναῶν πλήθη καὶ κόσμους, οἳ διὰ πάσης τῆς πόλεως ἵστανται, κάλλους περιουσία, ὑπόμνησις ἀρετῆς, τῆς κοινῆς εὐσεβείας ἄρραγεῖς σύνδεσμοι, ὧν εἴ μοι βουλομένῳ σχολὴ προσῆν ἕνα τῶν πάντων τῷ λόγῳ προθεῖναι σπουδῆς ὑπόθεσιν, καὶ εἰ βούλει τοῦτον δὴ τὸν ἐπὶ τῇ κλήσει φρονοῦντα τοῦ γενναίου τὴν ἄθλησιν Τρύφωνος, ὅπως μὲν μεγέθους, ὅπως δὲ ὥρας ἔχει, μέγιστον ἔργον ἂν ἦν διαγενέσθαι καὶ τῶν ὄντων μὴ πάνυ τοι ἐνδεῶς ἀνῦσαι. Καί τοι τί τοῦτο παρελθεῖν ὁ λόγος ἐπείγεται; τέρας ἡδονῇ σύμμικτον καὶ ἅμα δόξης ἀφορμὴν τῇ πόλει, οὐκ οἶδ' ὡς εἴ τι τῶν ἄλλων, ὅπως

ἔτους ἑκάστου τῷ καιρῷ τῆς μνήμης, ἐκ τῶν ἄνω λειμώνων ὁ μάρτυς μετὰ τῶν ἀνθέων ἐνταῦθα γίνεται, καὶ προβάλλεται θαυμάζειν αὐτόματα ὡραῖα, λειμώνων ἀερίας, μᾶλλον δὲ ἄνευ λειμώνων ἄνθη, ἄνευ ῥίζης καρπούς· καὶ τοῦτο δεῖγμα μὲν τῆς περὶ τὴν πόλιν σπουδῆς τοῦ μάρτυρος, δεῖγμα δὲ εὐσεβείας αὐτῷ, δι' ἣν ἡ σπουδή· τοῖς μὲν γὰρ ἐνταῦθα τὴν τῶν ἔργων ἐπίδειξιν ποιουμένοις, ἔνθα ἡ πατρίς, ἡ χρονία διατριβή, ἡ τὸ τελευταῖον τοῦτο, τοῦ μακαρίου τέλους ἐπιτυχία πρόσεστιν ἕλκουσα, κἂν ἀνάγκην εἶναι τῇ φιλοτιμίᾳ φαίη τις τὴν παλαιὰν κοινωνίαν, κἂν ἀντίδοσιν ταῦτα τῆς ἡγησαμένης τύχης τῇ μεγαλοψυχίᾳ νικῶσαν· ὅταν δὲ πάντα ἀπῇ, καθάπερ ἀμέλει νῦν ἔχει τῷ μάρτυρι καὶ τῇ πόλει, τί τις ἂν λέγοι ἢ ὅτι χάριτος εἶναι μόνον, καὶ χάριτος τῇ εὐσεβείᾳ πάντως προσμαρτυρούσης; Ἀλλ' ἐπειδήπερ εὐσεβείας ἐμνήσθην, τίς οὐκ οἶδε καὶ τῶν πάντα ἀμαθῶς ἐχόντων, ὅτι τοσοῦτον περίεστιν ἐνταῦθα τῇ πόλει φρονεῖν, ὡς ἐντεῦθεν οὖσαν τοῖς ἄλλοις ἅπασι τὴν πηγὴν τῶν τῆς ἀληθείας δογμάτων, καὶ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ὅπως ἄρα ἔχει περὶ τῶν θείων ὀρθῶς νομίζειν; καὶ πάρεστιν ἡ δεῖξις ἐγγὺς αὕτη, ὅτι πρῶτος συνασπισμὸς ἐπὶ γῆς κατὰ τῶν ἀποστατῶν τοῦ Χριστοῦ, πρώτη παράταξις ἀληθείας κατὰ τῶν τοῦ ψεύδους προμάχων, ἐνταῦθα συνέστη, καὶ τὸ ἀλλότριον ἅπαν καὶ δύσνουν ἐξέτεμε τῇ μαχαίρᾳ τοῦ πνεύματος· τῆς γὰρ Ἀρείου δυσσεβείας τὸ θράσος ἀπ' Αἰγύπτου μὲν τὴν ἀρχὴν, κατὰ πάσης ἐπανέστη τῆς οἰκουμένης, καὶ ὥσπερ τι νόσημα δεινὸν ὑφέρπον, περιλαβεῖν ἤδη τὸ καλὸν ἐφιλονείκει σῶμα τῆς ἐκκλησίας· ἐνταῦθα δὲ ἔστη, καὶ ἤλεγκται τῇ πόλει, ἧττον ἔχον ἢ περιγενέσθαι καὶ πάντα ἄρδην ἀνατρέψαι τὰ καλῶς κείμενα· ὁ γὰρ δὴ μέγας ἐκεῖνος τῆς εὐσεβείας, οὐκ οἶδα εἴτε διδάσκαλος εἴτε ὑπηρέτης χρὴ λέγειν, ὁ βασιλεύσας πρῶτος μετὰ Χριστοῦ, ἔγνωκέ τινα συμμαχίαν καταστῆσαι ταῖς αὐτὸς αὑτοῦ πράξεσι, καὶ πάντοθεν εἰς ἓν ἀγαγὼν τοὺς τοῦ

Digitized by Google

θείου πνεύματος ὑποφήτας, μίαν δὴ ταύτην ἀγωνίαν ἀναγκαίαν εἰς μέσον προθεῖναι, τῇ τε ἐκκλησίᾳ τὴν ἀσφάλειαν ἀποδοῦναι τῆς περὶ θεοῦ δόξης, καὶ τὸ ἐπίβουλον ἅπαν καὶ νόθον ἐπισχεῖν τε καὶ ἀποθέσθαι· μόνην δὲ ἀρκοῦσαν τῷ σκοπῷ καὶ τῇ χρείᾳ τήν δε τὴν πόλιν ᾠήθη, καὶ μόνην ἀξίαν χωρῆσαι τόν τε ὄγκον τῆς παρούσης σπουδῆς καὶ τῆς ἐσομένης ἐντεῦθεν τὸν ἑξῆς πάντα χρόνον ἀγαθῆς τύχης· καὶ οὐκ ἴσχυσαν ἀνθελέσθαι τὴν κρίσιν τόσαι μὲν ἐπὶ τῆς γῆς πόλεις, τόσαι δὲ ἐπ᾽ αὐτῆς μάλιστα τῆς θαλάττης τῆς τῶν Ρωμαίων ἡγεμονίας, τῷ τῆς οἰκουμένης σχεδὸν μήκει τηνικαῦτα συμμετρουμένης· καὶ οὐκ ἔγνω μὲν οὕτω περὶ ταύτης μεγαλοψύχως, οὐκ ἐπέθηκε δὲ παραχρῆμα τὸ τέλος, ἀλλ᾽ εὐθὺς πάντα ἠρευνᾶτο καὶ πάντα εἰσέφερε καὶ συνετέλει τῇ πόλει τὸν καλὸν τοῦτον ἔρανον. Ἐν ἐκείνοις τοίνυν τοῖς χρόνοις ἐπεστάτει μὲν τῆς οἰκουμένης ἡ πόλις καὶ θειοτέραν ὄντως ἐπιστασίαν, προσεῖχον δὲ πᾶσαι καὶ ἅμα ἔπεμπον εὐσεβείας συνθήματα δέχεσθαι· ἐπεὶ δὲ ὁ Φαραὼ τὸν ἄξιον ὄλεθρον ὑπέστη τοῦ θράσους, καὶ ἡ ἀκρότομος ἐρράγη καὶ ἀνέδωκεν ἀφθόνους τὰς τῆς ἀληθείας ῥοάς, καὶ ἡ κιβωτὸς οὐκέτι συνέκρυψε τὰς πλάκας, ἀλλ᾽ ἠνοίγη καὶ προέθετο παρρησίᾳ τοὺς θείους νόμους, καὶ ὁ ταμίας τῆς ἁρμονίας ὑπέκρουσεν ἀρχὴν ἐμμελοῦς συμφωνίας, τηνικαῦτα ἦν ὁμοῦ πάντα χρήματα, πρόχειρος μὲν ἀπόλαυσις τῶν ἐντεῦθεν τῆς εὐσεβείας ῥευμάτων, ὅστις βούλεται χρῆσθαι, πανταχοῦ δὲ ἀνακήρυξις καὶ διάδοσις τῶν θείων τῆς ἀληθείας ὅρων· καὶ τέλος ἡ παγκόσμιος αὕτη λύρα μετὰ τὴν ἐντεῦθεν ἀφορμὴν καὶ κίνησιν πρώτην, πάντα ἁρμοζομένη καλῶς καὶ πρὸς τὴν ἀσφαλῆ περὶ θεοῦ δόξαν ἐμμελῶς συμφωνοῦσα· αὕτη τῶν ὅλων τῆς ἐκκλησίας δογμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τοῦτο τῆς καθ᾽ ἡμᾶς εὐσεβείας τὸ στήριγμα· ἐπὶ ταύταις ταῖς ὑποθέσεσιν, ἐπὶ ταύτῃ τῇ βάσει τῶν ἑξῆς ἡ δημιουργία, καὶ ἡ πρὸς τοὺς κατὰ καιροὺς ἀποστάτας τῆς ἀληθείας ἀντικατάστασις. Τοῖς μὲν οὖν

πολλοῖς ἴσως ἂν ἔδοξεν, ἐνταῦθα εἶναι τὸ πέρας τῶν ἀγαθῶν, καὶ ἀποχρώντως ἔχειν τῇ τε πόλει τῆς περὶ ταῦτα φιλοτιμίας τῶν ἔργων, καὶ τῷ λόγῳ τῆς ἱστορίας, ὡς οὐκ ἄδηλον ὂν τὴν πᾶσαν ἑξῆς ἀκολουθίαν τῆς εὐσεβείας εἶναι τῆς ἐνταῦθα τῇ πόλει δεδομένης ἀρχῆς· καὶ γὰρ ἱκανῶς ἔχειν τοῖς τε ἄλλοις οὕτω λογίζεσθαι καὶ κρίνειν, καὶ ἔτι τῷ λόγῳ νῦν πρὸς τοῖς ἄλλοις· ἀλλ' ἡ πόλις οὕτω τοι παρῆλθε τῇ μεγαλοψυχίᾳ καὶ διὰ πάντων ἐγένετο σαφῶς ἑαυτῆς ποιουμένη τε καὶ συνάπτουσα, ὥστε καὶ τὰ δεύτερα κρείττω πάσης ἐπιθεῖναι προσδοκίας, καὶ τὸ τέλος τῆς ὅλης κατὰ τῶν αἱρετικῶν ἀγωνίας καὶ μάχης ἐπαγαγεῖν. Ἐπεὶ γὰρ ἔδει καὶ τὴν τελευταίαν ταύτην ἀκολουθῆσαι ταῖς προλαβούσαις ἐξ τῶν ἱερῶν διδασκάλων σύστασιν, ποῦ μᾶλλον ἔδει ἢ ἔνθα τὸ τῆς εὐσεβείας ἀσφαλὲς ταμεῖον, ἔνθα ἡ πρώτη τῆς ὑγιαινούσης πίστεως πῆξις; καὶ μέντοι σύνοιδε τὸ δέον ὁ χρόνος καὶ προσαπέδοτο τῇ πόλει καὶ ταύτην, μᾶλλον δὲ τῇ ἐκκλησίᾳ καὶ ταύτην ἡ πόλις ἀπέδοτο (1)· καὶ ὑπέθετο μὲν τέως τὴν βάσιν καὶ τὴν ἀρχὴν τῆς ὅλης περὶ ταῦτα κινήσεως, ἐπήνεγκε δὲ τὴν ἐπὶ πᾶσι κορυφήν, καὶ τελευταίαν συνοχὴν καὶ ἀσφάλειαν· καὶ εἰ δή τις μέγα οἴεται, πάντως δὲ μέγιστον, τὴν πρώτην τῆς ἀληθείας φανέρωσιν παρέσχεν ἡ πόλις· καὶ εἴ τις τὴν ὑστέραν αὖθις σφραγῖδα καὶ τὸ διὰ πάντων κῦρος, καὶ τοῦτο μετὰ τῆς πόλεως. Τοῖς δὲ παλαιοῖς κομιδῇ καὶ τὰ νέα συμβαίνει· τῶν γὰρ δὴ προτέρων χρόνων, ὅτε καὶ τὰ Ῥωμαίων τῆς ἐπὶ θάτερα ῥοπῆς ᾔσθετο καὶ μετέβαλε τῆς πρώην εὐδαιμονίας, καὶ πόλις μὲν ἐκείνη προϊσταμένη καὶ τῶν ἄλλων τὸ κράτος ἔχουσα δουλεύειν ἔγνω τῇ τύχῃ, ἐτράπη δὲ ἡ τῆς ὅλης ἡγεμονίας παραχρῆμα εὐκληρία, κἀντεῦθεν ἐνόσει, τὰ μὲν εἴχετο, τὰ δὲ ἐκινδύνευε, τὰ δὲ προσεδοκᾶτο· πάντα ἦν ὁμοῦ τὰ δεινά· στάσεις τῶν

(1) Ἐν τῷ κώδηκι διορθοῦται· ἀπέδωκε.

οἰκείων, τῶν κύκλῳ βαρβάρων ἐπιθέσεις μετὰ τοῦ καιροῦ, καὶ ἔτι πρὸ πάντων κίνησις αὕτη δὴ μεγίστη τῶν ἐπὶ παντὸς τοῦ κόσμου πραγμάτων ἐδόκει γίγνεσθαι· καὶ ἅμα δέος οὐ βραχὺ τὴν κρείττω καὶ σεμνοτέραν τῶν ἐπὶ γῆς ἀρχὴν ἄρδην ἀνάρπαστον γενέσθαι καὶ ἀνῃρῆσθαι· ἆρ' οὐκ ἔδεισεν ἂν τηνικαῦτα περὶ τῇ δε τῇ πόλει, μήπου τι καὶ αὕτη μετὰ τῶν πραγμάτων γένηται καὶ τῆς κοινῆς σὺν ταῖς ἄλλαις αἴσθηται τύχης· ἡ δὲ οὕτω (1) γενναίως ἀντέσχε τῇ δυσχερεῖ φορᾷ, μᾶλλον δὲ ὑπερέσχε καὶ διεγένετο, ὥστε μὴ μόνον ἀντὶ ἀκροπόλεως κατέστη τοῖς ὅλοις τῶν Ῥωμαίων πράγμασιν, ἀσμένως ὑποδεξαμένη προσχωρήσασαν τὴν βασιλικὴν ἐπιστασίαν· καὶ τέως μὲν συστῆναι χαρισαμένη, τὰ δ' ἑξῆς καὶ τοῖς οἰκείοις ἐπεξελθεῖν, ἀλλὰ καὶ ἔτι προστιθεῖσα τῆς εὐποιΐας, ἐδέξατο μὲν τὴν τῆς εὐσεβείας ἕδραν, τὸ τῆς ἐκκλησίας εὔκοσμον σύνταγμα, τὴν πρώτην καὶ τελεωτέραν ὄντως τῶν καθ' ἡμᾶς πραγμάτων ἀσφάλειαν καὶ συνοχὴν, ἐδέξατο δὲ τοὺς λόγους αὐτοὺς μετὰ τῶν ἄλλων πλανωμένους καὶ κινδυνεύοντας· καί τοι πῶς ἂν ἔδειξε μᾶλλον ἡ πόλις ἑαυτῆς οὖσα, καὶ τοῦ πάλαι περὶ ταῦτα φρονήματος; ἢ πῶς ἂν μᾶλλον τοῖς τε οἰκείοις ἐνέπνευσέ τι φρονεῖν ἑαυτῶν ἄξιον, καὶ τοῖς ἐναντίοις ἐνέκοψε τὴν ἄσχετον τοῦ θράσους ὁρμὴν, ὡς οὐδὲν ὂν Ῥωμαίοις δυσχερὲς, οὐδ' οἷον ἐλλείπειν τῆς πρώτης εὐδαιμονίας, μέχρις ἂν ἡ Νικαέων ὑποδέχηται πόλις, ἢ τοιαῦτα ἑλομένη καὶ ἀνύσασα, ἐξ ὧν οὐ μόνον ἐστὶν ὅπερ ἔφην, πάντα ἀσφαλῶς ἔχεσθαι; ἀλλὰ καὶ ἔτι πρόσεστιν αὕτη δόξα, μόνων εἶναι τῶν πλέον τοῦ μετρίου καὶ αὐτάρκους ὄντων περὶ ταῦτα μεγαλοψύχως σχολάζειν· τοῦτο τὸ ἔργον ἔθραυσε μὲν τέως τὰς ἀκρατεῖς τῶν ἐχθρῶν ἐλπίδας, ἐπέσχε δὲ τὸν παντελῆ τῆς ἀρχῆς ὄλεθρον, διέσωσε δὲ ὑστέρας ἀναβιώσεως σπέρματα, καὶ γέγονεν ἡ πόλις ὥσπερ ὑπὸς τῇ

(1) Ἐν τῷ κώδηκι διορθοῦται: οὕτω τοί.

Digitized by Google

πάσῃ τῶν Ρωμαίων ἡγεμονίᾳ διαλελυμένῃ, καὶ συνῆξεν αὖθις καὶ συνεστήσατο· τοῦτο τὸ ἔργον ἐμοὶ δοκεῖν οὐχ ὁποίας βούλει τῶν ἐπὶ τῇ γείτονι θαλάσσῃ φρονουσῶν πόλεων ἀνῦσαι, ὥσπερ δῆτα παρέσχεν ἐπικαίρως εὐεργετῆσαι τὴν σωτηρίαν ἡ ἀνήμερος τὴν ἀσφάλειαν αὕτη πόλις καὶ μὴ τρυφῶσα τὰ ἐκ θαλάττης. Ἀλλ' ἐπειδὴ χρόνοις ὕστερον Ῥωμαίοις ἐπανῆλθε τὰ πράγματα, καὶ ἡ κατεσκαμμένη τέως σκηνὴ τοῦ Δαυΐδ αὖθις συνεπήγνυτο καὶ συνίστατο, καὶ ὁ νόθος καὶ ὑβριστὴς ἡττήθη καὶ ὑπεχώρησε, καὶ ἡ κιβωτὸς ἐπανῆλθε τῷ Ἰσραὴλ, καὶ ὁ χρόνος φέρων ἀπέδωκε τὸ χρέος οἷς ὤφειλε, τὸν κάλλιστον κόσμον τῆς ὅλης ἀρχῆς τὴν βασιλίδα τῶν πόλεων, τηνικαῦτα δὴ καὶ ἡ πόλις, ὥσπερ μήτηρ ἐν καιρῷ χρείας περιποιησαμένη καὶ συντηρήσασα, ἀπεδίδου μὲν τῇ φιλτάτῃ τὴν καλὴν παρακαταθήκην, τὸν κόσμον τῆς ἐκκλησίας, καὶ προσετίμησε φιλοτίμως ἐκ τῶν οἰκείων· ἐξέπεμπε δὲ τοὺς λόγους αὐτούς, ἐξέπεμπε δὲ τὰς καλὰς ἀποικίας, ἀφορμὴν βιοτῆς δευτέρας, παρέσχε δὲ τεχνῶν χρείαν ἄφθονον, τὰς μὲν συνεκπέμψασα, τὰς δὲ παρ' αὐτῇ κατασχοῦσα, ὧν ἐνταῦθα μόνον ἡ τῆς ἀσκήσεως τελειότης ὑπόμνησιν ἔρωτος ἴσως, καὶ ἅμα χάριν τῆς τῶν ὅλων εὐποιΐας εἰδέναι· οὐ μὴν ἀλλὰ καὶ τούτων συνεκπέμπει τὴν χρείαν, καὶ διὰ τῆς ἐνταῦθα μόνον καλλίστης ἱστουργικῆς κοσμεῖ τὰ βασίλεια· καὶ σιωπῆσαί γε τὰ πλείω δεῖν ᾠήθην, καὶ τῇ τῆς πόλεως χρήσασθαι μεγαλοψυχίᾳ. Πάντων δὲ οὕτω μεταδοῦσα, πάντων ὅμως εὐπορεῖ, καὶ οὐδεμιᾶς ἐνδεῖ τῶν πρώτων ἐν πόλεσιν· ἀλλὰ τὰς μὲν τῷ τῆς θέσεως ἐπικαίρῳ παρέρχεται, τὰς δὲ τῇ φύσει τῆς γῆς καὶ τῇ παντοίᾳ τοῦ ἐντεῦθεν φορᾷ, τὰς δὲ τῷ μήκει τοῦ περιβόλου, τὰς δὲ τῷ θάρρει, καὶ ἅμα πρόσεστιν ἡ χάρις, τὰς δὲ τοῖς ἐντὸς κάλλεσι, τὰς δὲ τῷ κοινωφελεῖ τῶν ἐν αὐτῇ παλαιῶν τε καὶ νέων φιλανθρώπων ἔργων· πᾶσα δὲ πᾶσι καὶ ἰδίᾳ ἑκάστῳ τινὶ καὶ πᾶσιν ὁμοῦ. Τὸ δὲ δὴ σὸν τοῦτο, κράτιστε βασιλεῦ, πῶς ἄν τις καὶ παρέλθοι

σιγῇ; μάλιστα μὲν, ὅτι σε καὶ δεσπότην καὶ κηδεμόνα πλουτεῖ, καὶ τῆς ἐκ θεοῦ τοσαύτης εὐκληρίας ἀπολαύει μετὰ τῶν ἄλλων καὶ συνίσταται καὶ προάγεται, καὶ ἔτι ταῖς ἐλπίσιν ἀεὶ τὰ κρείττω θαρρεῖ· ἔπειτα οὐδὲ τοῦτο βραχύ· πῶς γὰρ οὔ; μέγα μὲν οὖν καὶ πάντων μέγιστον τοῦ κάλλους μαρτύριον ἡ σὴ περὶ τὴν πόλιν σπουδὴ, ὁ φιλότιμος πόθος, ὁ ἐκ τῶν λόγων κόσμος ἐπὶ τοῖς ἔργοις. Καὶ ὅτι μὲν τὰ παρόντα τρυφᾷς καὶ πλείω βούλεσθαι κατάδηλος εἶ· ὅτι δὲ δύνῃ πάντα προστίθης ἑξῆς· τεκμήριον δὲ, ἐπιδημεῖς τῇ πόλει, καὶ θερμαίνει μὲν τὸν πόθον ἡ τῶν καλῶν ἔντευξις, προσφέρειν δὲ νομίζεις καὶ χαρίζεσθαι δῶρα ὁπόσα τοῖς ἐκ γειτόνων ὀχληροῖς πρόσεστι, καὶ μετάγεις ἐκεῖθεν λείαν φησὶν ὁ λόγος Μυσῶν, ἀνθρώπων μὲν οὐκ εὐαρίθμητον θεραπείαν, μυρίαν δὲ ἵππον, μυρίαν δὲ βοῦν, βοσκήματα δὲ ἄλλα πάντα τόσα καὶ τόσα, καὶ προσάγεις τῇ πόλει τῶν μεγάλων ἐλπίδων ἐχέγγυα· οὕτω νικᾷς μὲν ἀεὶ τοὺς ἐχθροὺς, νικᾷς δὲ τοὺς πρὸ σοῦ πάντας ἐπὶ τῶν πραγμάτων στάντας, νικᾷς δὲ τὸ μεῖζον σαυτὸν, ταῖς καθεκάστην ἐπιδόσεσι κρείττων φαινόμενος, μόνων δὲ τῶν καλῶν γίνῃ, κἀνταῦθα ἁλίσκῃ ὁ πάντα ἀνάλωτος, καὶ οὐδὲν οὕτως ἔχει σε τῶν πάντων, ὡς ὁ τῶν ἀγαθῶν ἔρως, ἡ περὶ τὰ κρείττω σπουδή· ἐπεὶ δὲ μετὰ τῶν ἄλλων καὶ λόγους νικᾷς, καὶ πάντες ἐπίσης καὶ μικροὶ καὶ μείζους τῶν σῶν ἀπολιμπάνονται πράξεων, τί χρὴ πλείω διατρίβειν ἐν τούτοις; μόνον εἴης ἐνταῦθα μνημονευθεὶς ὕστερος ἐπὶ πᾶσι κόσμος τῇ πόλει καὶ τῷ λόγῳ.

ΘΕΟΔΩΡΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΠΡΕΣΒΕΥΤΙΚΟΣ.

Ἆρα καὶ γραφόντων ἡμῶν ἐντεῦθεν, ὥσπερ ἐνίοτε λεγόντων αὐτόθι, καὶ οὐχ ἡμῶν μόνων, ἀλλὰ καὶ ἄλλοτ' ἄλλων καὶ πλείστων ἑκάστοθ' ὁμοῦ, ἀνέξῃ μακρὰ καὶ δίδως ἡμῖν εἰς τοῦτο σαυτὸν, ὥσπερ εἴωθας, ἕτοιμον, ἢ μὴ σχολὴν ἄγειν φήσαις τῶν περὶ σὲ τοσούτων πραγμάτων, τῆς περὶ τῶν κοινῶν διοικήσεως; ἀλλ' εἰ τοῦτ' ἄρα, πάντως ἂν ἀδικήσαις, ὦ πάντ' ἄριστε καὶ δικαιότατε· καὶ πάντων ἂν εἴην αὐτὸς ἀθλιώτατος, εἰ ὧν μέτεστιν ἅπασι, καὶ ὧν ὁτῳοῦν ὡς βούλεται καὶ ἅττα βούλεται ξυγχωρεῖς, ταῦτ' ἐμοὶ μὴ δώσεις μόνῳ, καὶ τὴν εἰς κοινὸν ἀποφράξεις ἀκοὴν δεδομένην, ἧς μάλιστα ὑπὲρ τοὺς πολλοὺς αὐτός τε ἠξίουν καὶ ἐδόκουν μετεῖναί μοι. Ὅτε τοίνυν ταῦτ' οὐκ ἔξεστιν ἐπὶ σοῦ μήτ' οἴεσθαι μήτε λέγειν, καὶ φαῦλός τις ἂν εἴη καὶ πάντων κάκιστος ὅστις ἂν περὶ σοῦ τι τοιοῦτον ἐρεῖ, χάρισαί μοι τοσοῦτο, δοῦναί τινα χρόνον ἐμοὶ βραχὺν, ὅσον ἐπακροάσασθαι τῶν παρόντων ἐξ ἀποδημίας ἡμετέρων γραμμάτων. Πάντως οὐδ' ἡμεῖς σχολὴν τελείως ἄγομεν οὐθ' οἵαν ἐπέραστον, οὐδ' ἀδολεσχεῖν ἐν τούτοις παντάπασι δόξαιμεν· ἀλλ' ἔσται τι τάχα καὶ τοιοῦτον ἐν τούτοις, ὃ λέγειν τε ἐμοὶ καὶ σοὶ παντὸς μᾶλλον ἀκούειν δίκαιον· καὶ ἀναγκαίως μὲν ἔχει λέγειν, εἰρήσεται δὲ οὐκ ἀηδῶς ἐμοί, ἀλλὰ φωνῇ πάλαι τρυφᾶν εἰθισμένῃ καὶ τὸ πρότερον ἔθος ἀνακτωμένῃ τε καὶ ποθούσῃ, καί τινα δὴ ῥαστώνην ἐπέραστον ἐμαυτῷ διδόναι καὶ χαρίζεσθαι δόξαιμ' ἄν· ὥσπερ εἴ τινα χώροις ἀνημέροις καὶ δυσ-

Digitized by Google

αντήτοις ἐπὶ πλεῖστον ὑπ' ἀνάγκης κατακαμόντα τε καὶ κρημνοβατήσαντα, πόθος ἔσχε καὶ πεδίων εὐανθῶν ἅψασθαι καὶ ὑπτίων, καὶ μετὰ γαλήνης ἐπαφεῖναι τὸν ἵππον ἐνταῦθ' εὐθυδρομῆσαί τε καὶ πομπεῦσαι· μεταβολὴ δὲ πάντων μὲν ἡ τραγῳδία φησὶν ἡδύ· ἡ δ' ἀπ' ἀγροικίας εἰς λόγους καὶ βαρβαρικῆς ξυντυχίας χρονίου καὶ ἀηδίας εἰς ἑλληνα γλῶτταν καὶ χάριν, τίς οὐκ ἂν ἐρεῖ ὡς οὐ πάντων ἥδιστον; Ἴσως δ' ἂν ἐμοὶ καὶ τοῦτ' εἴη νῦν ἐντεῦθεν ἐμαυτοῦ πειρᾶσθαι καὶ τὴν ἐγκειμένην ἐμοὶ τοῦ λέγειν ἕξιν, ἥν τινα δή τις ἂν φαίη, πάντως δ' ἔστιν ἡτισοῦν, καθορᾶν εἰ ἄρ' ὁ,τιοῦν ἧττον ἔσχε καὶ ὑπέρρευσεν ἑαυτῆς, ἐπὶ τοσοῦτον λοιπὸν ἀπόδημος γενομένη τῆς ἐν ταῖς βίβλοις ἀγωγῆς εἰθισμένης καὶ τῆς ἐντεῦθεν συμμαχίας τε καὶ ἀρδείας ἔρημος καὶ ἀπότροφος. Διὰ ταῦτα γοῦν πάντα δικαίως ἂν ἐμοὶ δοκεῖν ἀκούοις, οὕτω λεγόντων ἤδη ὡς ἄρ' ἡμῖν τὰ τῆς παρούσης πρεσβείας ἐξ ἀρχῆς ἀπήντησεν. Ἐξῄειν μὲν τῆς πόλεως αὐτόθεν, ἐντεῦθεν γὰρ εἰρήσεται, ὡς ἄρα ἐξῄειν καὶ αὐτὸς οἶσθα. Ἑσπέρα δ' ἦν τηνικαῦτα σχεδόν, ἢ ὅτι ἔγγιστα, καὶ ξυντυγχάνω περὶ τὰς πύλας αὐτόθι, ἀφ' ὧν ἦν ἀναγκαῖον ἐξιέναι, τοῖς ἐκ Τριβαλλῶν πρέσβεσιν, ὁμοῦ πᾶσιν ἑστῶσι πάλαι καὶ μένουσιν, ἐφ' ᾧ τε τιμὴν ἐμοὶ τὴν δοκοῦσαν ἀποδοῦναι καὶ προσειπεῖν ἐξιτῆρι ὡς νομίζεται, ἅμα τε παραδοῦναί μοι καὶ παρακαταθέσθαι πρὸς τὴν κοινὴν ὁδόν· καὶ ὃν ἐξ ἑαυτῶν ἔστελλον εἰς τὰ σφέτερα αὐτῶν καὶ τὸν δεσπότην, οὐ δι' ἄλλο τι τοσοῦτον ἢ τιμῆς ἕνεκεν, ὡς ἔφασαν, ἡμετέρας, ὡς ἀγγελοῦντα ἅττα δίκαια περὶ ἡμῶν· ἦν γὰρ δὴ οὐ τῶν πάνυ παρὰ σφίσιν, ἵνα μὴ λάθωμεν (1) οἵτινες ὄντες εἰς αὐτὸν ἐπιδημοῦμεν, κἀντεῦθεν τῶν εἰκότων ἀτυχήσαιμεν, οἷ' ἐνίοτε δὴ γίγνεται. Ξυγγενόμενοι δ' ἐνταῦθα τοῖς ἀνδράσι, μέτρι' ὅσα γ' ἦν, οἶμαι κατὰ καιρόν, καὶ ἀποφλήσαντες τῆς τιμῆς ταύτης χάριν,

(1) Ἐν τῷ κώδηκι σημειοῦται καί: λάθοιμεν.

Digitized by Google

ὡς λόγος ἐξῆν, ἔπειτα ἀπαλλαττόμεθα· καὶ οἱ μὲν αὖ εἰσήεσαν ἐς τῆς πόλεως εἰς τὰ εἰωθότα, ἡμῖν δὲ ἐδόκει, καταλῦσαί ποι ἔγγιστα αὐτόθι τῆς πόλεως καὶ μένειν τὴν νύκτα, ἐπειδὴ ὀψὲ ἦν οὕτω τῆς ἡμέρας· ἄλλως τε δὴ καὶ πρὸς λόγον ὡς ἂν ἐπὶ σχολῆς κατασκέψασθαι, ἣν ἡμῖν του δέῃ ἔτι πω πρὸς τὴν ὁδὸν ἐνσκευάσασθαι· εἰκὸς δὲ εἶναι καὶ δεῖν ἴσως πλείστων, ὡς ἐν ἀρχῇ συμβαίνειν εἴωθεν, ἄλλως τε καὶ μὴ κατὰ προσδοκίαν ὀψιαίτερον ἐξελθοῦσιν, ἵν' ἕωθεν πλήρεις ἅπαντ' εὐτρεπισμένοι ὧν ἂν ἦμεν χρεῖοι, καλῶς ἔπειθ' οὕτω καὶ ἀσφαλῶς εὖ μάλ' ὁδοῦ ἀπτοίμεθα. Ἐδόκει οὕτω· καὶ εἴημεν εὐθὺ τῆς ἄγχιστ' οὔσης τῶν Ἀναργύρων μονῆς. Ἐνταῦθα δὴ καθ' ὁδὸν ἰοῦσι (1), Τριβαλὸς ἐκεῖνος ἄνθρωπος ὁ τῆς ὁδοῦ κοινωνὸς ἐπειρᾶθ' ἡμῶν πυνθανόμενος ὁπόθεν ἔσται οἱ τὰ πρὸς τροφὴν καὶ ἅπασαν ἠντιναοῦν καθ' ὁδὸν ἀναγκαίαν χρείαν· πάντως δὲ τῆς χώρας ἔφασκε καὶ τῶν οἰκούντων ἐφ' ὧν ἡ ὁδός· οὕτω γὰρ δὴ καὶ παρὰ σφίσιν εἰθίσθαι πρέσβεων ἐπιδημούντων καὶ παριόντων· οὐκ ἔγωγε, ἔφην, ὦ 'γαθέ, ἀλλ' οὐχ ἡμῖν γε εἴθισται· πρέσβεσι μὲν γὰρ ἅπασιν εἰς ἅπανθ' ἡ βασιλικὴ φιλανθρωπία καὶ μεγαλειότης ἐπαρκεῖ καὶ δαψιλῶς μένουσί τε μέχρις ὅτου δέοι, καὶ ἀπιοῦσιν οἴκαδε τὰ μὲν ἔσται χάρις καὶ φιλοτίμημα βασίλειον τιμῇ τῆς πρεσβείας, τὰ δὲ προσέσται πάντως ἀναγκαῖ' εἰς πλείστας καὶ πάσας τῆς ὁδοιπορίας ἡμέρας ἐφόδια· χώρα δὲ ἅπασ' ἐφ' ἧς ἡ ὁδὸς ἡ βασιλέως, πλὴν ὧν νομίζομεν φόρων μόνων (2) ἀνεῖται, πάντων δὴ φορτικῶν καὶ δυσχερείας ἁπάσης ἐλευθέρα, καταπολαύουσα τῆς τοῦ δεσπότου φιλανθρωπίας· καὶ δὴ καὶ σὺ νῦν ἔλεγον, ἔχων κατ' ἀμφότερα ὡς εἴρηται, οἶδας γάρ, οἷς ἔχεις ἐκ βασιλέως ἐφοδίοις χρήσῃ, καὶ ἡμῖν δέ γε ἴσως ἔστιν οὗ προσχρήσῃ ὅσα γε εἰκὸς ἐν οἰκείοις οὖσι, καὶ προσέ-

(1) Σημειοῦται καί· ἰόντας.

(2) Ὁμοίως· μόνον.

σται· τὰ ἀφ' ἡμῶν εἴ πῃ ἄρα εἰς τιμήν τινος καὶ φιλοφροσύνην τοῦ ξενίου τε καὶ πομπαίου· δίκαιον γὰρ καὶ τοίνυν αὐτὸς σὺ μὴ πειρᾶσθαι τῶν ἀήθων τῇ χώρᾳ· φέρειν γὰρ οὐκ ἔχει ῥᾶστα ὁστισοῦν καὶ ἀστικὸς καὶ ἀγροῖκος, ἅττα οὐκ εἴθισται, καὶ ὃς ἂν ἄλλως τάχα πειρῷτο καὶ θρασύτερον ἂν ἴσως ἐντεῦθεν ἐκεῖνος αὐτῷ χρῷτο· οὐκ ἔπειθον λέγων, ἔδειξε γὰρ μεταβραχύ· παθὼν δέ τε νήπιος ἔγνω, φησὶν ἡ παροιμία· γιγνόμεθα γὰρ τάχιστά οἱ καταπαύειν ἔδει· κἀγὼ μὲν ᾔειν ἐς αὐτὴν μονὴν ἐνσκηνησόμενος, ἐκείνῳ δ' αὐτόθεν προστάττων τῶν ὑπηρετῶν ἑνί τε καὶ δευτέρῳ ξυνέπεσθαι καὶ ὑποδεικνύειν οἴκημά τι τῶν ἐν τῷ χωρίῳ τῶν ἄλλων ἄμεινον καταλῦσαι, ἐντειλάμενος τῷ δεσπότῃ μὴ δι' ὄχλου γενέσθαι τἀνδρὶ τὴν νύκτα ταύτην ὁτιοῦν· καὶ ἐποίουν οὕτω, καὶ ἐπανῆκον ἐμοί. Ἤδη δὲ εἰσιόντι τὴν μονὴν, θροῦς ἐκ τῆς χώρας προσβάλλει καὶ ἦν ἄπορον ὅτι ποτ' ἂν εἴη· καὶ ἅμα εὐθὺς ἀπαντῶσιν ἄνδρες ἐκεῖθεν καὶ γύναι' ἅττα κλαίοντα· ἦν δέ τι χαλεπὸν αὐτόθεν τὸ δηλούμενον, κἀγὼ πυθόμενος ἔμαθον ὅ τι ποθ' ὑπενόουν· οὐδὲ γὰρ ἐμέλλησεν ἄνθρωπος οὐδὲ προσβραχὺ δρᾶσαι τε καὶ παθεῖν ἃ προσεδόκησα· ἀλλ' ἀποβὰς τὸν ἵππον ἐπὶ τῆς οἰκίας ἧς ἔδει μένειν τὴν νύκτα, παραχρῆμ' ἀλλοιότερον ἐπειρᾶτο τῶν οἰκούντων ἢ ὡς αὐτὸς τέως καθ' ὁδὸν ἐπέτελλον καὶ παρήνουν, προστάττων μάλιστ' ἅττα οὐκ ἦν οὐδ' ὧν ἔδει, καὶ γάλα ὅ φασιν ὀρνίθων, καὶ ἅμα οὐδὲν πρᾴως οὐδ' ἀλύπως, ἀλλ' ὡς ἂν σφοδρ' ᾤετο καταπλήξειν· ὡς δὲ οὐδὲν ἀπήντα οἷ δεξιὸν ἐκεῖθεν, ἀλλ' ἀλλήλοις ἐχρῶντο παρὰ δόξαν οἵ τ' ἀκούοντες ἢ ᾤοντο τἀνδρί, κἀκεῖνος ἢ ᾤετ' αὐτοῖς ἀηδῶς τε λέγων καὶ ἀηδῶς ἀκούων, ἀνίσταται, δῆτ' εὖ μάλα αὐτόθεν αὐτίκα καὶ ἐνθορὼν ὁτῳοῦν τῷ ξυλλαχόντι καὶ δραξάμενος ἀπρὶξ ταῖν χεροῖν τῆς κεφαλῆς καὶ ἅμα ταὐτὰ παθὼν, εἷλκέ τε καὶ εἷλκετ' ἐντεινόμενος κατὰ κόρρης πὺξ παίων τε καὶ παιόμενος· οἱ δ' ὑπηρέται τ' ἀνθρώπου, εἵποντο γὰρ τρεῖς, πτήξαντες πρὸς τὸ τόλμημ' ἡσύχασαν, ἀφορῶντες

πρὸς ὅτι πλείστους καὶ σφῶν αὐτῶν πλείονας τοὺς παρεστῶτας τῶν χωριτῶν, εὖ μάλα παρεσκευασμένους, καὶ δήλους ὄντας, ἤν τις τοῦ συγγενοῦς προσάπτοιτο καὶ προσεπιτρίβοιτο, ἀμυνεῖσθαι καὶ κακῶς δρᾶν σφόδρα ἐρρωμένως. Καὶ ἐπὶ τούτοις τὰ οἴκοι γύναι' ἀπῴμωξε καὶ ὁ θροῦς ἤρθη· κἀγὼ μανθάνω τὸ γεγονὸς καὶ ξυντεινάμενος ὡς οἷόν τε τάχιστα, πέμπω τῶν ἐπιτηδείων τινάς, οἵ μοι παρείποντο καὶ παρέπεμπον ὡς ἐπ' ἐξόδῳ μέχρι καὶ ἐς τὴν μονήν, φθάσαι τε καὶ λῦσαι τὸ ξυμβὰν δύσκολον, ἅμα τε καὶ ἐπιτιμῆσαι τοῖς χωρίταις καὶ καταμειλίξασθαι τὸν ἄνδρα καὶ διδάξαι περὶ τοῦ μέλλοντος ἑξῆς μὴ δρᾶν οὕτω· συνέπεμπον δὲ καὶ τῶν μοναστῶν τοὺς ἐπὶ τῇ διοικήσει τῆς χώρας, καὶ συνέπεμπον ἐπὶ τοῖς αὐτοῖς. Καὶ δὴ καλῶς ἔσχε, καὶ ὁ Τριβαλλὸς εὐηρέστει τε αὐτίκ' ἐπὶ τούτῳ· ἀπήντα γὰρ αὐτῷ καὶ τὰ τῆς χρείας ἅπαντα τῶν μοναχῶν εὖ, καὶ νοῦν ἔσχε μάλιστα ἐντεῦθεν, καὶ τουλοιποῦ πρὸς ἅπασαν τὴν ὁδὸν χρηστὸς ἦν, καὶ ἡμῖν ἡδίστην παρεῖχε τὸ ξυμβὰν τὴν διατριβήν, ὡς ἀπέδειξε μῦν ἀντὶ λέοντος, ᾗ δή φασι, τἀνθρώπιον δεδιττομένοις αὐτὸ μὴ τολμᾶν ἑξῆς παραπλήσια. Καὶ ἐδεδίει σφόδρα καὶ προσεῖχε τὸν νοῦν, καὶ οὐκ ἔστιν ὅπη ποτ' ἐπὶ πολλῆς τῆς ὁδοῦ καὶ πολλῶν ἀνύσας ἡμερῶν ἐνεχείρησε δρᾶν ὁτιοῦν ὅμοιον οὐτωοῦν, ἀλλ' εἰσιὼν ἅπασαν οἰκίαν, ἠσπάζετό τε δεξιῶς τοὺς οἰκοῦντας, καὶ ἡδὺς ἦν μάλισθ' ἅπαντα πράγματα, ὡς ἂν οἷός (1) τ' ἦν, οὐδὲν ἄλλο λέγων ἑκάστοτ' ἢ σκίμποδος αὐτῷ μόνου δεῖν, καὶ δίφρου τινὸς ἐριζῆσαι καὶ κατακλινεῖν καὶ πυρὸς πάντως τινὸς ξυλλαχεῖν σφίσι, πρός τε τὴν ἄλλην χρείαν ὀπτᾶν τε τινα καὶ ἕψειν βρῶσιν ἀναγκαίαν, καὶ πρὸς ἀλέαν μάλιστα ὅσα εἰκὸς ἀνάγκην εἶναι τοῖς ὁδὸν μακρὰν χειμῶνος οὕτω κάμνουσιν. Οἶδας γὰρ ὡς ἔτος τουτὶ δυσχείμερον μάλιστ' εἴπερ δὴ καὶ ἄλλοτέ ποτε γέγονε, καὶ σφόδρα νιφετῶ-

(1) Διορθοῦται· οἷον.

δες, καὶ βορείοις καταιγίζον δριμύτατα πνεύμασι, καὶ τοῦθ' ὡς ἐφ' ἡμῖν γε μάλιστα τοῖς ἐν Βυζαντίῳ κατακεκλείσμεθά τε ὥσπερ ἐν χηραμοῖς τισι ταῖς οἰκίαις, καὶ μάλισθ' ὅσοις ἦν ὑπόγεω· τἆλλα γὰρ οὐκ ἀντεῖχε· καὶ ἀποκεκλείσμεθ' ὁδῶν τε πασῶν καὶ προόδων ἐπὶ πλεῖστον· δεῆσαν δ' ἔπειθ' ὅμως ἐξιέναι, προῆμεν ἐς βασιλέως πεζῇ βάδην αὐτοὶ πλείστας ἡμέρας ἐνσκηριπτόμενοι βακτηρίαις διὰ τὸν ὄλισθον, μηδαμῶς ἵπποις ὡς ἔθος χρώμενοι, ὡς ὅτι πλεῖστον τῆς χιόνος ἀνεχούσης τε καὶ ἠρμένης ὕψος, καὶ πᾶσιν ὀχήμασι καὶ τοῖς μετὰ βάρους ἐπιοῦσιν εὐενδότου καταχεχυμένης καὶ οὐκ εὐπαγῆ τὴν ἕδραν ὑπεχούσης, οὐδ' ἑστῶσαν οὐδ' ἀσφαλῆ, ἀλλ' ὥστε μάλισθ' ὑπολισθαίνειν μέχρις ἰγνύος, καὶ ξυμπίπτειν ἐνισχομένους καὶ καταπίπτειν. Καὶ μὴν καὶ τοῦτ' οἶσθα, ὡς οὔπω δὴ παντάπασιν ἐξῆλθον ἔγωγε τῆς πόλεως, καταπεπαυμένου χειμῶνος. Ἀλλὰ κατεῖχε μὲν ἐπιμήκιστον τὴν γῆν ἡ προλαβοῦσα χιών, ἄτηκτος ἔθ' ἡ πλείων, ὁ δὲ καιρὸς ἔτ' ἐπίδοξος ἦν ἐνεγκεῖν ὅμοια, καὶ μάλιστ' ἐπὶ Θρᾴκης ὁδεύειν μέλλοντες, καὶ ἐπειρώμεθ' οὕτω σφόδρα· καὶ οἶσθα γὰρ τὰ Θρᾳκῷα πνεύματα· τοῦτο τὸ δεινότατον ἦν ἡμῖν τοῦ χειμῶνος· αὐτοῖς νιφετοῖς, αὐτοῖς ὄμβροις, πάντοθεν ἐμπίπτοντα καὶ καταθλῶντα, ὥσπερ ἐξ ἀχανοῦς δή τινος καὶ τυφωνικοῦ πελάγους, τῶν ταύτῃ παμμηκίστων τε καὶ ἀπλέτων πεδιάδων καὶ παντάπασιν ἀσυνδέτων ὄρεσί τισιν, ἀμηγέ πῃ καὶ ἀτειχίστων, ἀναρρηγνύμενα καὶ σφόδρα κόπτοντ' ἐπὶ πάσης ἰοῦσιν ὁδοῦ· καὶ τοτὲ μὲν ἐξ ἀντιθέτου κατὰ πρόσωπον ἀντίχ' ἱστῶντα, μὴ πρόσω φέρειν ἄνδρας ἀεθλοφόρους ἡγεμονῆας ἠδ' ἵππους ἄγοντας· τοτὲ δ' αὐτοῖς ὀχήμασιν ἐκ πλαγίου κατασπῶντά τε καὶ καταγνῦντα. Καὶ τοίνυν προϊέναι δὴ πολλάκις ἕωθεν πειρώμενοι, ἐπειδὴ καὶ ἡπτόμεθα προϊέναι, ἢ μικρὸν προκύψαντες, καὶ μηδαμῶς ἐνίοτ' ἀντέχοντες ἐπανείημεν αὖθις ὅθεν ἐξῄειμεν, ἢ πάντως αὐτίκα κατεπαυόμεν καὶ ἀπεβαίνομεν τοὺς ἵππους, ἥν που λαβοίμεθα τάχιστα συνοικίας ἢ ἀγροῦ τινος, ἐν

τῷ μεταξὺ δὴ βραχυτάτῳ τινὶ μήκει, καὶ τῆς ὁδοῦ καὶ τοῦ χρόνου μάλιστ' ἀλλήλων ἑκάστοτ' ἀναπυνθανόμενοι, οὗ δὴ πρώτου τευξόμεθα, καὶ εἰ μάλιστ' ἔγγιστα, ὡς ἀνάγκην οὖσαν ἑκάστοτ' ἤδη καταλύειν καὶ μηκέτι πλεῖν ἢ ἔξεστι βιάζειν ἑαυτοὺς ὁδῷ πόρρω χρῆσθαι, κακῶς οὕτω δὴ χρωμένους, καὶ σπουδῇ πάσῃ καταλύοντες τοῖς οἴκοι καθειργμένοις ὑπὸ τοῦ χειμῶνος χωρίταις τε καὶ ἀγροίκοις, κοινῆς σκέπης καὶ πυρὸς ἥδιστα ξυνελαγχάνομεν, συνανακοινούμενοι καὶ συμφυρόμενοι καὶ συγκαλινδούμενοι πᾶσιν ὁμοῦ πάντες ταῖς τοῦ πυρὸς σποδιαῖς, ἅτε πρὸς κοινὴν τὴν ἀνάγκην (1) κοινῇ καὶ περικυκλούμενοι τὴν ἀλέαν, καὶ οὐδὲν πλέον ἄλλος ἄλλου ὁστισοῦν ὁτουοῦν ἀξιῶν ἀποφέρεσθαι· οὐδὲ γὰρ ἦν πρὸς ἡμῶν ἀδικεῖν οἶμαι καὶ κατατυραννεῖν ἀνθρώπια δύστηνα καὶ γραΐδια καὶ βρέφη γυμνιτεύοντα καὶ κλαυθμυρίζοντα καὶ μετὰ τῆς κοινῆς χειμαζόμενα κακῶς πάσχοντα φύσεως, τοῦ σφετέρου πυρὸς, ἀλλὰ καὶ μάλιστα χάριν ἔχειν ἀξιοῦν τῆς κοινῆς χρείας εἰς τὰ σφέτερα αὐτῶν κοινῇ συμμεταλαμβάνοντας. Καὶ ταῦτα μὲν ἀνάγκη ἦν οἷ καταπαύειν ἔδει· ἐπὶ δέ γε τῆς ὁδοῦ μάλιστ' ἦν ἀνάγκη πρὸς τὰ πνεύμαθ' ὡς ἔφην παραβαλλομένους πλεῖσθ' ὅσ' ἐνῆν ἀνέχειν ἱμάτι' ἐπὶ τοῦ σώματος ὅλου, εἴ τις καὶ μετρίως ἄρ' ἔμελλεν οἶμαι ἀντισχήσειν πρὸς τὴν κρατοῦσαν οὕτω συμφορὰν τοῦ καιροῦ· καὶ ἔγωγε πλεῖσθ' ὅσα δὴ φέρειν οἷός τ' ἦν, τηνικαῦτα εἴπερ ἄλλοτέ ποτ' ἀναδούμενος τὸ κάρα, καὶ περιδούμενος τὸ σῶμα πᾶν καὶ ὑποδούμενος, μόλις δὴ καὶ οὕτως ἀντεῖχον· πονήρως γε μὴν ἔτι οὕτω διὰ πάντων ἐνίκα καὶ δριμέως ἥπτεθ' ἡ τοῦ ψύχους ἀκμὴ καὶ προσβάλλοντα τὰ πνεύματα. Γίγνεται μὴν κἀνταῦθά τι τῷ συνοδίτῃ μοι Τριβάλλῳ μνήμης ἄξιον· τέως μὲν γὰρ ᾔει καταφρονῶν παντάπασιν, ὥς γε ἐδόκει, τῆς πονηρᾶς ἐκείνης ὥρας, ἐοικὼς ἔθει τινὶ πεποιθέναι καὶ κράτει σώ-

(1) Ἐν τῇ ὤᾳ προστίθεται· καὶ πρὸς κοινὴν τὴν χρειαν.

ματος πρὸς ἅπαν ἐργῶδες καὶ πᾶσαν ἐπήρειαν ἀτρέπτῳ τε καὶ καρτερῷ καὶ ἀλωβήτῳ, μὴ πάνυ τοι μέλον αὐτῷ ἑαυτοῦ τε καὶ τοῦ σώματος· τὴν δ' ἄρα κεφαλὴν καὶ μάλιστα προνοίας ἁπάσης, ἀτημελήτως παρεῶν, ἣν εἴ τι χαλεπὸν γίγνοιτο, πιλίδιον ἐπικείμενος ὀλίγον τὸν εἰωθότα σφίσιν ἠσκημένον τρόπον, καὶ τοῦτ' ἐπιπολῆς καὶ κατ' οὐδέτερα λυσιτελοῦν, καὶ μάλιστα τὰ τῆς κεφαλῆς ὄπισθεν ἀσκεπῆ παντάπασιν οὐκ ἐπιστέφον, ὡς δὴ τὸ λεγόμενον γυμνῇ τῇ κεφαλῇ ξυμβαίνειν μάχεσθαι· καὶ ἦν γὰρ οὕτως ἀνατεινόμενος ὡς οἷόν τε μάλιστα τὸν τράχηλον πρὸς τὴν ἐμπίπτουσαν αὐθάδειαν τοῦ καιροῦ καὶ τῶν πνευμάτων. Καὶ τό γε μὴν τουτὶ πιλίδιον μέχρι τοσούτου φέρων μέχρις ἦν ἔφιππος, διὰ τὸν νόμον ἐμοὶ δοκεῖν ἐφίπποις ὁδεύουσιν· ὡς δ' ἔδει γε ἀποβαίνειν ἀμέλει τοῦ ὀχήματος καὶ ὁπηοῦν, αὐτίκ' ἀπεωθεῖτο καταρριπτῶν ὡς ἔτυχε· καὶ ἵστατ' ἐπὶ πλεῖστον αἴθριος ὁ παλαμναῖος ἐνδεικνύμενος ἡμῖν ἀνείμων παντάπασι καὶ γυμνὸς τὴν κεφαλὴν, ὥσπερ ἀνδριὰς, ὄμβροις τε καὶ χιόσι πολλάκις καταναθιζόμενος, καὶ περιπαττόμενος ταύτην, ἤΰτε χιών, φησιν Ὅμηρος ἐπάλυνεν ἀρούρας. Κἄγωγε ἐπὶ τούτοις τἀληθὲς ἐρῶ· τὰ μὲν ἐθαύμαζον ὁρῶν τἀνθρώπων, τὰ δ' ἠχθόμην οὐκ αὐτῷ προδήλως οὕτω μου καταφρονοῦντι, ἀλλ' ἐμαυτῷ μηδὲν ὅμοιον, ἢ ὅτι ἐγγὺς δυναμένῳ· ἦν γε μὴν τοῦτο μέχρι τινὸς, πλεῖν δ' ὡς ἀληθῶς ἤ τις ἂν ᾠήθη, ἔπειθ' ὁ Διὸς κατὰ τὴν παροιμίαν ἠλέγχετο Κόρινθος εἰς προὖπτον, καὶ κακὸς κακῶς ὁ Τριβαλλὸς μετὰ τῆς σεμνότητος ἐπετρίβετο. Ἐτύχομεν γὰρ καταλύσαντες ἐν δή τινι συνοικίᾳ Ταρχανείου, οὕτω πως ὄνομα, μικρὸν πρὸ Κυψέλλων ἄστεος, τῆς ἡμέρας ἐκείνης ὡς ἀληθῶς πάνυ τοι πεπονηκότες τῷ χειμῶνι· ἕωθεν δὲ προϊέναι δέον καὶ ὁδοῦ ἅπτεσθαι, εἰωθὼς ὁ Τριβαλλὸς ταχὺς ἀπαντᾶν μάλιστα καὶ προκαλεῖσθαι τοὺς ἐμοὺς πρὶν ἀεὶ ἢ ἐνσκευάσασθαι, τέως μὲν ἠγνοεῖτο τηνικαῦθ' ὅτι δήποτε μέλλει· εἶτα πέμπει δὴ προδήλως καὶ διαμηνύεται καὶ αἰτεῖται μένειν

Digitized by Google

τῆς ἡμέρας ἐκείνης· τῆς γὰρ δὴ παραδραμούσης ἀμέλει νυκτὸς κακῶς σφόδρα σχεῖν καὶ νῦν δὴ μάλιστα κάμνειν ἔτι ὡς μηκέθ' οἷόν τ' εἶναι προχωρεῖν, ἴσως δ' οὐδὲ προχωρήσειν ἔπειθ' ὅλως ὕστερον, ἀλλ' αὐτοῦ μάλιστα δέος εἶναι τεθνήξειν, οὕτω πονήρως ἔχοντα· κἀγὼ πυθόμενος ὅτι ποτ' ἦν καὶ μαθὼν προστάττω μένειν· ἦν μέν γε οὐ τοσοῦτο ὅσον ἀνὴρ ἐκεῖνος ἐδεδίει· ἀλλ' ἤλγει μὲν ἡ κεφαλὴ πάνυ τοι πλεῖστον ἐκπολιορκηθεῖσα καὶ κατακεκρουμένη τοῖς πνεύμασι· καὶ ρευμάτων ἔφοδος καὶ βράγχος γίνεται, ἡ δ' ὑπερῴα καὶ ὁ φάρυγξ οἰδαίνει, καὶ σίτων ἔγκλεισις καὶ ποτῶν συμβαίνει· καὶ τόδε μάλιστ' ἄνθρωπος ἀργαλεώτερος ἐδόκει καὶ σφόδρ' ἐδυσχέραινεν, οὐκ ἔχων ὅτι χρῷτο. Κἀγωγ' ἐπὶ τούτοις ἐπιτίθεμαι μετὰ τοῦ καιροῦ, καὶ τῶν ὀνειδῶν ἐπεφόρουν πάνυ τοι πλείστων καὶ τῶν εἰσηγήσεων· οὕτω τοι παντάπασιν ἀσύνετος, ὦ βέλτιστ' ἔφην, ἦσθα τῶν καθ' ἡμᾶς χώρων καὶ ὡρῶν, μὴν ὅπη δήποτ' ἔχει καὶ ὅπη γίγνεται καὶ ὡς ἄν τις εὖ μάλα χρήσαιτο; καὶ ἔδει πείθεσθαι καὶ ἔδει προσέχειν, καὶ μετανοεῖν ἔδει ἢ πρὶν ῷου φίλα φρονοῦσιν ἡμῖν καὶ τὰ ἡμέτερα διδάσκουσιν ἀγνοοῦντα, ὡς ἂν εὖ τιθέναι, ἀλλὰ μὴ φρονεῖν οὕτω σφόδρα, μὴ δὲ καταφρονεῖν ἐν οἷς ἔσχατος κίνδυνος ἡμαρτηκότα· νῦν γε μὴν ὅμως ἑξῆς πείθου καὶ δὴ γνώσῃ σαφῶς ὡς ρᾷων τε ἔσῃ τῆς νῦν ταύτης συμφορᾶς, καὶ τουλοιποῦ πάντα καλῶς σαυτῷ χρήσῃ, καὶ οὐ μή ποθ' ὕστερον οὔθ' ἡμῖν μέμψῃ οὔτε σαυτῷ. Ὁ δὲ ᾔδεῖτο μὲν πάνυ· τί γὰρ οὐκ ἔμελλε μεμνημένος λόγων ἐκείνων, ὕβρεως ἐκείνης καὶ θράσους πρότερον; ὡμολόγει δ' ὅμως ἄκων καὶ συνετίθετο τὰ μέγιστ' ἀγνοῆσαι καθ' ἑαυτοῦ· ἤ μέγ' ἀδόκητον πεπονθέναι φάσκων ὄντως κακὸν, καὶ ὡς οὔ ποτ' ἂν ᾠήθη, οὐδ' ἂν εἴ τις προὔλεγε, κατεπείσθη. Τόσα καὶ τόσα πρότερον ἄρα κατατρίψας ἔστη τὸν εἰωθότα τόνδε τρόπον οὐκ ἐπὶ χώρας, οὐδ' εἰς τὰ σφέτερα αὐτοῦ μόνον· καίτοι καὶ ταύτῃ μὴ μετρίως μὴ δὲ ρᾷον ἢ ἄλλῃ πῃ χειμῶνος ἐξὸν ὥρᾳ χρῆσθαι·

Digitized by Google

ἀλλά γε μὴν καὶ ἄλλοτ' ἐπ' ἄλλοις καὶ κατὰ μηδὲν χρηστοτέροις ἐντυχεῖν εἰς τὴν δύσκολον ταύτην ὥραν, μὴ δὲ φιλανθρωπότερον ἔχουσι τοῖς ἐξ ἀλλοτρίων ἐπιδήμοις ἐπιξενούμενος· καὶ καταριθμεῖ Παίονας, Μυσούς τε καὶ Σκύθας καὶ οὐκ οἶδ' οὕς τινας ἄλλους, καὶ πόρρω Σκυθικοῦ κρύους κατὰ τὴν παροιμίαν· οἷς δὴ πλεῖστα ἐμπομπεύων καὶ κατατεινόμενος ταῖς ἐκδημίαις καὶ ὥσπερ ἐναβρυνόμενος ταῖς ἄλλοτ' ἄλλῃ ταλαιπωρίαις καὶ προστιθεὶς τὰς ἑκάστοτε χρείας μεγίστας, καὶ ὡς ἀληθῶς ψυχρῶν τῶν δε ῥηματίων ὥρας ἐκείνης ἐπαντλῶν ἡμῖν, καὶ ἀκαιρίαν ἐπὶ τῆς νόσου τοσαύτην καταφλυαρῶν ἡμῶν, δολιχεύων καὶ πλεῖστα περιϊὼν καὶ καταχειμαζόμενος, ἄλλοτ' ἄλλῃ ὡς εἴθιστο γυμνὸς, ἀνείμων, ἀπαθὴς παντάπασι καὶ πάντῃ· τελευτῶν ὅμως ἔκειθ' οὕτως ἐπὶ Θρᾴκης κάμνων οὐ τοὺς πόδας, ἀλλὰ τὴν κεφαλὴν, καὶ πεπονηκὼς δὴ καὶ φλεγμαίνων οὐκ ἰγνύος νεῦρα οὐδὲ ποδῶν ἔσχατα, ἀλλ' ὑπερῴαν αὐτὴν καὶ φάρυγγα. Καὶ ὁ μὲν οὕτω κακῶς εἶχε, γέλωτα ὀφλισκάνων οὐκ ἐφ' οἷς ἔπασχε μόνον, ἀλλὰ μάλιστ' ἐφ' οἷς ἔλεγεν· ἀνάγκη δ' ἦν ὅμως ἡμῖν οὕτω μένειν ταύτῃ τῆς ἡμέρας ἐκείνης. Καὶ τοίνυν μείναντες κατὰ χώραν ταύτην τε καὶ δευτέραν, ἐπειδὴ ῥᾷον ἄνθρωπος ἔσχε, καὶ ἅμα μεταβέβληθ' ἡμῖν ἡ ὥρα καὶ πρὸς ἀλέαν ἐνεδίδου, καὶ μὴν ἔτ' ἐπιδιδόναι καταβραχὺ πρὸς τοῦτ' ἐπίδοξος ἦν, εἰς τρίτην ἐκεῖθεν ἄραντες ὡδεύομεν αὖθις πρόσω, πλεῖσθ' ὅσα ἐνῆν περιστείλαντες τὸν κάμνοντ' εὖ μάλα πειθόμενον, καὶ περιδήσαντες καὶ καταπεπιλημένοι τὸ σῶμα πᾶν ἐκ κορυφῆς αὐτῆς εἰς πόδας, τῇ μὲν ἐρίοις τε καὶ κωδίοις, τῇ δὲ τοῖς ἐκ λίνων ὑφάσμασι πάνυ τοι πλείστοις συντιθέντες ὡς εἶχε χρῆσθαι καὶ φέρειν. Ἐκεῖθεν δὲ ἵνα μὴ διατρίβω καθ' ἕκαστα τἠνάλλως, ἐφ' ἡμερῶν τινων, οὐκ οἶδ' ὅσων, κατατείναντες γιγνόμεθα ἐς τὴν μεγίστην τε καὶ καλλίστην πόλιν τῶν κατὰ δύσιν βασιλέως αὐτοῦ Θεσσαλονίκην, ἤδη πρότερον ἀκουσθὲν τοῖς ταύτην οἰκοῦσι, φίλοις οὖσιν ἐκ πολλοῦ, κατὰ χρείαν

ἥντινα δὴ καὶ πρεσβείας πόρρωθεν ἐπιδημεῖν ἡμᾶς αὐτοῖς, ἐπ
δεδημηκότες σφόδρα ποθοῦντες σφόδρα ποθοῦσιν· ἡμεῖς γε γ
δὴ ὥσπερ ἐκ ναυαγίων καὶ χειμῶνος καὶ κλύδωνος ἐν λιμι
τῇ φίλῃ πόλει καὶ τοῖς ἀνδράσι γιγνόμεθα, καὶ πολλὴ παρ' α
τῶν εἰς ἡμᾶς αἰδὼς ἁπήντα, φιλοφροσύνη τε καὶ ξενία οὐ τ
εἰθισμένον ὡς οἶσθα τοῖς ἀνδράσι τρόπον ἐπὶ ξένοις ἀνδράσι κ
τιμὴν ἐκ βασιλέως ἔχουσιν ἐπιδημοῦσί τε καὶ παριοῦσιν ὅτ
δή· ἔστι γὰρ τόδε παρ' αὐτοῖς οἶσθ' ὅτι πλεῖστον, ὅτι δὴ κά
λιστον, ἀλλ' ἔτι καὶ πρός· καὶ δι' αὐτὰ μὲν δὴ ταῦθ' ἅπερ ἰ
καὶ ἄλλοις εἴρηται καὶ ἡμῖν αὐτοῖς, τήν τε δηλαδὴ τιμὴν ἀν
μετροῦσι τὴν βασίλειον οὐχ ἧττω δοκοῦσαν σφίσιν ἢ κα
τοὺς πολλούς, καὶ ἅμα τοῦ λόγου χάριν, ἣν ἄρα δόξαν πε
ἡμῶν ἔχουσι πάνυ τοι πλείστην· φιλολογοῦσι γὰρ ὡς οἶσθ'
τῇδε κομιδῇ καὶ μεμήνασιν ὡς οὐκ οἶδ' εἴ τινες σφόδρα κα
τῶν ἐν σοφίᾳ καὶ λόγοις δοκιμαζομένων καὶ ἀριστεύειν δοκοί
των· οἷς δὴ καὶ τὰ καθ' ἡμᾶς οὐκ οἶδ' ὅπως ἐντάττοντες, ὅτ
δὴ σφίσι δοκεῖ, καὶ τὰ μὲν ἐκ φήμης πρότερον οὕτως εἰλη
μένοι περὶ ἡμῶν καὶ φρονοῦντες εὖ, τὰ δέ, κἀν τῇ προλαβού
προβραχέος ἡμῶν ἐς αὐτοὺς ἐπιδημίᾳ τῶν ἡμετέρων πεπειρ
μένοι, ἤθους τε καὶ παιδείας οὐκ οἶδ' ὡντινωνοῦν οὐδ' ὅπ
δοξάντων σφίσι, στέργουσιν ἐκτόπως ἡμᾶς καὶ κομιδῇ φιλοῦσ
οἶμαι καὶ κυδαίνουσιν. Ὄναιντο δὴ τῆς ἐς ἡμᾶς εὐνοίας
ἄνδρες, καὶ σφίσιν ἀγαθὰ παρὰ θεοῦ γένοιτο πλεῖστα, οὕτω ἰ
πάνυ τετιμηκόσι φιλοκάλῳ γνώμῃ τὸν ξένιόν τε καὶ λόγιον. '
δ' οὖν τηνικαῦθ' ὅμως ὡς ἔλεγον, οὕτω δὴ φίλοι παρὰ φίλους ἄνδρ
ἐπεδημοῦμεν, πολλῶν ἡμερῶν ἤδη προπεπυσμένους κατὰ φήμ
τῆς πρεσβείας, μεγίστης δοκούσης καὶ οὔσης, ἐπιδημεῖν ἡμ
καὶ προσδεχομένους μάλιστα καὶ ἀπῃωρημένους ἡμῖν καὶ σφ
δρα θαυμάζοντας, ὅτι δήπως ἐμέλλομεν· ἐποίει γὰρ δή τι κ
τὸ τῆς πρεσβείας ἡμῖν ἀξιόλογον, ὡς εἴρηται δοκοῦν τὴν π
ρασκευὴν πλείω τῆς τιμῆς καὶ τοῦ φίλτρου. Φθάνουσι γ

Digitized by Google

ἤδη μεμαθηκότες ἡ πόλις ἐπιδημεῖν τὸν δεῖνα πρέσβυν ἐκ βασιλέως ἐς τὸν Τριβαλλῶν ἄρχοντα, φίλον ἄνδρα περὶ μεγίστων εἰς εἰρήνης τε δόγματα καὶ κῦρος, μετὰ πλείστην ὅσην τὴν μάχην καὶ χρόνιον, καὶ περὶ τοῦ κήδους αὐτῷ περανοῦνθ' ὅρκους τε καὶ συθήματα, κήδους οὐχ οὗ πρότερον συνετίθετ' ἐπὶ τῇ βασιλέως ἀδελφῇ, ἀλλ' ἐπ' αὐτῇ δὴ τῇ φίλῃ βασιλείῳ θυγατρὶ παρθένῳ νύμφῃ μεταθέσθαι καὶ προσαρμόσαι τὰς συμβάσεις τε καὶ τὰ δόγματα καὶ γενέσθαι τὸ συνάλλαγμ' εἰς υἱοποιΐαν ταύτην οἰκειότερόν τε καὶ ποθεινότερον· ταῦτ' ἀκουόμενα πρὶν ἢ ἐπιδημεῖν ἡμᾶς, μέγιστα δὴ δοκοῦντα καὶ ἀξιόχρεω πρέσβεος, ἐπιδεδημηκόσιν ὡς ἐφάμην, προσετίθει τῇ παρὰ τῶν ἀνδρῶν ἡμῖν τιμῇ καὶ τῷ φίλτρῳ. Καὶ τὰ μὲν τῆς πόλεως οὕτω. Ἐπεὶ δ' αὐτίκα δῆτ' ἐνταῦθα καὶ τῷ μεγίστῳ τῶν κατὰ δύσιν στρατευμάτων τε καὶ πόλεων καὶ χωρῶν ἐνετύχομεν ἡγεμόνι καὶ στρατηγῷ, ὁ μὲν δὴ πρώτως ἐξαπορεῖ τε καὶ πυνθάνεται, ὅτι δή ποτε πρότερον συχνῶν ἡμερῶν ἠγγελμένον ἤδη πρέσβεις ἐπιδημεῖν ἡμᾶς οὐκ αὐτῷ δὴ μόνῳ ἀλλὰ καὶ πρὸς ὃν ἐστελλόμεθα Τριβαλλῶν δεσπότην διά τινος τῶν αὐτοῦ προελθόντος ἡμῶν, οἶσθα δή, καὶ προσετίθει τοὔνομα, οὕτω δὴ μάλισθ' ὑπερήμεροι τῆς προθεσμίας καὶ ὀψιαίτερον, ἢ προσδοκήσιμον ἦν, ἀφικνούμεθα· τέως γε μὴν ἔφασκεν, ὡς δὴ πράγματα αὐτῷ παρασχοίμεθα ὅθ' οὕτως ἐμέλλομεν πλεῖστα αὐτῷ τε, πρὸς αὐτὸν πλεῖστα λογιζομένῳ, καὶ τῷ Τριβαλλάρχῃ μάλισθ' ὁσημέραι σχεδὸν περὶ τούτου πυνθανομένῳ καὶ λόγους πραττομένῳ τῆς ἡμετέρας μελλήσεως ἀνάγκην ἔχοντι μεγίστην, τοτὲ μὲν χειμῶνας, τοτὲ δ' ἄλλοτ' ἄλλας, ὡς ἐνεχώρει καὶ οἷόν τ' ἦν, ἀφορμὰς τῆς ἡμετέρας ὑπερημερίας καὶ βραδυτῆτος ἀποδιδόναι. Ἐγὼ δ' ὅπως νῦν ἀνὴρ ἔχει μάλιστ' ἐκεῖνος εἰς τοὔργον μαθεῖν ἠβουλόμην καὶ ὡς ἄρα δὴ προσίεται οὓς αὐτὸς πέμπει λόγους· εὖ μὲν καὶ αὐτὸς ἐκεῖνος ἔφασκε, μέχρι καὶ τήμερον· πολλοὶ δ' εἰσὶ περὶ αὐτὸν ἄνθρωποι φαῦλοι καὶ δύσνοι τῷ καλῷ καὶ

Digitized by Google

τοῖς πράγμασιν, οἱ μὲν τῶν ἐγχωρίων αὐτῶν βάρβαροι καὶ σκαιοὶ καὶ ὀλιγογνώμονες· εἰσὶ δ' οἳ καὶ βδελυροί τε καὶ κακοήθεις καὶ κακογνώμονες, ταῖς μάχαις εἰθισμένοι χαίρειν, ταύρων ἢδ' αἰγῶν ἁρπακτῆρες, οὐκ εἰς προὖπτον οὐδ' ἐπίδημοί τινες οὐδ' ἐπίδηλοι, ἀλλ' ἐν τοῖς ὄροις τε καὶ ἐν ὄρεσιν ἐπ' ἐρημίας ἀνδρῶν τε ὁδιτῶν καὶ βοσκημάτων ἐλλοχηταί τε καὶ λωποδύται καὶ ἀνδραποδισταί, κατηλογηκότες τῆς φύσεως καὶ δόγματος ἀληθείας καὶ δίκης ἁπάσης ἧς νομίζεται· καὶ οἱ μέν, ὡς εἴρηται, τῶν ἐγχωρίων οὕτω· καὶ τί ἄν τις πλείω λέγων διατρίβοι; Οἱ δὲ καὶ μάλισθ' οὗτοι τῶν πέρυσιν οὔπω καὶ πρότερον ἀποστάντων τοῦ βασιλέως, οἶσθ' οἵτινες, καὶ προσθεμένων κακῶν κακῶς ἐπὶ τῆς μάχης αὐτῷ κατὰ χώρων βασιλείων, ἔχθεσμοί τινες καὶ δυσσεβεῖς καὶ χαιρέκακοι, καὶ τῶν καλῶν ἀεὶ βάσκανοι καὶ πολέμιοι· καὶ τί γὰρ ἀλλ' ἢ θάνατον ἀγαθὸν ἔχοντες καὶ τοὐναντίον εὐζωΐαν; καχύποπτοι νῦν σφόδρα καὶ δεδιότες περὶ σφίσιν αὐτοῖς ἐπὶ ταῖς γινομέναις καταλλαγαῖς καὶ τῷ γνησίῳ τῷδε κήδει, οὐ πόρρω τοῦ δικαίου μηδ' ἀσυνέτως παντάπασι τόνδε δεδιότες τὸν φόβον· οἳ δὴ καθεκάστην ἐπιτίθενται οἱ μετὰ τῆς ὑπερημερίας καὶ παρολκῆς τῶν χρόνων, καὶ πάντα δεινὰ κατατεινόμενοι καταναιδεύονται καὶ φασὶν ἐκτραγῳδοῦντες, οὐδὲν ἀλλ' ἢ λόγους μόνους τὰ παρ' ἡμῶν φάσκοντες καὶ πλέον οὐδέν· ἀπάτην τέ τιν' ἑκάστοτε καὶ εἰρωνείαν καὶ ὑπέρθεσιν διαπαντὸς ἐκλύουσι τοὺς χρόνους, προφάσεσί τισι καὶ γοητείαις, καὶ τοῦθ' ὥσπερ ἄλλοτε πολλάκις καὶ ἐπὶ πλείστων καὶ νῦν εἶναι τὸν εἰωθότα τρόπον, οὐδὲν μέντοι προὔργου οὐδ' ἀλλοῖον ἢ κρεῖττον ἢ ἄλλοτέ ποτε πρότερον. Καὶ τοιαῦτα δὴ καταφλυαροῦντες ἀείποτε καὶ καταψευδόμενοι πάνυ τοι σὺν σπουδῇ καὶ κακοηθείᾳ πάντα φαῦλα καὶ οὐδὲν ὑγιές, τελευτῶντες ἀνίστασθαι χρῆναί φασιν ἤδη λοιπὸν καὶ μὴ προσέχειν οὕτω πάνυ τοι πόρρω, μηδὲ πείθεσθαι κακὰ νοοῦσιν αὐτῷ καὶ βουλομένοις ἀεὶ Ῥωμαίοις, καὶ οὐδὲ νῦν πάντως οὐδ' ὁτιοῦν

Digitized by Google

χρηστὸν, ἀλλά τι καὶ πλέον τοῦ προχείρου μαθεῖν ἐνεδρεύουσιν, ἔργου τε καὶ μάχης ἀμέλει συνήθους ἅπτεσθαι πρὶν ἢ αὐτὸς ἐμπεσεῖν ὁτῳοῦν ἀδοκήτῳ. Καὶ οἱ μὲν τοιαῦτα· ὁ δ' ὡς εἴρηται, μέχρι δὴ καὶ νῦν ἀντέχει καὶ ἀποτρέπεται, τὰ μὲν καὶ ἱλαρῶς καὶ μετρίως, τὰ δὲ καὶ ἰταμώτερον, εὖ μάλα πεποιθὼς ἐντολαῖς ταῖς ἐκ βασιλέως καὶ πίστει καὶ τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ καὶ ἀληθείᾳ, ὅρκοις τε ἀτρέπτοις ἐγνωσμένοις ὑπὸ πάντων πραγμάτων, ἐλπίδα μάλιστ' ἔχων ἐπὶ τῷ κήδει, καὶ πόθον οἷον ἄτρεπτον, καὶ φάσκων εἰς τέλος οὐκ ὀλιγωρήσειν, μέχρις ἄν τις ἐλπὶς καὶ βραχεῖα πρόσεστιν εἰς τοὔργον, οὐδ' ἀφέξεσθαι μὴ τῶν ἐλαχίστων αὐτῶν λογισμῶν μὴ τῆς ἐσχάτης προσδοκίας, οὐδ' ἂν εἴ τι γένοιτο, ἵνα δὴ μή τιν' ἀφορμὴν ἀπολίποι θ' ὕστερον, ἔπειθ' ἑαυτῷ καὶ βασκανίαν καὶ ἀκαιρίαν ἥντινοῦν καὶ ὀλιγοφροσύνην ἐπιμέμφεσθαι, προκαταισθῆσαι καὶ ἀπολέσαι τὴν σπουδὴν καὶ τῆς μεγίστης δι' ἑαυτὸν ἀτευκτῆσαι καὶ ποθεινοτάτης καὶ τοῖς σφετέροις αὐτοῦ προγόνοις εὐκταιοτάτης κηδεύσεως. Καὶ ὁ μὲν οὕτως ἀντέχει δὴ πάνυ τοι, καὶ ἀντισχήσειν φησίν, ἴσως δ' οὐκ ἀντισχήσει μέχρι παντὸς ἀμέλει οὐδ' ἑαυτοῦ παντάπασιν ἔσται καὶ περιέσται τῶν περὶ αὐτὸν ὡς εἴρηται φαύλων καὶ ἐπιβούλων ἀνδρῶν· ἀλλ' ἴσως ἔστι νοῦς, καὶ ἴσως ὁτουοῦν τῶν φίλων καὶ εὐνοϊκῶν τἀνδρὶ μάλιστα δοκούντων ἡττήσεται καὶ τὴν γνώμην περιαιρήσεται· ἀγαθὴ δὲ παραίφασις ἀνδρὸς ἀγαθοῦ, φαύλη δὲ φαύλου φησὶν ἡ ποίησις· τίς δ' οἶδ' εἰ μέντοι σὺν δαίμονι θυμὸν ὀρίνῃ παρειπών, καὶ τοῦτο φησί· πολλὴ δ' ἡ παρὰ τοῦ μισανθρώπου καὶ πολεμίου διὰ παντὸς Σατὰν ἄγρυπνος κατὰ καλοῦ παντὸς ἐπήρειά τε καὶ δύσνοια. Καὶ τοίνυν ἰέναι δεῖ, καὶ ὡς ἔνι τάχιστα δεῖ, καὶ μὴ μέλλειν ἔτι πλεῖν ἢ τοσοῦτο μόνον ὅσον ἐνσκευάσασθαι πάντα ὧν ἐς τὴν ἀποδημίαν ταύτην ἐπὶ ξένης καὶ ἀήθους δεῖ. Δεῖ δὲ πλείστων, ὧν τε ἐδεστέον μάλιστα, ὧν τε ποτέον, ὧν εἰθισμένον καὶ μόλ' ἐνταῦθα, οὐ ῥᾴδιον ἐκεῖσ' εὐπορεῖν, οὐκ ἐχού-

σης τῆς χώρας. Καὶ δεῖ τοίνυν ἐνσκευάζεσθαι πάνθ' ὡς οἷόν τε καὶ παρασκευάζεσθαι τάχιστα ἐξιέναι· καὶ μὴν ἐν τοσούτῳ δὴ καὶ ταύτην ἐλπίδ' ἔχειν, ἀφίξεσθαί τιν' ἐκεῖθεν ἄγγελον περὶ τῶν ὅλων ὡς ἄρ' ἔχει νῦν ἐκεῖ πραγμάτων κατεροῦντά τε καὶ μηνύσοντα. Χθὲς γὰρ ἤδη καὶ πρὸ τρίτης ἡμῶν μελλόντων εὐλαβούμενον αὐτὸν ἐπὶ τούτοις ἐκπέμψαι τινὰ τῶν ὑπ' αὐτὸν ἐκεῖσε τῷ Τριβαλλάρχῃ τὸν εἰωθότα τρόπον προσεροῦντά τε καὶ ἅμα περὶ τῶν ὅλων ὡς ἀγαθῶν ἐσομένων, αὐτίκα δὴ μάλα καὶ οἱ κατ' ἐλπίδα ἐγγυησόμενον ἡμῶν τε πέρι, ὡς ἄρ' ὅσον οὔπω περὶ πάντων ἔχοντες ἐρεῖν τε καὶ καταπράξασθαι πρὸς βασιλέως ἀφικνούμεθα, τοῦτό τε πρόφασιν εἰς προὖπτον καὶ καταμαθεῖν τε ἅμα καὶ κατασκέψασθαι ὅπως ἄρα νῦν ἔχει τἀκεῖ, ὡς ἀπαγγέλλειν ἔχειν ἀσφαλῶς ἐπανήκοντας, προσδέχεσθαι δὲ ἤδη λοιπὸν ἐπανήκειν αὐτὸν, καὶ τὸν ἀριθμὸν τοῦτο διδόναι τοῦ καιροῦ· πάντως δὲ ἐπανελθόντος τοῦ ἀνδρὸς γνῶναί τε ἐξεῖναι πάνθ' ὡς ἐκεῖθεν δεῖ, καὶ ἀσφαλῶς εὖ εἰδότες ἐξιέναι. Ἐδόκει δὲ ταῦτ' εἰκότ' εἶναι, καὶ λέγων ἀνὴρ εὖ λέγειν, κἄγωγε ἐπειθόμην εὖ μάλα. Καὶ τοίνυν εἰς τρίτην ἡμέραν ἐκεῖθεν τῇ πόλει μείνας, καὶ τῶν αὐτῶν γε δὴ πέρι διόλου ξυνὼν ἐκείνῳ καὶ κοινούμενος, ὡς ἔδει γε καὶ ἦσαν ἐντολαὶ βασιλέως, καλλίστῳ τε ὄντι, καὶ μεγίστῳ τῶν βασιλέως, καὶ τῶν ἠξιῶσθαι μάλιστα δοκούντων πρώτως κοινωνεῖν βασιλείοις βουλαῖς καὶ σκέψεσι, καὶ λέγειν ἔχειν εὖ προσιεμένου τοῦ δεσπότου, καὶ ἅμα οἰκείῳ σφόδρ' ἐμοί, καὶ τῶν ἔγγιστ' ἐκ συζύγου κατὰ γένος ἐπιτηδείων οἶσθα. Ἐπειδὴ καὶ πάντα δι' αὐτοῦ, ὧν ἔδει μοι πάμπλεω πρὸς τὴν ἔξοδον ἐνεσκεύαστο, ἐν νῷ γε ἤδη εἶχον αὐτίκα ἐξιέναι· καὶ ἤδη γε ἐξῄειν. Ἐν τῷ δε μὴν ξυμβαίνει τι τοῦτο· ἀνὴρ γὰρ ἐκεῖνος ὃς πρότερον ὡς ὁ λόγος ἐκεῖ δηλοῖ παρ' αὐτοῦ πέμπεται, οὐ μόνον αὐτὸς ἐκεῖθεν ἡμῖν ἐπάνεισιν, ἀλλὰ καὶ σὺν αὐτῷ Τριβαλλὸς εἰς βασιλέα πρεσβεύων παρὰ τοῦ δεσπότου, φθάνει γε ἡμᾶς ἔτ' ἐν τῇ πόλει, Δεσίσθλαβος ἀνὴρ ὄνομα· ὃς δὴ πρῶτος, ἐμοῦ γ' ἐ-

Digitized by Google

ξελθόντος ἐκ βασιλέως, αὐτόθι γίγνεται· καὶ μέμνησαι πάντως· γίγνεται δή τι τοῦθ' ἡμῖν λοιπόν, ἅμα μὲν ἕρμαιον πυθέσθαι τε καὶ μαθεῖν, ἅττ' ἐκεῖθεν ἅπαντ' ἠβουλόμεθα, ἅμα δ' ἀναγκαῖον καὶ τοῦτ' ἀναμαθεῖν τἀνδρός, ὅτου δή ποτε χάριν ἡ πρεσβεία αὐτῷ ἐς βασιλέα, καὶ ἥν τινα χρείαν, μήπου τι καινότερον ἄλλ' εἴη παρ' ἃ κεκίνητο, ᾔδειμεν τε αὐτοὶ καὶ πράττειν εἴχομεν ἐπὶ τοῖς συνθήμασι, καὶ δεήσῃ πάλιν ἡμᾶς ἐκεῖ πράγματ' ἔχειν αὐτοῦ πέρι ὁτουδηποτοῦν· βασιλεῖ γὰρ εἶναι δὴ τοῦτο μάλιστα δεδογμένον, καὶ πρὸς βουλῆς μηδὲν ἔτι πρᾶγμ' ὁτιοῦν εἶναι, μηδ' ἕτερ' ἅττα δὴ κεκινῆσθαι λοιπὸν εἰς αὐτὸν συνθήματα καὶ πρεσβεύματα, ἀλλ' εἰς ἡμᾶς ἐγκεκλεῖσθαι πάντα καὶ πεπεράνθαι συνθέσθαι περὶ πάντων καὶ σφραγίσασθαι καὶ τερματῶσαι πρὸς βασιλέως ἐντολὰς ἔχοντας, ὅποι δή ποτέ οἱ ἔδοξεν εὖ εἶναι, καὶ οὐδὲν ὅτι οὐ τῶν ἀναγκαίων εἰρῆσθαι· καὶ ἤδη κεκινημένων δογμάτων εἰς τοὔργον παρεία τ' ἄρρητον, οὐδ' ὥς τε μήπως ἔχειν ἡμᾶς συνθέσθαι τὸ βασιλεῖ δοκοῦν βέλτιον· περαιτέρω δὲ τῶν ἐγνωσμένων καὶ ὄντων ἀναγκαίων μηδὲν πραγματεύεσθαι χώραν εἶναι τοῦ λοιποῦ, μηδ' ἀνοίγνυσθαι θύραν ἔτι πλείω· τὸ δέ γε εἶναι λοιπὸν μεθ' ἡμᾶς πλέον αὐτὸν ἀπαντᾷν βασιλέα καὶ γένος ὅσον οὐ νῦν τάχιστα ἐς τὰ κατὰ δύσιν αὐτοῦ, τῇ φίλῃ παρθένῳ θυγατρί, συνεκτελέσαι δι' αὐτοῦ τὰ γαμήλια καὶ ἡμεῖς εἴχομεν πρὸς τοῖς ἄλλοις καὶ τοῦτ' ἀγγέλλειν· ἀμέλει ὡς τάχιστα μεθ' ἡμᾶς αὐτὸς ἔξεισι, μηδενὸς ὁτουοῦν λελειμμένου κατὰ ζήτησιν ἀμφιβόλου τῶν εἰς τοὔργον συνθημάτων. Ταῦτ' ἄρα καὶ ἀναγκαῖον ἦν ὡς ἐφάμην πυνθάνεσθαι τοῦ Τριβαλλοῦ περὶ τῆς πρεσβείας· καὶ πυνθανόμεθα καὶ μανθάνομεν ὅ τι ποτ' ἦν, εὖ μάλα· καὶ ἦν οὐδὲν πλέον, οὐδ' ὡς ἄρα δέος ἦν ἡμῖν, οὐδὲν ὁτιοῦν· ἀλλ' ἦ περὶ ὧν ἡμεῖς λέγειν καὶ πράττειν εἴχομεν, καὶ μάλιστ' ἀσπάσασθαι πρὸς τοῦ δεσπότου τὸν εἰωθότα βασιλέα τρόπον ὡς ἤδη πατέρα τε καὶ δεσπότην· καὶ πυθέσθαι λοιπὸν ὅπη ποτ' ἄρ' ἐς τὰ κατὰ δύσιν

Digitized by Google

αὐτοῦ μέρη τῆς χώρας ἀφίξεται, καὶ εἰ πρὶν ἢ φθάσαι καταλαβούσας τὰς δι' ἔτους ἀναγκαίας νηστίμους τῶν ἡμερῶν. Ταῦτά τε δὴ καὶ ἔτι προσμανθάνομεν τἀνθρώπου, ὧν ἡμῖν ἐκεῖσ' ἀποδημοῦσιν, ὡς εἴρηται, λοιπὸν ἔδει πάντων, ὡς ἄρ' ἐξῆν καὶ ἠβουλόμεθα· μανθάνομέν τε δὴ καὶ τόδ' οἶμαι κάλλιστον ἡμῖν, εὐχῆς ἔργον ξυγκύρημα, ὡς ἄρ' ὁ δεσπότης αὐτῷ τῶν μέσων τῆς χώρας ἀνίσταται, ἐφ' ὧν ἄρα καὶ διατρίβων ἦν χρόνος οὐ βραχὺς ἐξ οὗ, καὶ πρὸς αὐτὰ δὴ γίγνεται τὰ καθ' ἡμᾶς ἔσχατ' αὐτοῦ περὶ τοὺς ὅρους μάλιστα, μενεῖ τε χρόνον ὅντινα δή· ἐκεῖ τε λοιπὸν αὐτῷ καὶ ξυνεσόμεθα, καὶ ξυμπερανοῦμεν τὰ τῆς πρεσβείας· καὶ ἦν ἡμῖν τοῦθ' ἥδιστον ἀκούειν, τάχιστα καταπαῦσαι τῆς ἐπὶ τοσούτου τοῦ χειμῶνος ὁδοῦ καὶ ταλαιπωρίας, εἰς ῥαστώνην πάνυ τοι πλείστην αὐτοῖς τε καὶ ὑποζυγίοις πάνυ πεπονηκόσιν. Οὕτω δὴ λοιπὸν ἀγαθῇ τύχῃ περὶ πάντων μεμαθηκότες, ἡδέως ἐξῆμεν· χειμὼν δ' ἦν ὅμως αὖθις, καὶ μάλισθ' ὅσῳ δὴ καὶ προῆμεν καὶ πλεῖστ' ἐπονοῦμεν· φέρειν δ' ἦν ἀνάγκη καὶ φέροντες ᾔειμεν. Ἐφ' ἡμερῶν δὲ οὐκ οἶδ' ὅσων, φθάνομεν ἐξηνυκότες εἰς ἄστυ δή τοι τῶν ἐν αὐτοῖς ἐσχάτοις καὶ ὅροις βασιλέως· ἐνταῦθα δὴ τῶν ἐγχωρίων ἀκριβέστερον ἐκμανθάνομεν, ὡς ὁ Τριβαλλῶν αὐτὸς ῥὴξ ἐγγὺς ὅτι μάλιστ' ἦν, χθὲς ἤδη καὶ πρὸ τρίτης ἐπιδεδημηκὼς ἐνί τινι τῶν κατὰ τοὺς ὅρους ἐγγειτόνων πολιχνίων ἐσχάτῳ καθ' ἡμᾶς ἔγγιστα, καὶ ὁ συνοδεύων ἐκ Βυζαντίου Τριβαλλὸς ἐκεῖνος αὐτίχ' ἡμῖν κοινοῦταί τε καὶ ἐξαιτεῖται πρῶτος αὐτὸς ἀμέλει κατ' ὄρθρον, νυκτός γε μὴν ἔτι, φθῆναί τε ἀναστὰς καὶ σπουδῇ πάσῃ χρησάμενος, ἐς αὐτὸν γενέσθαι, τἆλλά τε ὡς εἰκὸς καὶ περὶ ἡμῶν, ὡς ἤδη γε πάρεσμεν ἀγγελεῖν τε καὶ κατερεῖν, ἵν' ὧν ἂν δέῃ παραχρῆμ' ἐπιδημοῦσιν ἅπαντ' εὖ παρασκευάσοιτο, καὶ ἱκανῶς σχοίη ὡς ἄρα εἰκὸς εἶναι, πρὸς ὅρους καὶ χώρας ἔσχατα, ἐπ' ἄστεος ὀλίγου δεσπότου καταλύοντος. Ἐδόκει τε λέγειν εἰκότα, καὶ συντιθέμεθα· καὶ αὐτός τε λοιπὸν ταχὺς εἰς ὄρθρου

ἀναστὰς σπουδῇ δρόμον ἀνύτει τῷ δεσπότῃ πρότερος ἀπαντᾷν. Καὶ ἡμεῖς βραδύνομεν ἐπὶ χώραν ἐκεῖσε, καὶ βραδύνομέν γε πλεῖν ἢ ἔδει τῶν ἐγχωρίων ἡ τατημένοι, ὡς πάνυ τοι τοὐνμέσῳ, καὶ ὅσον τῆς ἡμέρας ἐκείνης δέον βαδίζειν, ὀλίγον ὂν καὶ μὴ χρῆναι μάλ' ἐπείγεσθαι· ταῦτ' ἄρα καὶ λανθάνομεν τό γε δὴ προπεπυσμένοι καὶ πεπεισμένοι, καὶ κατημεληκότες ὡς οὐκ ἔδει, ἐπειδὴ καὶ ἡπτόμεθα τῆς ὁδοῦ καὶ προήειμεν ἀποβουκοληθέντες τἀληθοῦς καὶ ἡμῶν πρὸς λόγον καὶ τῆς ὥρας ὀψὲ τρέχοντες, ὅσα γε εἰκὸς πρέσβεσιν οὕτω βάδην τε καὶ μετὰ ῥᾳστώνης ἁπάσης ἐν σκευαγωγοῖς καὶ πλείοσιν ὑποζυγίοις, ἀλλ' οὐ ταχεῖς ἄρ' ὡς οἷόν τε, καὶ τὸν εἰωθότα μόνιππον λεγόμενον τρόπον βαδίζοντες. Καὶ τοίνυν νυκτὸς εἰς μίαν τε καὶ δευτέραν οἶμαι ἐπισχούσης ὥραν ἤδη, ἡμεῖς ἔτ' οὔπω γιγνόμεθα ἐς τὸ ἄστυ, ἀλλὰ λειπόμεθ' οὐκ ἐπ' ὀλίγον ἐς πεδίον μέσον, καὶ ἦν ἔπειτ' οἶμαι, ἄπορον ὅτι ποτ' ἂν χρησαίμεθα· οὔτε γὰρ μενειν ἐκείνῃ καὶ ὁποιοῦν ξένους ὄντας ἔδει, καὶ νυκτὸς ἐπισχούσης ἤδη, καὶ τό γ' ἐπιδημεῖν εἰς μέσην αὖθις νύκτα πρέσβεις ἄνδρας, ἔνθα καταπαύειν ἔδει, ὥς περ δή τινας ἀνδραποδιστάς τε καὶ τυμβωρύχους ἐξ ἀφνοῦς καὶ λανθάνοντος ἐπιτιθεμένους, οὐκ εὔσχημον ἐδόκει· ἐδόκει δ' οὖν ὅμως τόδε βέλτιον· καὶ κατατείναντες ὡς οἷόν τ' ἦν, ἐπειδὴ ἔγγιστα γιγνόμεθα, στέλλω τῶν ἑπομένων ἕνα τε καὶ δεύτερον ξυνιέντας τῆς ἐγχωρίου γλώττης κατὰ πύστιν ἀναζητοῦντας, ἐς τοῦ ἀστυνόμου δὴ καὶ τοῦ τῆς χώρας ἡγεμόνος ἐκείνης γενομένους ἀγγέλλειν περὶ ἡμῶν, ὅτι πάρεσμεν, καὶ μανθάνειν ὅτι δή ποτε ποιεῖν, καὶ οἷ δὴ καταλύειν ἡμᾶς χρή. Γίγνεται τοῦτο· καὶ μόλις μὲν ἦν γὰρ τὸ ἄστυ κεκλεισμένον ἐξ ἑσπέρας ἔτι ὡς ἄρ' εἰκός, ἐντυγχάνουσι δ' οὖν ὅμως οἱ πεμφθέντες ἐκείνῳ· καὶ ὃς αὐτίκα μηδὲν μελλήσας ἀστυνόμος ἐκεῖνος εἰς ἡμᾶς ἔξεισιν, ἀσπάζεταί τε τὰ εἰκότα, καὶ παραπέμπει καταλύσοντας οἷ πρότερον παρεσκεύαστο, ἅμα δὴ καθ' ὁδὸν ἰοῦσι πλεῖστα καταιδούμενός τε

Digitized by Google

καὶ καταδυσωπῶν, παραιτεῖται δι' αὐτὴν ἄρα τὴν βραδυτῆτα μὴ προσαντῆται τὴν εἰωθυῖαν καὶ δικαίαν ἡμῖν, πρέσβεσιν οὕτως ἐκ βασιλέως, τιμὴν ἐκ τοῦ δεσπότου καὶ πομπὴν πρὸ τῆς καταλύσεως ἔτι δὴ πόρρω τῆς ὁδοῦ, καὶ ἠξίου μὴ δυσχεραίνειν· συγγινώσκειν γὰρ τῷ ξυμβάντι χρῆναι· αὐτῷ γὰρ δὴ τῷ δεσπότῃ καὶ μεμεληκέναι περὶ τούτου μάλιστ' ἔφασκε, καὶ πλείστους ὅσους τῶν περὶ αὐτὸν ἡμέρας ἔτι πάνυ τοι πρὸ τοῦ ἄστεος τιμὴν ἡμετέραν στεῖλαι, ἀσπασμόν τε φίλον καὶ δεξιὰν ἐκ μακροῦ· οὓς δὴ καὶ μείναντας ἐπὶ πλεῖστον καὶ βραδύναντας εἰς ἑσπέραν, ἐπειδὴ μήπως ἑωρώμεθα ἐπιδημοῦντες, ἀπειπόντας τοῦ λοιποῦ μηκέτ' ἀφίξεσθαι ἡμᾶς, ἐπανελθεῖν. Ταῦτ' εἰπὼν καὶ καταδυσωπήσας χρηστὸς ἄνθρωπος ἄπεισιν οἴκαδε· βραχεῖα δ' ἑξῆς ὥρα, καὶ ἥκει παρ' ἡμῖν ὑπ' αὐτοῦ πάντ' ἄφθονα τροφῆς μετασχεῖν, καὶ ἅττα μὴ ἐκ προχείρου πορίσασθαι, οἷα δ' ἐκ βουλῆς προτέρας καὶ ἐκ κυνηγεσίων ἅττα ὡς ἔοικε προεσκευασμένα τρυφᾶν· καὶ ἵπποις εἶπεθ' ἱκανὴ βόσκησις, καὶ πάντ' εὖ· καὶ μήνυσις ἐπὶ τούτοις, ἀστεία μέν, ἴσως δὲ καὶ ἀληθής, ἡμῖν δ' οὐ τοιαύτη μέν, ἀστεία δ' ἐδόκει, ὡς ταῦτα δῆτ' ὄντα τοῦ φίλου τε καὶ ἀστυνόμου οἴκοθεν, ὡς ἄρ' ἔτυχεν, ὀψὲ γὰρ δὴ τῆς νυκτὸς εἶναι, καὶ μὴ θεμιτὸν μηδ' οἷόν τ' εἶναι τῷ δεσπότῃ περὶ ἡμῶν ἀγγέλλειν ἀφικομένων καὶ τοίνυν, ἣν μήθ' ἱκανῶς μήτ' ἀξίως ἔχει, ξυγγινώσκειν χρῆναι. Καὶ ἡμεῖς ἀπείχομέν τε χάριν ὡς εἰκὸς καὶ ὡς ἔδοξεν ἐχρώμεθα τῆς νυκτὸς ἐκείνης· ἅμα δ' ἕῳ προσκαλούμεθά τε καὶ ἀπαντῶμεν ἐς τοῦ ἄρχοντος· οὐκ ὀλίγη τε δὴ γεννικὴ νεότης ἐκεῖθεν πανηγυρικώτερον ἐσκευασμένοι προῆγον, τιμήν, ᾗ δὴ νομίζεται, τά γε τοιαῦθ' ἡμῖν φέροντες· καὶ ἦν ἡ πᾶσα σπουδή (1) τε καὶ πρόοδος πάντ' ἀστεία, καὶ καθάπαξ αἰδοῦς τε καὶ κόσμου πλέως, εὖ μάλ' ἐμφαίνουσα καὶ δεικνῦσα τῆς κατὰ χώραν πρὸς εὐγενῆ τε πρεσ-

(1) Ἐν τῇ ὤᾳ· γρ. πομπή.

βείαν καὶ μεγίστου δεσπότου καὶ περὶ μεγίστων, ἀήθης ἦ κατ᾽ ἄλλας πρότερον αὐτὴ παραβαλλομένη. Καὶ αὐτὸς δὴ μάλισθ᾽ ὁ ῥὴξ σφόδρ᾽ ἐκεκόσμητο καὶ περιέδει τὸ σῶμα πᾶσαν ἑορτὴν ἐκ λίθων τε καὶ μαργάρων, ὡς οἷόν τ᾽ ἦν, καὶ χρυσοῦ μάλιστ᾽ ἐπηχθισμένος· ἐπίπλοις τε ἅπας ὁ δόμος ἀστράπτων σηρικοῖς τε καὶ χρυσιπάστοις· καὶ ὅσον δὴ περὶ αὐτὸν τῶν αὐτοῦ παρῆν ἔκκριτον ἀήθως τε πάνυ πόρρω καὶ, ἢ πρίν, ἁβρότερον ἐνεσκεύαστο καὶ κατακεκόσμητο, καὶ πᾶσ᾽ ὡς ἔπος εἰπεῖν ἡ σκηνὴ πρὸς ζῆλον βασιλικῆς, ὡς οἷόν τ᾽ ἦν καὶ ῥωμαϊκῆς εὐγενείας, πεζῇ μὲν παρὰ Λύδιον ἀληθῶς ὡς ὁ λόγος, ἡμιλλᾶτο δ᾽ οὖν ὅμως οὕτω. Εἰσιὼν δ᾽ οὖν καὶ τὰς βασιλείους ἐπιδόμενος ἐπιστολὰς τῷ ῥηγί, προσειπών τε καὶ ἀσπασάμενος τῶν βασιλέων ὡς νομίζεται, εὖ δὴ μάλα προσιεμένας (1) καὶ μετ᾽ εὐγνώμονος καὶ πολυτίμου τοῦ σχήματος αἰδοῦς τε πάσης ἀποδιδόντος τὴν περὶ τῆς αὐτῶν εὐφήμου μνήμης τιμήν· ἐπεὶ δὴ καὶ περὶ ἡμῶν ἀμέλει πύθοιτο οἷ δὴ μάλιστα χρώμεθ᾽ ἡμῖν αὐτοῖς καὶ εἴημεν, πλεῖσθ᾽ ὡς εἰκὸς πεπονηκότες ἐπὶ τῆς ὁδοιπορίας ὅσα γε ἐν ὥρᾳ ταύτῃ δὴ χειμῶνος, διειλεγμένος ἅττα ἔδει διὰ βραχέων καὶ χάριν πάντως ὁμολογήσας, παραχρῆμα ἀπαλλάττομαι, ξυγχωροῦντος αὐτοῦ, μὴ πλεῖν ἔτι νῦν γε εἶναι, μὴ πονεῖν, μηδὲ διατρίβειν, ἀλλ᾽ ἢ (2) δεῖ, καταπαύειν, οἴκοι γίγνεσθαι, καὶ ῥᾳστωνεῦσαι τῆς ἡμέρας ἐκείνης ἐν σχολῇ, ὡς τῆς γε ὑστεραίας προσκεκλῆσθαί τε καὶ ἀπαντᾷν αὖθις ἐς αὐτοῦ μελλήσοντα, συγγενέσθαι τε κατὰ βούλησιν καὶ ἀνύτειν περὶ τῶν τῆς πρεσβείας. Καὶ δὴ λοιπὸν οὕτω ἡμεῖς τε γιγνόμεθ᾽ οἷ καταλύομεν, καὶ σὺν ἡμῖν ἄνδρες ἐκεῖθεν ἀποτετάχαται τῆς ἐκ τῆς αὐλῆς τοῦ ῥηγὸς τροφῆς τε καὶ τῶν ἄλλων ὧν ἂν δέοι χορηγοί τε καὶ ταμίαι, καὶ ὑπηρέται ταχεῖς, ἐξ ἐντολῆς ἡμῖν τε καὶ ὑπηρέταις. Καὶ τοίνυν ἐντεῦθεν ἐφ᾽ ἑκά-

(1) Διορθοῦται· προσιεμένου.
(2) Ὁμοίως· ᾗ.

στης ἡμέρας ἅπαντα ἐν ἀφθόνῳ μάλιστα εἰς δεῦρο, καὶ πλεί καὶ κρείττω ἢ ὧν (1) ἂν δέοι καὶ οἵων, καὶ οὐχ ἡμῖν ἀπόπλε μόνοις, ἀλλὰ καὶ δὶς ἡμῶν ἴσως τόσοις· χωρὶς δὲ τούτων ἄττ ἐκ κυνηγεσίων πάνυ τοι πλεῖστα ὀρνίθων, πάνυ τοι πλεῖστα τό ἄλλων, ἅττα ἐδώδιμα θηρῶν, χοίρων τε ὀριτρόφων καὶ ἐλάφω· καὶ μὴν ἔτι τούτων χωρίς, ἑκάστης ἡμέρας τὰ ἐκ τραπέζ τοῦ ἄρχοντος αὐτοῦ πλεῖστα ἐσκευασμένα στελλόμενα καὶ κ τηρτυσμένα χρυσέοις καὶ ἀργυρέοις ἐκπώμασί τε καὶ σκεύεσι ἐδεστά τε καὶ πέμματα, οὐ χρείας μᾶλλον ἢ τιμῆς ἕνεκα, τ τῆς τροφῆς κοινωνίᾳ, οἷα δὴ καὶ τῆς ἡμέρας ἐκείνης αὐτίκ ἡμῖν ἀπήντα, πλείω δὴ καὶ κρείττω ἢ κατὰ χώραν τοῖς ἐ ταῦθα, καὶ ἅμα τήν γε ὥραν τηνικαῦτα· ἦν μὲν γὰρ ἡμέρ τῶν νηστίμων, καὶ καθ' ἣν ἀνάγκη μὴ κρεωφαγεῖν ἦν. Κ πέμπεται δὴ τά τε ἄλλα ἡμῖν ὡραῖα καὶ ἐξ ἀκροδρύων, κ πέμματα ἥδιστα ἐν σφίσι, καὶ ἰχθύων κατεσκευασμένα τε κ κατηυτρεπισμένα τεμμάχια, τὰ μὲν αὐτόθεν ἐκ ποταμῶν ἐγ χωρίων, τὰ δὲ καὶ πόρρω, νεαλῆ μὲν καὶ ἅττα, ταρίχη δὲ κ ἅττα, τῶν ἀπ' Ἴστρου μεγίστων τε καὶ πιόνων, καὶ ἡμῖν αἱ τόθεν σπανίως ἐπιδημούντων, καὶ κατὰ ζήτησιν ἐνίοις ἐπέρ στον καὶ οὐ πάντως οὐδὲ πάντοτ' ἐπιτυχῆ. Καὶ τὰ μὲν γ οὕτως ἔσχε τηνικαῦτα, καὶ εἰς νῦν ἔχει, ἵνα μὴ τηνάλλως δια τρίβομεν. Ἅμα δ' ἕῳ τῇ ὑστεραίᾳ, κατὰ τὸ σύνθημα, προσκ κλήμεθά τε αὖθις τὸν εἰωθότα τρόπον ἐς τοῦ ἄρχοντος κ συγκεχωρήμεθα λέγειν, περὶ ὧν λέγειν εἴχομεν, ἐντολὰς τῆ πρεσβείας εἵνεκα. Ἦσαν δὲ τὰ παρ' ἡμῶν, ὡς ἅπαντα ἐκ βασ λέως ἤνυσται τὰ τοῦ κήδους καὶ κατώμοσται, καὶ οὐδὲν ἐμ ποδὼν εἰς ἀληθῆ καὶ παμπλήρη τοῦ πράγματος αἵρεσιν αὐτ καὶ κατάθεσιν. Δεδοκίμασται γὰρ δὴ παντάπασιν ἀτρέπτως, κ προσετίθην τὸν σκοπόν τε καὶ λόγον δι' οὓς καὶ ὅπως, καὶ τ

(1) Διορθοῦται· ὅσων.

Digitized by Google

γ' ἐπ' αὐτῷ δὴ βασιλεῖ καὶ πεπέρανται. Δεῖ δὲ μόνον οἶμαι, τῶν ἀπ' αὐτοῦ δὴ λοιπὸν ὅρκων ῥηγὸς καὶ πίστεων καὶ μητρὸς ἄρα ῥηγαίνης, καὶ τῶν κατὰ χώραν σφίσιν ἐπιτηδείων τε καὶ μεγίστων ἀνδρῶν, ὁμοῦ πάντων ἀσφαλείας χάριν ἁπάσης, καὶ μάλιστα τῶν ἱερατευόντων δεῖν αὐτῶν πίστεως εἰς τοὔργον καὶ προεστώτων τῆς χώρας ἐπ' ἐκκλησίας, καὶ πρώτου δὴ τοῦ γε σφῶν αὐτῶν πρώτου. Ταῦτά τε καὶ ἔτι πρὸς τούτοις δεῖν πάντως ἔλεγον, αὐτίχ' ἕπεσθαι, μᾶλλον δ' ἀπαντᾶν, ὡς ἔνι τάχιστα, καὶ φθάνειν γε καὶ προήκειν εὐτρεπῆ καὶ δόλου παντὸς ἔξω, ἅττ' ὀφείλεται καὶ δίκαιον· τὰ μὲν ἤδη καὶ ξυντεθειμένα πρότερον, μᾶλλον δὲ τὰ πλείω χθὲς ἤδη καὶ πρὸ τρίτης, τὰ δὲ καὶ νῦν ὑφ' ἡμῶν γε ξυντεθεῖσθαι καὶ προστεθεῖσθαι δίκαιον ὄντα, ἅτε περὶ καλλίονος καὶ οἰκειοτέρου καὶ μάλιστα σφίσιν εὐκταιοτάτου προμνώμενα τοῦ κήδους, ἢ κατὰ τὸ πρότερον· καὶ ἀντειπεῖν ἄρ' οὐκ ἔστι. Καὶ κατέλεγον ἅττα περὶ τῶν ἐν τοῖς ὅροις πολισμάτων τε καὶ χώρων, ἅττα περὶ τοῦ τῶν ἀποδοθῆναι μελλόντων ὁμήρων ἀριθμοῦ, ἐγγύης τοῦ κήδους ἕνεκα, ὧν τε πρότερον ἤδη, ὧν τε νῦν συντέθειται, καὶ μάλιστα τοῦ προὔχοντος οἶσθα καὶ θήλεος, ὡς τούτων γε ὡρισμένων καὶ κατηυτρεπισμένων. Οὕτω δὴ μηδενὸς ὁτουοῦν ἔφην, ἐκ βασιλέως ἔτ' ἐνδεῖν λοιποῦ τῷ κήδει, μηδ' ὑπέρθεσιν ἐξῆς ἡντιναοῦν εἶναι. Ἐξίασι γὰρ εἰς ῥητήν τινα ταύτην ἡμέραν αὐτός τε ἤδη βασιλεὺς τῆς μεγίστης πόλεως καὶ βασιλὶς αὐτή, καὶ μὴν βασιλεὺς υἱὸς αὐτῇ βασιλίδι τε καὶ συζύγῳ καὶ τὼ λοιπὼ βασιλέως ἄρρενε παῖδε σφίσιν ἕπεσθον τὰ κήδη τιμῶντες τοῦ γένους, καὶ τὴν βασίλειον παρθένον νύμφην ὁμοῦ πάντως ἔς γε τὰ ὑμέτερα παραπέμποντες· καὶ δὴ τοὐνμέσῳ μηδὲν ἢ βραχὺ λοιπὸν εἶναι. Ταῦτά γε δὴ πάντ' ἐξειπὼν, ὡς ἕκαστα καιρὸν εἶχεν ἐν μέρει, τί γὰρ δὴ καὶ μηκύνει; σιγήσας ἔπειτ' εἶχον κατὰ χώραν μένων ἡντινοῦν ἀπόκρισιν. Καὶ ἦν γ' ἐπὶ τούτοις οὐδὲν πλέον τοῦ ῥηγός, ἢ ὅτι εὖ γε καὶ κατήνυσται, δεικνῦντος εἰς προὖπτον

οἶμαι δυσχερῶς ἔχειν, τὰ προβεβλημένα καὶ εἰρημένα καὶ πόρ
μάλιστα ἢ ὥστε καὶ κατηνῦσθαι καὶ πεπεράνθαι· δεῆσαι
ὅμως σκέψεως εἰς ἀπολογίαν αὐτῷ, ἀπαλλάττομαι οἴκοι διδο
ὥραν αἰτοῦντι λογισμοῦ, καὶ ἅμα ἐφ᾽ ᾧ τροφῆς αὐτὸς μετ
σχεῖν. Χρόνος ἑξῆς βραχύς, καὶ οὔπω δὴ τροφῆς ἱκανῶς ἔσχομ
καὶ αὖθις προσκεκλήμεθά τε καὶ ἀπαντῶμεν ἐς τοῦ ἄρχοντο
καὶ δὴ τὰ μέν, παραχρῆμα αὐτὸς ἐφ᾽ οἷς ἐλέγομεν ἤδη π
τερον ἐξεῖπε καὶ ἀντεῖπε· τὰ δέ, παρετίθει τε καὶ προὔτρέπε
λέγειν, ἐπιτέλλων καὶ προστιθέναι ἐνίοις τῶν περὶ αὐτὸν ἐ
κρίτων· τρεῖς οἶμαι καὶ τέτταρας ἐκλέξας τε καὶ πιστεύσ
αὐτὸς ὑπεκστάς, ὡς οἷόν τ᾽ ἦν αἰδημόνως μάλιστ᾽ ἀξιῶν τ
ἀνδράσιν ἡμᾶς προσέχειν, καὶ τὰ παρ᾽ αὐτῶν ὡς αὐτοῦ προσ
σθαι. Ἦν δ᾽ ἐν τούτοις μάλισθ᾽ ὁ λέγειν ἔχων καὶ πρῶτα φέρ
Γεώργιος· Γεώργιος οἶσθ᾽ ὃς ἐνειρκτοδέσμιος ἐκ μάχης ·
βασιλεῖ, συνήθης τε ἐκεῖθεν μάλιστ᾽ ἐκ τῆς χρονίου καθείρξε
αὐτῷ τε βασιλεῖ γεγονὼς καὶ ἡμῖν, καὶ τὰς παρούσας κατα
λαγὰς καὶ συμβάσεις ἐπὶ τῷ κήδει πρῶτος αὐτόθι προδείξ
καὶ ἐνηργμένος, καὶ καθυπουργήσας ἐς τὰ μάλιστα, ὡς ἐντε
θεν ἄρα καὶ μάλισθ᾽ ὡς πεῖραν ἤδη τιν᾽ ἡμῶν καὶ τῶν ἡμετέρ
ἐσχηκὼς κρείττω ἢ κατὰ τοὺς ἄλλους τῆς ἐκ τοῦ ἔθνους, κ
τῆς ἁπάσης ἡμῖν προξενεῖν ἀμέλει πρεσβείας ἀξιοῦσθαι· ἔ
δὲ κἂν τοῖς μάλισθ᾽ ὁ ἀνήρ, καθάπαξ τῷ δεσπότῃ καὶ τ
σφόδρα πιστῶς τε καὶ οἰκείως ἐχόντων, καὶ κοινωνούντων βο
λῆς τε καὶ λόγων καὶ φροντισμάτων, καὶ πάσης σκέψεως, ἅτ᾽
νους τε ὢν αὐτῷ δὴ καὶ σφόδρα, καὶ νοῦν ἔχων ἐφ᾽ ἑκάστ
αὐτῷ κοινωνεῖν καὶ μεταχειρίζειν τε καὶ συμβάλλειν τῶν
ἔργων καὶ τῶν λόγων, καὶ μάλιστα ἐν τοῖς ἡμετέροις, τιμ
τε διὰ ταῦτ᾽ ἄρα πάντα ἀξιοῦταί τε καὶ ἐπικέκληται, ἤστι
δὴ ταύτης, ἡγεμὼν ἐν τοῖς τοῦ γένους στρατεύμασι δεύτερ
Ἐπεὶ δ᾽ οὖν εἰς λόγους ἐγενόμεθα, τὰ μὲν καθ᾽ ἕκαστα ὧν
πρὸς ἀλλήλους εἴπομεν καὶ ἀντείπομεν σφόδρα διατεινόμε

Digitized by Google

περὶ ὧν ἐν ταῖς συμβάσεσι προὔκειτο κεφαλαίων, τί τίς ἂν ἐνταῦθα μηκύνοι τε καὶ ἐκτιθείη; ἄλλως τε καὶ πρὸς εἰδότα ἴσως καὶ ἅπαντ᾽ ἀκριβῶς ἀκηκοότα, τοῦ καλοῦ Δουκαίτου πρότερον ἐπιδεδημηκότος αὐτόθι παρ᾽ ἡμῶν. Τέλος δ᾽ ὅμως πλεῖστ᾽ ἄρα διατρίψαντες καὶ προσκεκοφότες ἀλλήλοις ἐν ταῖς διαλέξεσι μάλιστα, καὶ τὸ πλεῖστον οἶμαι τῆς ἡμέρας μήτ᾽ ἀμαχεὶ μήτ᾽ ἀφιλονείκως μήτε κατ᾽ οὐδὲν ὅλως συμβάντες, ἀλλ᾽ ὥσπερ ἀπογνόντες ἀλλήλων καὶ τῆς ὑποθέσεως ἀπαλλαττόμεθα, ἀνασεσοβημένοι καὶ κακαῖς ἐλπίσιν ὡς ἀληθῶς ἐμφρόντιδες, ὡς παντάπασιν ἀλλήλων ἀτευκτήσαντες, παρὰ τοσοῦτον, παρ᾽ ὅσον οὐδ᾽ ἐξιόντες ἐντυχεῖν ὅλως μένομεν τῷ ῥηγί, καὶ τὰ εἰκότ᾽ ἐξιοῦσι τῆς οἰκίας ἀσπάσασθαι, καὶ προσειπεῖν οἷα δὴ νομίζεται οὐκ ἔχοντες, οὔθ᾽ ὅπως ᾔδεις αὐτοί, οὔθ᾽ ὅπως ᾔδει γε αὐτῷ συντυχόντες προσείποιμέν τε καὶ προσεροῦντες ἀκούσαιμεν. Αὐτὴν μὲν οὖν λοιπὸν ἐκείνην καὶ δευτέραν ἑξῆς καὶ τρίτην οἴκοι καθήμεθα, κατὰ χώραν μένοντες, ὥσπερ ἐν τοῖς πεντάθλοις οἱ πυγμὴν ἢ πάλην ἢ παγκράτιον ἐπὶ πλεῖστον ἀγωνισάμενοι, καὶ μηδέτεροι περιγενόμενοι, ἀλλ᾽ ἀποκεκμηκότες τε τοῖς ἀγῶσι καὶ ἀπειρηκότες ἀμφότεροι, ἀτρέμ᾽ οὐδὲν μήτε προσκεκλημένοι, μήτε λέγοντες, μήτ᾽ ἀκούοντες, αὐτοί τ᾽ ἐν ἀηδίᾳ καὶ δυσέλπιδες ἧπερ εἴρηται, καὶ περὶ τοῦ ῥηγὸς παραπλήσια δὴ μανθάνοντες αὐτοῦ· ὡς μάλιστα ποθῶν τὸ κῆδος, καὶ περὶ πλείονος ἔκπαλαι πεποιημένος, καὶ νῦν ἐπιτυχὴς ὥς γ᾽ ἐδόκει γεγονώς, νῦν δὴ μάλιστα κατατήκοιτο καὶ κατάγοιτο, οὐκ ἔχων ὅτι ποτὲ χρῷθ᾽ ἑαυτῷ καὶ τοῖς κεκινημένοις συνθήμασι, πλεῖστα μὲν ἀναλογιζόμενος τὸ δυσχερὲς τούτων, μάλιστα δὲ δεδιὼς μήπου τις εἴη πρόφασις αὕτη, τ᾽ ἀδύνατον ἐν αὐτοῖς τοῦτο πρόβλημα καὶ κατασκεύασμα, οὐ τοῦ πεπεράνθαι τῆς ἀσφαλείας καὶ πίστεως ὥς γε προὐτείνετο, τοῦ δὲ μὴ πεπεράνθαι μάλιστ᾽ ἐξ ἀνάγκης διὰ τὴν ἀμετρίαν. Ταῦτ᾽ ἐδεδίει καὶ καταφροντίζων καὶ καταδαπανώμενος διὰ τὸν πόθον σφόδρα τοῦ πράγματος· ταῦτ᾽ ἐδεδίει καὶ διὰ τὰ πρότερον

οἶσθα ἄλλοτ' ἄλλα παραπλήσια κεκινημένα τε καὶ ἡμαρτημένα· καὶ μέχρι τουνῦν ἐκεῖθεν τούτου μάλιστα τοῦ δέους ἐστὶ καὶ μετ' ὀλίγον ἐροῦμεν· καὶ οὔποτε τόδε πάμπαν ἔξεισι τοῦ λογισμοῦ. Τετάρτῃ δ' ὅμως ἐκεῖθεν ἑξῆς, καὶ ἦν τις ἑορτάσιμος θεία, καὶ ἡμεῖς ἀνάγκην εἴχομεν ἐπ' ἐκκλησίας γίνεσθαι τῆς ἱερᾶς λειτουργίας ἀκροασόμενοι, ἐν δή τινι λοιπὸν τῶν κατὰ χώραν ἱερῷ καλλίστῳ τῆς Θεοτόκου γιγνόμεθα, ἔνθα δὴ καὶ Γεώργιος ἐκεῖνος, οὗ νῦν γε ἤδη πρότερον ὁ λόγος ἦν, κατὰ χρείαν δὴ καὶ αὐτὸς τῆς ἱερᾶς τελετῆς, κεῖθ' οὕτω τυχόν γε δὴ κατὰ θεῖον συμβάν, ὥς γε αὐτὸς ἔλεγε, τὸ δ' ἀληθὲς κατὰ συνθήκην ἐπίτηδες τῷ δεσπότῃ μεθ' ἡμῶν γίγνεται· καὶ ἦμεν λοιπὸν ἐν λόγοις, ἅτε δὴ συνήθεις οἶμαι πάλαι πόῤῥω, καὶ λόγου λόγον γεννῶντος οἷα δὴ συμβαίνει, ἐπ' αὐτοῖς γιγνόμεθα τοῖς προκειμένοις προβλήμασι καὶ ζητήμασιν, ἀμφότεροι πράττοντες ἐπίτηδες καὶ ποθοῦντες· εἶτ' ἀμφιγνοοῦμεν μέχρι πολλοῦ καὶ διϊσχυριζόμεθα τὸ δοκοῦν ἑκάτερος ὑπερηγοροῦντες τοῦ προσήκοντος, ὁ μὲν ὡς οὐκ εἰκόθ' ἃ ζητοῦμεν, οὐδ' οἷα καὶ περαίνειν, ἀλλ' ἡ μόνον πρόφασιν ἀπραξίας, καὶ τέλος οὐδὲν κατ' ἀνάγκην, μᾶλλον δὲ τοῦτο κατὰ σκοπὸν ὄν. Ἐγὼ δ' ἅπαν τοὐναντίον ἀπήντων, ὡς εἰκότα τε δὴ μάλιστα πρὸς τοὔργον, καὶ γιγνόμενα δὴ ῥᾷστα καὶ οὐδὲν αὔθαδες οὐδ' ἄμετρον, οὐδ' ἀλόγιστον· μάλιστα δὲ δὴ καθορῶν τὸν ἄνδρα δεδιότα πρὸς τὸ τέλος καὶ πειρώμενον ὡς ἔνι γνῶναί τε καὶ λαβεῖν πίστιν, ὡς ἄρα ἀληθὲς τὸ πᾶν καὶ δόλος οὐδείς, οὐδ' ὑπερθέσεως πρόφασις ἡτισοῦν, καὶ τοῦτ' εἶναί οἱ μάλιστα προὔργου καὶ σκοπὸς ἅπας εἰς ἐκεῖνον τὸν ἀγῶνα, καὶ τοῦ γε ὅλως ἐκεῖσε, μεθ' ἡμῶν γενέσθαι· ἐνταῦθα δὴ σαφῶς ἔγωγε καὶ διϊσχυριζόμην ὡς οἷός τ' ἦν, μάλιστα κατατεινόμενος καὶ σπουδάζων καὶ ἐπομνύμενος πρὸς τῶν ἱερῶν αὐτῶν καὶ τῆς εὐαγοῦς συναυλίας ἐφ' ἧς ἦμεν, πρὸς τῆς ἱερᾶς τελετῆς καὶ θείας ἧς αὐτήκοοι τηνικαῦτ' ἐγιγνόμεθα, ἦ μὴν μηδὲν ἐνταῦθα εἶναι πλάσμα, μηδε-

μίαν σκηνὴν, μηδ' εἰρωνείαν, μηδὲ δρᾶμα, μηδὲ τρόπον ὁντινοῦν ἐκ βασιλέως, μηδὲ σκαιώρημα, ἀλλ' ἀλήθειαν πᾶσαν καὶ πλήρη γνώμην, καὶ λογισμῶν ὀρθῶς αὐτουργίαν, καὶ ὄντως κεκρίσθαι τὸ πρᾶγμα τῷ βασιλεῖ καὶ δεδοκιμάσθαι, καὶ τό γ' ἐφ' ἑαυτῷ πεπεράνθαι· καὶ λοιπὸν κατ' οὐδὲν ἀμφιγνοεῖν χρῆναι, οὐδ' ἔξω καὶ πλέον τοῦ προχείρου φρονεῖν καὶ νοεῖν δεῖν, ὡς οὐδενὸς ἔτ' ἐνδεῖν πρὸς τοὔργον τόδε καὶ τὸ περισπούδαστον καὶ τριπόθητον κήδευμα, ἢ μόνου τοῦ τὰ δίκαια καὶ αὐτοὺς δρᾶν. Τούτοις ἔπειθον λέγων, καὶ οἷα δὴ τὰ τοῦ δεσπότου καλῶς ἐκεῖνος εἰδὼς ἐξῆς ἐνεδίδου καὶ εἶκε, καὶ πλὴν δὴ τριῶν τῶνδε, τὰ πάντα ῥᾷστ' ἐξεῖναι τῷ δεσπότῃ ποιεῖν ἔλεγε, καὶ ποιεῖν ἤδη καὶ συντίθεσθαι, καὶ αὐτὸς ἀκριβῶς εἰδέναι· τὰ δὲ εἶναι τὰ λοιπὰ ταῦτα καθάπαξ ἔχοντα δυσχερῶς, ἢ ὥστε καὶ περαίνειν· καὶ κατηρίθμει λοιπὸν ἓν μὲν, τὴν τῆς ἀνθρώπου οἶσθα ἣν ἀπόδοσιν, καὶ δεύτερον τὴν τῆς μητρὸς καὶ ῥηγαίνης ἐπὶ τοῖς ὅρκοις παρουσίαν καὶ μετουσίαν, τυγχάνειν γὰρ μακρὰν ἀποδημοῦσαν, καὶ χειμῶνος ὥραν εἶναι, καὶ ταύτην ἐπ' ἀκμῆς, καὶ τοὐνμέσῳ δυσοδίας εἶναι, καὶ ὁρῶν ὕψη τόσα καὶ τόσα οὐκ ὀλίγων ἡμερῶν ὁδὸν ἐκ τῆς γῆς εἰς οὐρανοὺς ἥκοντα, καὶ καθάπαξ τελευτῶντα συνελεῖν, μηδεμίαν ἰσχὺν εἶναι ταύτῃ πως ἐκείνην ἐπιδημεῖν χειμῶνος ὅλου· καὶ ἐπώμνυτο τὰ παλαμναιότατα κατ' ἐξωλείας αὐτοῦ τε καὶ τοῦ δεσπότου καὶ φιλτάτων, καὶ πάντα ἐπώμνυτο τελετὰς καὶ ἱερὰ καὶ μυστήρια, ἦ μὴν οὕτως εἴη, καὶ φρίττειν ἡμῖν ἐπῄει, καὶ πείθεσθαι, ἢ τί γὰρ εἴχομεν; Καὶ λοιπὸν προσετίθει τρίτον, περὶ τῶν ἀποδοθῆναι μελλόντων ὁμήρων, ἀποδοθῆναι μὲν οὖν οὐκ ἀντέλεγεν, οὐθ' ὅσους ὁ λόγος ἦν οὐθ' οἵους, ἐκδοθῆναι δὲ πρώτους αὐτοὺς ὁμοῦ πάντας, καὶ εἰς τὰ ἡμέτερα αὐτῶν γίγνεσθαι, πρὶν ἤ τινα καὶ ἀντίδοσιν ἐξ ἡμῶν ἀξιόχρεω εἰς αὐτοὺς ἀπαντᾶν καὶ ἀνθήκειν τηνικαῦτα, τοῦτ' ἦν τὸ δυσχερές. Καὶ ἐπώμνυτ' αὖθις κατὰ τῶν αὐτῶν ὧν καὶ πρότερον, οὕτω δὴ σφόδρα μὴ κατὰ

γνώμην εἶναι τουτὶ τοῦ δεσπότου, μηδ' ἀπιστεῖν ὅλως, μηδ' ἀμφιγνοεῖν ἐκεῖνον ἐκ βασιλέως νεανικόν τι καὶ κακοῦργον σκαιουργηθῆναί ποτε κατὰ τῶν ἐκδιδομένων, καὶ κατὰ τῶν ἐνόρκων συνθημάτων αὐτῶν, εἰ καὶ χωρίς τινος ἐξ ἀντιδόσεως ἐγγύης ἐς ἡμᾶς γίγνοιντο· μηδὲν οὖν τοῦθ' ὅλως εἰς δέος εἶναι πολλοῦ γε καὶ δεῖν, φλαῦρόν τι τοιοῦτον εἰς νοῦν ἔχειν κατὰ τῆς τοῦ βασιλέως εὐσεβείας καὶ εὐγενείας καὶ μεγαλειότητος, καὶ ἀποτρόπαιον καὶ κακόνουν οὕτω δὴ μάλιστα, καὶ ἀλιτηρίοις ἀνθρώποις καὶ δυσσεβέσι μόνοις προσῆκον, ἀλλ' αὐτοὺς καθάπαξ οὐκ ἐᾶν οὐδὲ συγχωρεῖν τοὺς τῶν ἐκδιδομένων ἐκείνων ἐπιτηδείους καὶ οἰκείους, καὶ φίλους καὶ προσήκοντας, μηδ' ἂν εἴ τι γίγνοιτο, μηδ' ἂν εἴ τι πάσχοιεν, μηδ' ἂν εἴ τι βιάζοιθ' ὁ δεσπότης, καὶ τοῦτ' εἶναι παντάπασιν λοιπὸν ἀδύνατον, οὔτε λόγοις πειθομένων, οὔτ' ἀπειλαῖς, οὔτε βίᾳ ἐξὸν ἄγειν ἅπαντας, οὔθ' ὁτῳοῦν τρόπῳ. Ἐπὶ τούτοις γοῦν ἀπαλλαττόμεθα, καὶ διϊστάμεθ' ἀλλήλων αὖθις, ἐγὼ μὲν κατ' οὐδὲν συνθέμενος ἐπὶ τοῖς εἰρημένοις, οὐδ' ἔτι πω δούς τινας ἐπ' αὐτοῖς ἐλπίδας, ὁ δὲ καὶ οὕτω δὴ μὴ παντάπασιν ἀηδῶς ἀπιών, ὡς οὐκ ἀηδὴς ἀπαντήσων ἐς τοῦ δεσπότου, ὅτι δὴ πρότερον ἐγὼ φθάσας κατωμοσάμην τὸν ἄνδρα καὶ καταπέπεικα σαφῶς τε καὶ γεννικῶς πᾶσαν ἀλήθειαν εἰς τοὔργον εἶναι, καὶ μηδὲν ἐγκρύπτεσθαι δύσνουν, μηδὲ κακουργικόν, μηδὲ καχύποπτον, εἰς τὸ πέρας αὐτὸ τοῦ παντὸς πράγματος διατεινόμενος. Τοὐντεῦθεν, ἐπειδὴ καὶ ὁ ῥὴξ ταῦτα δὴ πάντα τοῦ ἀνδρὸς ἐκείνου πέπυστό τε καὶ καταπέπειστο, προσκεκλήμεθα αὖθις τῆς ἡμέρας ἐκείνης δείλης, καὶ γιγνόμεθα πάλιν ἐν λόγοις τε καὶ ἀγῶσι τὴν ἀρχὴν τοῖς προτέροις· εἶτα δὴ ξυμβαίνει τε ἡμῖν καὶ κατατίθεται ἐπὶ πᾶσιν εἰς προὖπτον κἀκεῖνος, πλὴν ὧν εἴρηται τριῶν· ἐν δὲ τούτοις οὐκ ἔχειν, ὅτι καὶ δρῴη λέγων· ἐπειδὴ μὴ συνεχώρουν ὅλως αὐτὸς μηδ' ἐφ' ὁτῳοῦν. ἀπολύει καὶ αὖθις ὅμως οἴκοι γενέσθαι, μὴ καθάπαξ ἀηδῶς· καὶ αὖθις ἅμα ἕῳ

μετακαλεῖται περὶ τῶν αὐτῶν καὶ αὖθις· μετακαλεῖται καὶ αὖθις εἰς τρίτην ἡμέραν πρό τε δείπνου καὶ μετὰ τὸ δεῖπνον, καὶ ἦμεν ἐν λόγοις ἀεὶ καὶ σπουδῇ περὶ τῶν αὐτῶν, οὐδὲν περαίνοντες. Μόλις δ' οὖν ἔπειθ' οὕτω δὴ χρόνῳ καὶ σκέψει ξυμβαίνομεν· ἀπολύειν μὲν δὴ τὸ τῆς ἀνθρώπου καὶ κατατίθεται, δυσχερὲς οἶσθα ἔφην· καὶ πρὸς τοῖς ἄλλοις καὶ περὶ ταύτης ἐνδίδωσί τε καὶ δίδωσιν, ὃ δὴ καὶ μάλισθ' ἡμῖν ἦν ἐν σπουδῇ καὶ περὶ πλείονος ἢ κατὰ ἄλλα· κἄγωγε αὐτὸς περὶ τῶν τῆς μητρὸς καὶ ῥηγαίνης ὅρκων ἐνδούς, ὡς εἶχόν γε καὶ αὐτόθεν ἐντολάς, οὕτω γε μὴν ὡς μὴ νῦν γε ἀπαιτεῖν καὶ κατεπείγειν διὰ τὴν ἀνάγκην ἣν ἔρασαν τῆς ἀποδημίας, ἐξ ἀνάγκης δ' ὅμως καὶ μετὰ τὸ κῆδος ὕστερον γίγνεσθαι. Καὶ δὴ λοιπὸν αὐτὸν ῥῆγα κατομόσασθαι κατὰ τούτου γε καὶ συνθέσθαι ζητῶν, ἢ μὴν οὐκ ἄλλως γε ἢ οὕτως ἀκολουθῆσαι καὶ μὴ καθυφεῖσθαι τουτὶ παντάπασιν, εὕρισκον εὐπειθῆ καὶ ῥᾷστα συντιθέμενον· καὶ λοιπὸν ἦν τὸ τρίτον, περὶ τῶν ἀποδιδομένων εἰς τὴν ἐγγύην, ὃ δὴ καὶ πάντων ἐκεῖνος μάλιστα τῶν ἄλλων, καὶ πείθεσθαί τε καὶ δρᾶν ἔλεγε δυσχερέστατον, ἐπομνύμενος οὐ δι' ἑαυτὸν, ἀλλ' ὃν ἀνωτέρω τρόπον εἴρηται, τῶν ἐπιτηδείων αὐτῶν ἕνεκα καὶ φίλων, καὶ ὧν δὴ παῖδες καὶ φίλτατα εἰς τὴν ἐγγύην αὐτὴν ἀπεδίδοντο, μάλιστα μὲν ἀχθομένων, ὅτι καὶ ὅλως ἀπεδίδοντο, καὶ σφῶν αὐτῶν ἀποδημεῖν ἦν ἀνάγκη, καὶ ὥσπερ ἐπ' ἀδήλοις τῶν οἰκείων ἀποδιαιτᾶσθαι πόρρω· εἰ δ' οὖν ὅτε καὶ τοῦτο πείθοιντο, ἑκόντες ἀέκοντί γε θυμῷ τὸ τοῦ λόγου, πρὸς τό γε δεύτερον τοῦθ' ὅλως οὐ συγχωρούντων, οὐδ' ἂν εἴ τι γίγνοιτο, οὐδ' ἂν εἴ τι πάσχοιεν, εἰς ἐπίδηλον οὕτως ἑκόντες γε εἶναι διδόναι πρότεροι καὶ προδιδόναι παῖδας καὶ φίλτατα, πρὶν καὶ ἡντινοῦν ἀντίδοσιν ἀσφαλείας ἕνεκεν ἀντισχεῖν. Ἐνταῦθα δὴ μάλιστα διακαρτεροῦσιν ἔφασκε, καὶ πᾶν ὁτιοῦν εἰσιν ἕτοιμοι πάσχειν ἢ πείθεσθαι, καὶ δὴ πάντων ἅπτεσθαι δυσχερὲς εἶναι καὶ κακῶς δρᾶν καὶ χρῆναί τινα τρόπον εἰς οἰ-

Digitized by Google

χονομίαν ἀνθευρεῖν τε καὶ πορίσασθαι· ἀντῄτει τοίνυν ἀφορμῆς αὐτῶν τινος καὶ θεραπείας ἕνεκα, ἀντὶ πλειόνων τῶν διδομένων ὁμήρων, ὀλίγους εἰς τὴν ἀντίδοσιν, ναὶ μὴν καὶ κατ' ὀλίγον ἐκβιαζόμενος, ἐκ πλειόνων εἰς ὀλίγους κατῄει, ἐλπίδα τιν' ἔχων ἐξ ἐμοῦ ὡς αὐτίκα δὴ πρὸς ὁντινοῦν ἀριθμὸν συνθείμην καὶ προσείμην· ᾤετο γὰρ ὡς δυναίμην· καὶ ἦν ἡ προχώρησις μέχρι καὶ ἐς ἓξ αὐτοὺς δὴ μόνους ἀντὶ τοσούτων, καὶ τῶν μεγίστων καὶ πολυζητήτων, οἶσθα ὧν· οὕστινας δὲ καὶ τὸν τρόπον ὃν ὡς μάλιστα ἀσφαλέστατα καὶ ῥᾷστα καὶ ὡς οὐκ ἐξεῖναι μηδόλως κακοῦργόν τι καὶ δυσνοϊκὸν ἀκολουθῆσαι τῇ πράξει, ἔφθασας οἶμαι πυθέσθαι, καὶ χρεία τις οὐκ ἀναγκάζει προστιθέναι κἄγωγε ἐπὶ τούτοις· εἰρήσεται γὰρ τὸ ἀληθές, νὴ τὸν ἐμόν τε καὶ σὸν βασίλειόν τε καὶ φίλιον· ἐπειδὴ πάντοθεν σκοπούμενος ἑώρων ἀνύποπτον τοὖργον, καὶ κατ' οὐδὲν ὁτιοῦν δυσχερές, οἷός τ' ἦν αὐτίκα δὴ μάλα πείθεσθαί τε καὶ συντίθεσθαι, ὡς οὐδὲν ὂν δεινόν, οὐδὲ τρόπον ὁντινοῦν εἰς ζημίαν· τοῦ δ' ἀσφαλεστέρου γε ἐπὶ τούτοις ὅμως γενόμενος, τῇ βασιλικῇ γνώμῃ καὶ κρίσει περὶ τούτων τὸ πᾶν ἀνηρτῆσθαι δεῖν ᾠήθην, κἀμὲ δὴ περὶ τούτων ἀγγέλλειν ἔλεγον, καὶ διαμηνύεσθαι χρῆναι, καὶ αὐτὸν μάλιστα ῥῆγα πέμπειν τοὺς ἐροῦντάς γε ἅπαντα, ὡς αἰτεῖται μετ' ἀσφαλείας ἁπάσης καὶ εὐχερείας, καὶ ὡς ῥᾷστα ἀνῦσαι καὶ μετ' εὐνοϊκοῦ σχήματος, καὶ ταπεινῶν καὶ τῶν λόγων καὶ τῆς γνώμης καταδυσωπήσοντας συνθέσθαι τὸν αὐτοκράτορα, προλέγων αὐτὸς ὡς οὐδὲν δυσχερές, οὐδ' ἀκυρώσει τοὖργον ἅπαν δι' ἓν τοῦτο μόνον βασιλεύς, εἴ γε ἀδύνατον ἄλλως ἀπαντᾷν, ἣν μὴ οὕτως συνθεῖτο, καὶ πέμπειν ἔλεγον αὐτίκα σὺν σπουδῇ χρῆναι, μετὰ χρηστῶν τῶν ἐλπίδων, οὕστινας ἄρα ὡς μετ' ὀλίγον ἥξοντας, ἐπιτυχεῖς ὧν αἰτήσοιντο, μηδέν γε μὴν ἔτι πολυπραγμονεῖν, μηδὲ περαιτέρω πράττειν, καὶ ἡντινοῦν ἐξέταꝏν καὶ συνθήκην πλεῖν ἢ καὶ τὸ παρὸν ζήτημα, ὡς ἁπάντων συντεθειμένων καὶ ἐγκεκλεισμένων παντάπασι πρὸς

ἐμοῦ, περί τε τῶν ἐν τοῖς ὅροις χωρῶν τε καὶ ἄστεων, καὶ φρουρίων, καὶ περὶ τοῦ κήδους αὐτοῦ μάλιστα τῶν συνθημάτων. Πείθεται δὴ λαμπρῶς ἐπὶ τούτοις καὶ ἡδέως εὖ μάλα, καὶ οὕτω δὴ παντάπασι καὶ περὶ πάντων ξυμβαίνομέν τε καὶ ἀπαλλαττόμεθα. Καγὼ μὲν αὐτίκα τὸν καλὸν Δουκαίτην ἐς βασιλέα, καὶ αὐτὸς δὲ οὕστινας οἶσθα σὺν αὐτῷ πέμπομεν, Δαμιανόν τινα αὐτὸν οἶμαι ὄνομα μοναχὸν, καὶ Τομπράϊλον ἐκκλησιάρχην ἐνταῦθα τοῖς ἐγχωρίοις τετιμημένον τοῦ δεσπότου καὶ κατωνομασμένον, περί τε τοῦ παντὸς ἔργου κατεροῦντας ὡς ἤνυσταί τε καὶ πεπέρανται, καὶ καταλιπαρήσοντας ἐξ αὐτοῦ δεσπότου καὶ Τριβαλλάρχου, καὶ ἤδη παιδὸς φίλου τῷ βασιλεῖ, περὶ οὗ νῦν γε εἴρηται συνθήματος. Ἐλπίδες γε μὴν ἦσαν καὶ μάλιστά γε ἐμοὶ, καθ' ὁδὸν ἐντεύξεσθαι σφᾶς βασιλεῖ κατιόντι λαμπρῶς ὡς ἄρα προείρητο, καὶ παρῆλθεν ἡ κυρία ἐς τὰ κατὰ δύσιν ἐνταῦθα σφέτερα αὐτοῦ, καὶ ταχεῖς γε λοιπὸν τοὺς ἀνθρώπους πάντως ἐπανήκειν ἡμῖν, κατὰ Μακεδονίαν γε μάλιστα μέσην ταῖς βασιλικαῖς ἐντυχόντας ὁδοιπορίαις. Ὡς μὲν οὖν ἔγωγε τέως ᾤμην, οὕτω δή· ἐπεποίθειν γὰρ αὐτόθεν εἰδὼς ἐξιὼν πάνυ τοι, καὶ ἅμα ἦσαν ἐντολαὶ βασιλέως οὕτω, καὶ προθεσμία τις οἶμαι ἐπὶ ῥητοῖς ἦν· καὶ δὴ προὔλεγον οὕτω ῥηγί τε καὶ πᾶσιν, οἷς ἂν ἐντύχοιμι, εὖ μάλα πιστῶς καὶ γεννικῶς καὶ κατ' οὐδὲν ἀμφιβάλλειν διδούς. Τρίτον δὲ ἤδη τοῦτον ἀνύτων μῆνα ἐξ οὗ πρῶτον αὐτόθεν ἐξήειν ἐκ Βυζαντίου, καὶ μηδὲν ὁτιοῦν ὑγιὲς πεπυσμένος, καὶ μάλιστά γε ποθῶν τε καὶ πολυπραγμονῶν περὶ τοῦ βασιλέως, τῆς ἀποδημίας αὐτῆς, καθ' ἑαυτὸν κομιδῇ θαυμάζω καὶ ἀπόρως ἔχω, καὶ οὐκ ἔχω τίς γένωμαι, καὶ μὴν οὐδ' ὅτι ποτ' ἂν χρήσωμαι ῥηγί τε καὶ τοῖς περὶ αὐτὸν πυνθανομένοις καὶ λόγους εἰσπραττομένοις τῆς ἀναβολῆς· καὶ σφόδρα γε ἐπὶ τούτῳ μάλιστ' αὐτὸς, νὴ τοὺς λόγους, καὶ θαυμάζει τε καὶ λελύπηται· τέως γε μὴν ἄνθρωπος ἅπας ἀνήρτητο καὶ μετέωρος ὅλως ἦν ταῖς ἐλπίσιν ἐπ' ἐμοί,

πάντα θαρρῶν καὶ οὐδὲν οὐδόλως ἐντρεπόμενος, οὐδὲ μετρίως ὦτα διδόναι ξυγχωρῶν οὐδενὶ τῶν ἄλλως ὁτιοῦν καὶ λέγειν καὶ πείθειν ἐπιχειρούντων, τῶν ἐκτός τε καὶ πόρρω, καὶ τῶν ἐγγὺς μάλιστα δύσνων τε καὶ ἐπιβούλων, καὶ κακοσχόλων, καὶ φαῦλα βουλομένων τε καὶ λεγόντων ἀνθρώπων· μᾶλλον μὲν οὖν καὶ διαβέβλητο σφίσι καὶ παντάπασιν ἀπήχθητο, τἀναντία πειρωμένοις, καὶ πολύ τις ἦν περὶ ἐμὲ πίστις καὶ ἅμα αἰδώς, καὶ πολὺ μάλιστα προσεῖχε τὸν νοῦν, ἅπαν ὁτιοῦν εἰρημένον ὑπ' ἐμοῦ μεγίστως τε ἀξιῶν αὐτὸς τιμῆς, καὶ τοῖς ἄλλοις ὑπ' αὐτὸν οὐ προστάττων μόνον παραπλήσια δρᾶν, ἀλλὰ καὶ πείθων, ὡς ἀνδρί τι δυναμένῳ καὶ νοῦν ἔχοντι προσφερεσθαι, καὶ ἅμα μεγίστου βασιλέως πρέσβει, καὶ περὶ μεγίστων καὶ πάντως οὐκ ἀλόγως ἀξιουμένῳ περὶ μεγίστων οὕτω πράττειν, ἐξεῖναι δὲ καὶ πεῖραν λαμβάνειν ὅστις βούλοιτο, καὶ βουλομένοις ἐντυγχάνειν ξυνιέναι· πάντα γε μὴν ἐκ πάντων τιμῶν, καὶ τραπέζης ἐτίμα κοινωνίᾳ, καὶ ὃ μέγιστον ἐποιεῖτο συχνάκις, καὶ μάλιστ' ἐπειδή γε καὶ ἡμέραι ξυνέτυχον αὗται δὴ καθ' ἃς ἀπόκρεῳ ἡμεῖς γιγνόμενοι, νομίζομεν ἔπειτα θεοσεβοῦντες νηστεύειν· ἐν ταύταις γὰρ δὴ παντάπασιν αὐτῷ ξυνῆμεν δαιτυμόνες, καὶ τῶν αὐτῶν ἐσθίοντες, τά τε ἄλλα καὶ τὸν εἰωθότα σφίσι τρόπον προπίνων γε αὐτὸς ἡμῖν ἐς τιμὴν, ξὺν ὀλίγοις τῶν μάλιστα αὐτοῦ καὶ πρώτων τοῦτό γε ἡμῖν ἐποίει, καὶ προὔπινε καὶ ἐτίμα, τοῖς ἴσοις ἀντιπινόντων εὖ μάλα δὴ προσιέμενος, ἀμφιεννύς τε ἃ κάλλισθ' ἑαυτῷ περιετίθει πρότερον ἐφάπαξ καὶ νεουργῆ, καὶ ἀνεζώννυέ γε κοσμίως, αἷς δὴ μάλιστ' αὐτὸς ζώναις πρότερον ἀνεζώννυτο. Οὕτω πολλή τις ἦν ἡ περὶ ἡμᾶς σπουδὴ, ἅμα μὲν διὰ τὴν πρεσβείαν, ἅμα δὲ καὶ δι' ἡμᾶς αὐτοὺς, εἶναί τι δόξαντας οἶμαι. Καὶ τοίνυν δεῆσάν γε ἡμᾶς ἐντυχεῖν, καὶ τῷ πρώτῳ τῶν ἐν τῇ χώρᾳ ἐπισκόπων καὶ κοινωνὸν ὡς εἴχομεν ἐντολὰς προσλαβεῖν τῶν κατὰ τὴν πρεσβείαν αὐτὴν, καὶ κοινῇ μετὰ τοῦ ρηγὸς ὥς γε νομίζεται, συντιθέμε-

νόν τε καὶ κατομνύμενον τὰ τοῦ κήδους, μάλιστά γε δι' αἰδοῦς ἐνταῦθα καὶ σπουδῆς ὅτι πλείστης ὄντα, μεγίστης ἐκ προρρήσεως κἀνταῦθα ἀπολαύομεν τιμῆς, καὶ οἵας οὐδείς πω πρότερον οὔτε τῶν ἐγχωρίων, οὔθ' ὁστισοῦν ξένος· ἐτίμα τε γὰρ δὴ πᾶσι πλέον ἢ πρότερον ὁ ἱερὸς ἐκεῖνος εἰώθει, κυδαίνων ἡμᾶς καὶ λόγοις καὶ σχήμασι, καὶ ἅμα προσεῖχεν εὖ μάλα πως, ὡς νοῦν τιν' ἔχουσι· καὶ ταῦτά γ' ἦν ἐντολὴ ῥηγὸς, καὶ οὐδὲν ὅτι μὴ προῦλεγεν αὐτῷ ὧν τε δεήσει πάντως πράττειν, ὧν τε λέγειν, καὶ ὡς ἄρα γε ἐχρῆν ἕκαστα καὶ πράττειν καὶ λέγειν προῦλεγε, καὶ μάλα δὴ παρεσκευάσθαι καὶ προσέχειν τὸν νοῦν, ὡς ἀνδρί γε παραβαλλόμενον τά τε ἄλλα ἐλλογίμῳ, ἀλλ' οὐδ' ἄρα καὶ τῶν ἐκκλησιαστικῶν αὐτῶν ἀσυνέτῳ θέσεών τε καὶ νομίμων· οὕτω δὴ καθάπαξ ἅπαν ἀγαθὸν ᾤεθ' ἡμῖν καὶ ἠξίου σπουδάζειν. Καὶ τί δεῖ γε ἐπὶ πλέον ἴσως μηκύνειν; ταῦτα μὲν γὰρ πρότερον ἐξαρχῆς· καὶ οὐδ' εἰς νῦν γε ἔτι πω λήγει παντάπασιν. Ἀλλ' ὅμως γε ὑφεῖνται, καὶ τὸ τοῦ ἀνδρὸς πρόθυμον νοσεῖ· τὸ δ' αἴτιον ὥς γ' ἐφάμην, ὁ χρόνος, οὕτω δὴ πολὺς ἐκπρόθεσμος τῆς ἐγγύης προϊὼν ἐκκρούει τὰς πίστεις, χώραν ἀμέλει τινὰ διδοὺς ἤδη τοῖς λογοποιοῖς τε καὶ κακούργοις, καθ' ὃν οὐδὲν ὁτιοῦν ἐκ βασιλέως ἐπυθόμεθα περὶ ὧν πράττομεν, οὐ μικρὸν οὐ μέγα φασίν, οὐδὲ μὴν περὶ τοῦ βασιλέως αὐτοῦ πλεῖν ἄλλο, ἢ ὅτι κατὰ τὴν βασιλίδα πόλιν ἔτι πω καὶ νῦν ἀεὶ μένει τὰ εἰωθότα πράττων, περὶ δ' ἐκδημίας αὐτοῦ πρός γε τὰ ἐνταῦθα οὐδὲν ἡμῖν εἰς τήν δε τὴν ἡμέραν ἀπαντᾷ, καὶ πάντα μᾶλλον ἢ τί τοιοῦτο· καὶ θαυμάζομεν οἱ πάλαι προσδοκῶντες, μᾶλλον δὲ καὶ πεπεισμένοι σφόδρα, καὶ πείθειν ἔχοντες τὴν μέλλησιν, καὶ ὅτι ποτ' ἂν εἴη τὸ τῆς ἀναβολῆς ταύτης αἴτιον. Καὶ τὸ μὲν ἅπαν ἔργον ὡς ἀληθῶς, ὦ σοφώτατε, ἴσμεν ἀσφαλῶς ὡς ἤνυσται τῇ βασιλικῇ γνώμῃ καθάπαξ, ἐπεὶ καὶ κατώμοσται, καὶ οὐδὲν ὅτι ποτὲ ἄρα μὴ τρέψειεν οἶμαι τὸ δόξαν οὕτω· καὶ μὴν ἔτι γε ὡς τὰ πλείω καὶ πάντα σχεδὸν ἀγώγιμά τε

καὶ ὀχήματα ὧν ἔδει πρὸς τὴν βασιλικὴν ἔξοδον ηὐτρέπιστο, καὶ βραχέων ἄρα τινῶν ἐνέδει καὶ λίαν εὐπορίστων, καὶ τοῦτό γε ἴσμεν· ὁ δ' ὅμως χρόνος ἔτι γε τρίβει καὶ προήκει σφόδρ' οὕτω θαυμαστῶς μηδὲν κατὰ σκοπὸν ἀνύτων, μὴ δ' ὥς τις ᾠήθη ποτ' ἄν. Ταῦτ' ἄρα καὶ λογοποιοῦσιν ὡς ἔφην τινὲς τὰ κάκιστα καὶ χαίρουσιν οἶμαι, καὶ χώραν τιν' ἔχουσιν ἤδη, καὶ τὴν ἀναβολὴν ταύτην διαβάλλουσιν ἐκ τῶν φθασάντων πάλαι πρότερον δεδιττόμενοι, καὶ μηδὲν χρηστὸν οὔτ' ἐννοεῖν αὐτοὶ λοιπὸν οὔτε λέγειν ἔχοντες, ὡς ἄρ' οὐδὲν ἀλλ' ἢ τὰ εἰωθότα καὶ αὖθις ἐκ βασιλέως καὶ Ῥωμαίων, τρίβειν κἀνταῦθα τὸν χρόνον, καὶ κατ' ὀλίγον ὑπερτιθέναι κατορθοῦντες ὁτιοῦν ἄρα, κἄπειθ' οὕτω καὶ ἡτισοῦν ἀρκέσειέ πρόφασις, τὸ πᾶν τῆς συμβάσεως ἀνατρέψαι καὶ καθελεῖν· καὶ μέχρι τοσούτου φασίν, εὖ ἐροῦσι καὶ συνεροῦσι καὶ σεμνολογήσουσι Ῥωμαῖοι, καὶ συμβαίνοντες κακουργήσουσι, μέχρις ἂν ἡντινοῦν ἔπειθ' ὁ χρόνος σχεδιάσειεν ἀφορμήν, εὖ ἠνυκόσι καὶ συντελέσασιν ὃ κρύφα καθ' ἑαυτοὺς προὔθεντο· καὶ τοίνυν αὐτίκα ἐξαίφνης ἀναφανήσονται χρηστοί τινες αὐτοὶ καὶ δίκαιοι καὶ πάντ' εὔορκοι, καὶ μέγιστον ἡμῖν φήσουσιν εἶναι καὶ πάντ' ἀναντίρρητον τὸ αἰτίαμα τοῦ παντὸς ἔργου, καὶ πάνθ' ἡμεῖς ἄδικοι καὶ οὐδὲν ὑγιές, οὔθ' ὅλως ὡς ἀληθῶς νοῦν ἔχοντες, εἴ γε μηκέτι πω καὶ νῦν ξυνιέναι δυναίμεθα, καὶ ἅπαν τὸ κῆδος καὶ πίστις ἐκείνη, καὶ τὰ συνθήματα, ὅρκιά θ' οἷς ἐπέπιθμεν παραχρῆμα, ὥσπερ ἂν ἢ πάλαι ποτὲ πρότερον, ἢ μηδέποτε γέγονε, μετ' εὐλογίας δ' ὅμως καὶ σεμνοτάτου καὶ γεννικοῦ τοῦ σχήματος καταλελύσεται καὶ οἰχήσεται, ὥσπερ ἐν ὀνείροις ἢ δράμασί τισι πρὸς ὀλίγον ἡμᾶς παίξαντα. Καὶ δεινοί τινές εἰσιν ἐνταῦθα καὶ πλεῖστοι γόητες, τά γε τοιαῦτα καὶ παραπλήσια ἕτερα βλασφημεῖν τε καὶ σκαιολογεῖν, οἱ μὲν καὶ παντάπασιν ἀναιδῶς, οἱ δ' ὄπισθεν καὶ τῷ δεσπότῃ λαθραίως, εὐνοίας δοκοῦντες ἀνάγκῃ καὶ προσχήματι, ἐπάρατοί τινες ὡς ἀληθῶς ἄνθρωποι καὶ βδελυροί, καὶ κακο-

νούστατοι καὶ παμμίαροι, καὶ οὓς ἄρα κακοὺς κακῶς δίκη τιμωρὸς ἐξολέσειεν, ὡς οὐδὲν ἔχουσιν ἱερὸν οὐδ' οὐδὲν ἀποτρέπονται φαῦλον καὶ νοεῖν καὶ λέγειν, καὶ δρᾷν, οὔτε θεοῦ νόμους, οὔτε προνοίας θείας ἐπισκοπὴν, οὔτε θέμιν ἡντινοῦν, ὅλως ἀνθρώπων, προορώμενοι καὶ πρεσβεύοντες. Τούτοις γε μὴν τοιούτοις οὖσι, καὶ τυμβωρύχοις τε καὶ κακούργοις ὁ ῥήξ, καὶ ἀεί πως ἐπιτιθεμένοις καὶ προσβάλλουσιν, ἀνεπιχείρητος ὢν παντάπασι πρότερον, καὶ οἷος μηδὲ ξυγχωρεῖν ὁπωσοῦν ἅπτεσθαι καὶ πειρᾶσθαι, ἐκπολορκεῖται νῦν γε ὅμως, καὶ ὁ χρόνος οὕτω τρίβων ὡς ἔφαμεν, δοκεῖ πως εἰ καὶ μὴ τελείως, κατασείειν αὐτὸν καὶ κλονεῖν· καὶ χρηστὸς μὲν ἂν ἦν παντάπασιν καὶ πάντα τι βέλτιστος, εἴ γε δὴ μηδόλως σφᾶς προσίετο, μηδὲ προσεῖχε νοῦν ὁντιοῦν, μὴ δ' ὦτ' ἐδίδου τοῖς γε τοιούτοις ἐπιβουλεύουσιν οὕτω δὴ σφόδρα καὶ σκαιουργοῦσι, κατὰ τῶν δικαίων καὶ τῆς ἀληθείας, ἐκτραγῳδοῦσί τε οὕτω καὶ κακορραφοῦσιν ἃ πάντων μᾶλλον ἢ θεοσεβῶν ἀνδρῶν εἰσὶ πλάσματα καὶ τολμήματα. Οὐκ ἀσύγγνωστος δὲ ὅμως, ὅτι δὴ μὴ καὶ σφόδρα κακουργοῦσιν οὕτω δοκεῖ σφίσι πείθεσθαι· ἀλλ' ἔοικε μὲν μὴ τ' ἀληθῆ, βουλομένῳ ταῦτ' εἶναι, μήτε δοκοῦντί γε εἶναι· καὶ συλλογίζεται τὴν ἐπιβουλὴν, δέδοικε δ' ὅμως μή πού τι καὶ παρὰ δόξαν ἀπαντῆσαν ἅπασαν καὶ παρ' εὐχὴν, ὧν αὐτοὶ κακῶς ἀεὶ λέγουσι καὶ συκοφαντοῦσιν, ἔπειτ' ἀπελέγξειεν αὐτὸν ἐν σφίσιν ἀσύνετον ὄντα τινὰ, καὶ ἀμαθῆ παντάπασιν ἑαυτῷ τοῦ βελτίστου τε καὶ ἀληθοῦς. Κἀγὼ μὲν οὐ λήγω πώποτε δὴ, καὶ νῦν τἀληθῆ παριστάνων καὶ διαβεβαιούμενος καὶ κατομνὺς ἄτρεπτα ἐκ βασιλέως, οὐδ' ἂν εἴ τι γένοιτο, οὐδ' ἂν εἴ τι συμβαίη δυσχερὲς, μενόντων ἐπ' ἀμφοῖν τῶν μερῶν, μᾶλλον δ' αὐτοῦ, τῶν ὅρκων ἀκλονήτων καὶ πάντα ὑγιῶν καὶ τῶν συνθημάτων ἁπάντων καὶ μένειν ὑπαγορεύων ὅσον οὐκ ἤδη θαρρούντως τὸ πέρας ἑκάστοτε κατ' εὐχὴν καὶ ἡδονὴν ἅπασαν, καὶ ἀεὶ περὶ τῶν χρηστῶν αὐτῷ σφόδρ' ἐνι-

στάμενος, καὶ τοὺς λογισμοὺς ἐπὶ ταῖς ἐλπίσιν ἱστῶν μὴ δραπετεύειν μηδ' ἐκτρέπεσθαι, καὶ νῦν μὲν χειμῶνας, νῦν δ' ἄλλα ἄττα, ὅσα εἰκὸς ἐπ' ἐξόδῳ τοιαύτῃ βασιλείῳ τῆς ἀναβολῆς αἰτιώμενος, μηδέν γε μὴν εἶναι ταῦτα, μή τ' ἄλλ' οὐδὲν ἅπαν ἐμποδὼν εἰς τὸ πέρας αὐτὸ τῆς ὑποσχέσεως, ὅρκοις τε οἷς ἔξεστιν ἅπασι τὰς ὁμολογίας ἐμπεδούμενος καὶ παραδιδοὺς αὐτὸς αὐτῷ τοὐμὸν σῶμα καὶ ἐνεχυράζων ἐπὶ τοῖς λόγοις, ὅ τι πῃ ἂν βούλοιθ' ὕστερον ἔπειτα χρῆσθαι μὴ γιγνομένων οὕτω. Ὁ δὲ πείθεται μὲν, βούλεται γὰρ καὶ πάνυ τοι πρόθυμός ἐστιν ἐφ' οἷς σπουδάζω, ὁ δ' ὅμως χρόνος παριὼν οὕτω πολὺς δοκεῖ πλήττειν· καὶ ἅμα οὐ μόνα τὰ ἐκ τῶν οἴκοι κακούργων τούτων καὶ βασκάνων ὅσαι ἡμέραι τε καὶ νύκτες ἐκπολεμεῖ τε καὶ ταράττει, καὶ δεδίττεται, ἀλλὰ καὶ τὰ τῶν ἔξω δὴ καὶ ἐγγειτόνων αὐτῷ τε καὶ ἡμῖν ἀρχόντων τουτωνί, τοῦτο μὲν ἐκ Μυσίας, τοῦτο δὲ ἐκ Θετταλίας, καὶ τῶν ἐκεῖ δεσποτῶν. Τὼ μέν γε ἀδελφὼ τούτω τὼ Θετταλὼ ἄρχοντε, ἐστὸν μὲν οἵω ἐστὸν, καὶ αὐτὸς οἶσθα καὶ πάντες ἴσασι, καὶ Δημοσθένης ὁ ῥήτωρ αὐτὸς ἀμέλει φησὶ πάλαι πρότερον, ὡς ἀεὶ τὰ Θετταλῶν ἄπιστα, καὶ κοινῇ τε ἐκ γένους ἐκ μακροῦ τοῦτο κλῆρος αὐτοῖν, καὶ ἰδίᾳ ἐκ τοῦ σφετέρου γένους τε καὶ προγόνου· νῦν γε μὴν καὶ ἐπιδεδώκατον τοῦ ψεύδους καὶ προσεπιδεδώκατον τοῖς ἀπονοίας καὶ κακονοίας αὐτῆς, τὴν μετὰ τοῦ βασιλέως ἕνωσιν οὕτω γνησίαν τοῦ Τριβαλλάρχου, καὶ τὴν εἰς τὰ ἐνταῦθα βασιλικὴν ἐπιδημίαν σφόδρα ὑφορωμένω καὶ δεδιότε κακόν τι πάντως ἐπ' αὐτοῖν φέρειν· καὶ τοίνυν ἐκεῖθεν καθεκάστην ἐνταῦθα φοιτῶσι κρύφα τε καὶ ἀναίδην (1) ἤδη γραφαί τε καὶ μηνύματα, καὶ δεινοί τινες ὑποβολιμαῖοι κακολογοῦντες καὶ πάντα διαστρέφειν πειρώμενοι τὰ παρ' ἡμῶν, νῦν μὲν ἀπαγορευόντων ὡς οὐδὲν τῶν ἡμετέρων ἀληθὲς, καὶ προδιδάσκειν

(1) Διορθοῦται· ἀνέδην.

πειρώμενοι μὴ πρόσέχειν ὅλως, μηδὲ πιστεύειν εἰκῆ, μηδ' εἰς τέλος ἀπατᾶσθαι ἅ φασι μὴ φύσις εἶναι, ἅτε ἀκριβῶς εἰδότες αὐτοί, οὐκ οἶδ' ὅπως οὐδ' ὅθεν, ἐκ βαράθρων, καὶ πεπειραμένοι μάλιστα ἐκ τῶν σφετέρων, νῦν δὲ τὰ ἑαυτῶν προκρίνοντες καὶ συνάπτεσθαι πάλιν καὶ συμβαίνειν ζητοῦντες, καὶ ἢ τὰ ἐπ' ἀδελφῇ πρότερα κήδη δοκεῖν (1) καὶ συνδεῖν νῦν γε εἶναι ἀσφαλέστερον, καὶ κοινῇ κατὰ Ῥωμαίων φρονεῖν ὅρκοις ἀρρήτοις τισὶ καὶ ἀρρήκτοις ἐμπεδωθέντες εἰς ἀχώριστον παντάπασιν ἕνωσιν, ἤ, ἣν μὴ τοῦθ' αἱροῖτο, μετὰ τῶν αὐτῶν ὅρκων ἑνοῦσθαί τε καθ' ἡμῶν καὶ φρονεῖν τὸν ἅπαντα χρόνον ἕν, καὶ νέα πράττειν νυμφεύματα δεσμῷ φιλίας ἀτρέπτου, καὶ προσλαμβάνειν ἐπ' ἀδελφιδῇ νυμφίον θάτερον αὐτῶν τὸν πρῶτον. Ταῦτά τε τοῖν ἀνδροῖν τούτοιν καὶ παραπλήσι' ἕτερα καὶ χείρω, καὶ οὐκ ἔχω λέγειν ἑξῆς ἅπαντα. Ἡ δέ γε χρηστὴ βασιλέως αὕτη καὶ κοσμία καὶ πάντολμος ἀνεψιὰ Μυσῶν δεσπότις, ἡ παλαμναίᾳ χρησαμένη τύχῃ προτρίτως καὶ ἀρτιπενθὴς χήρα, καὶ ὁ νεουργὸς οὗτος δὴ Σκύθης καὶ πολὺν ἤδη πλάνον δραπέτης, ἐξ ἀλλοδαπῆς νέον ἐπιδεδημηκὼς τῇ φίλῃ ταύτης κόρῃ νυμφίος, ὅσα καὶ οἷα παρέσχον τε, καὶ οὐδέπω νῦν λήγουσι, ῥηγί τε κἀμοὶ πράγματα συχναῖς καθ' ἡμῶν πρεσβείαις, συχνοῖς ἀγγέλμασιν ἐκλιπαροῦντες σφᾶς τε προσίεσθαι καὶ μηδὲν τοῖς ἐκ βασιλέως θαρρεῖν ὡς οὐδὲν ἀληθὲς ἔχουσιν, οὐδ' οἷον καὶ τέλος ποτὲ λήψεσθαι. Καὶ τοίνυν ἄλλοι τε περὶ τούτων καθεκάστην σχεδὸν ἐκεῖθεν ἡμῖν ἀφικνοῦνται καὶ μάλα συχνοὶ κατεπείγονται καὶ σπουδάζουσι· καὶ εἷς γε δή τε οὗτος ὁ προὔχειν ὡς ἔοικέ τι δοκῶν, ἐξαρχῆς ἀφιγμένος, ἡνίκα δὴ καὶ αὐτὸς ἐκεῖθεν μέχρι καὶ νῦν ἐνταῦθα σὺν ἐμοὶ μένει, καὶ τρίβει τὸν ἅπαντα χρόνον ὅσον ἐγώ· τλήμων ἐκ γειτόνων ἐνθάδε συμπαρὼν ἐμοί, καὶ ἀντιπρεσβεύων ἐφ' ἑκάστοις καὶ ἀναπείθων ἅττ' ἂν φαίην αὐτός,

(1) Ἐν τῇ ὤᾳ· γρ. κινεῖν.

ἀνθρώπιόν τι φλαῦρον καὶ καταγεγηρακὸς, ἀμαθίᾳ τε πάσῃ καὶ κακονοίᾳ καὶ φλυαρίᾳ, καὶ πεπολιωμένον, ἀλλ' ἐπιεικῶς εὔηθες, καὶ κατὰ μηδὲν ἀληθείᾳ προσῆκον οὐδ' ἱκανὸν ὑγιεῖ χρείᾳ τινί. Τούτῳ με δεῖ πολλάκις ἄλλῃ τε δὴ καθ' ὁδὸν συναντᾶν καὶ ἐς τοῦ ῥηγὸς συνεῖναι καὶ ὁμέστιον γίγνεσθαι. **Κ**αὶ συνῆμεν ἤδη πολλάκις ἐς αὐτοῦ πρότερον ἐν ἑστιάσεσίν τε καί τισιν ἄλλαις οἶμαι συνελεύσεσιν, οὐ τῶν αὐτῶν ἀξιούμενοι· μὴ γὰρ οὕτω ποτὲ γένοιτο, μὴ δ' ἄρα τοσοῦτο πάθοιμεν· οὐδὲ γὰρ ἂν ἠνεσχόμεθα, καὶ τὸ πρᾶγμα εὔδηλον, ὡς οὐδ' οὕτως ἔσοιτό ποτε· παρῆν δ' οὖν ὅμως, ὡς ἔφην ἐνίοτε, καὶ συνῆν γε ἡμῖν, ἐπίτηδες ῥηγὸς πράττοντος, ὡς ἂν αὐτόθι παρών τε καὶ ἀκροώμενος περὶ ὧν ἰσχυριζόμην αὐτὸς ἐν τοῖς ἡμετέροις εὖ μάλα προσιεμένου καὶ σπουδάζοντος αὐτοῦ, αὐτόθεν ἀπαγορεύοι καὶ πλήττοιτο καὶ ἀπελέγχοιτο περὶ ὧν λέγει, λέγων μηδὲν ὑγιὲς ὁρῴη τε προδήλως, ὡς ὧν ἡ δεσπότις ἐρῴη πάντων ἐστὶν ἀποτυγχάνουσα ῥᾷδ' ἡ ἄνθρωπος, καὶ διαμηνύεται μετ' αὐτοῦ τε καὶ πάντων ἄλλων, οἳ συχνοί γ' ὡς ἔφην ἡμῖν καταπεφοιτήκασιν, οὐδ' ὡς ἔπος εἰπεῖν, σωφρονικὸν, οὐδ' ἀστεῖον, οὐδ' εὐγενές, ἀλλ' ὅπως ἂν ἀνασοβήσειέ τε τὸν ῥῆγα καὶ τοὺς λογισμοὺς ἀνατρέψειεν, ἐφ' οἷς νῦν γε καλῶς ἤδρασται, μένων, καὶ ποθῶν τε καὶ προσδοκῶν, καὶ πεποιθὼς τὸ βασίλειον κῆδος ὅσον οὐκ ἤδη νῦν ἀπαντῶν καὶ περαῖνον. Ταῦτά τε δὴ βούλεται καὶ πάντα τρόπον ὡς ἔφην, κατασεῖσαι τοὺς λογισμοὺς ἐκφοβοῦσα παραπλησίως, καὶ αὐτὴ τοῦ πολλοῦ, ὡς ἀκριβῶς εἰδυῖα, καὶ σὺν εὐνοίᾳ δῆθεν προλέγουσά τε καὶ πείθουσα, ὡς πάντα τὰ ἐξ ἡμῶν ψευδῆ καὶ μετ' ὀλίγον οἰχήσεται, καὶ μὴ χρῆναι πιστεύειν ἀμαθῶς, μηδ' ἀπατᾶσθαι μέχρι παντός· τούτοις γε μὴν ἐπίτηδες συνείρει τε καὶ μετοχετεύει, καταμαστροπεύουσα καὶ γοητεύουσα, καὶ γέλωτα μὲν ὡς ἀληθῶς ὀφλισκάνουσα τῆς ἀκαίρου τέχνης καὶ πείρας, σπουδάζουσα δ' ὅμως ἐφ' ἑαυτὴν ὡς οἷά τε ἐστὶν ἑλκύσαι τὸ νύμφευμα, παραλύσασα τοὺς μεθ' ἡμῶν ὅρκους καὶ τὰ συν-

θήματα, προμνωμένη δηλαδὴ καὶ κατεγγυῶσά τε καὶ κυδαίνουσα τὰ τῆς τῶν Μυσῶν ἀρχῆς, ἧς δεσπότις αὐτὴ, καὶ ἧς δι' αὐτὴν ἔσεται πάντως αὐτός. Τοιαῦτ' ἄττα συνελόντ' εἰπεῖν καταφλυαρεῖ τε καὶ καταψεύδεται προστιθεῖσα καθ' ἡμῶν ἀγγελίας ἑκάστοτε δυσχερεῖς, καὶ πάντ' ἐπιχειροῦσα πρὸς τὸν σκοπὸν, καὶ φήμας ἐκπέμπουσα νῦν μὲν ὡς ἐπίασι τὴν βασιλέως οἱ Σκύθαι καὶ λεηλατεῖται τἀπὶ Θράκης, νῦν δὲ ὡς τοῦ βασιλέως τὰ πρὸς ἕω νοσεῖ· καὶ ταύτῃ λοιπὸν ἐκεῖνος ἐμμέριμνος, καὶ μὴ χρῆναί τι προσδοκᾷν ἐκεῖθεν αὐτὸν ἀγαθόν· νῦν δὲ ἄλλο τι πάντως ἀπαίσιον καὶ οὐδὲν ὅτι οὐ φαῦλον· καὶ τίς ταῦτα πάντα κατὰ θνητῶν ἀνθρώπων μυθήσαιτο, φεύγων ἅμα μὲν τὸν λῆρον, ἅμα δὲ τὸ βλάσφημον; καὶ φειδώ τις ὄντως ἀνθρώποις ὅπεστι, περὶ τῶν τοιούτων καὶ μεμνῆσθαι καὶ λέγειν, πλήν γε ὅτι βασιλέα ταῦτα πάντα προειδέναι χρή, καὶ σέ γε αὐτὸν προειδέναι τε καὶ προλέγειν, ὄντα γε ἐν οἷς εἶ, καὶ μέσον τῶν κοινῶν ἑστῶτα, καὶ μὴ παντάπασι παρορᾷν ὡς λόγου μηδενὸς ἄξια, ἵνα μὴ δή τι πολλάκις ἔκ γε τῶν τοιούτων καὶ τῆς ἡμετέρας βραδυτῆτος παρὰ δόξαν ἀπαντήσειεν, εἰωθὸς οὕτως ἐνίοτε γίγνεσθαι καὶ τῶν κακῶν καὶ ψευδῶν τε καὶ φαύλων ὑπ' ὀλιγωρίας ἡττᾶσθαι τἀληθῆ τε καὶ ἀγαθὰ, καὶ κουφοτάτου πράγματος ὥς φασι τῶν κακίστων λόγων μεγίστην ἐνίοτε ζημίαν ἀπαντᾷν ἐν τοῖς πράγμασιν. Ὅθεν δὴ μὴ πάντ' ὦ γενναῖε περιφρονείσθω, μηδὲ θάρρει τοῖς ἀληθέσιν ὡς ἀηττήτοις καὶ ἀτρέπτοις παντάπασιν, ἀλλ' ἐπιστρέφου καὶ τῶν λήρων τῶν δε, καὶ φαύλων καὶ τῶν αὐτά γε καὶ λεγόντων δὴ καὶ πραττόντων ἐπιστρέφου, καὶ πειρῶ τάχει τῶν καλῶν καταστρέφειν τὰ χείρω καὶ κατελέγχειν, καὶ τὰ βελτίω, βελτίω πάντως οὕτω περὶ ὁτιοῦν λαμβάνοντα, εἰδὲ μή γε λόγος ἄλλος, καὶ πάντων εὐπεριφρόνητα. Καὶ τοίνυν καὶ τὸ νῦν οἶμαι κῆδος καὶ ἡ τῆς πράξεως ταύτης οἰκονομία καὶ βούλευσις, εἴ γε ἐπ' ἀληθείας βασιλεῖ, ὡς ἄρα γε ἐπ' ἀληθείας ὄντως διανενόη-

Digitized by Google

ταί τε καὶ λυσιτελοῦν κέκριται καὶ κεκύρωται καὶ τὸ γ' ἐπ' αι
τῷ βασιλεῖ πεπέρανται, καὶ αὐτὸς ἀκριβῶς οἶδα,, καὶ οὐδε
ἄλλος ἐρεῖ οὐδ' ἀμφιγνοήσει μετρίως τῶν ὅλως εἰδότων βασι
λέα, τά τε ἄλλα καὶ περὶ ὧν ἐφάπαξ, κατερεῖ τε καὶ κατε
μόσεται, τίς ἡ βραδυτὴς αὕτη; τίς ἡ κατ' ὀλίγον ἐς τοσοῦτε
ὑπέρθεσις; βεβούλευται, κέκριται, ἤνυσται δή, καὶ ἐπ' ἀμφο
τέρων τῶν μερῶν κατώμοσται, αἱ ὁμολογίαι πᾶσαι, αἱ συμβά
σεις, καὶ τὰ συνθήματα πέρας ἔχουσι. Δεῖ δὲ ἔργου λοιπό
δεῖ δὲ τάχους, καὶ τοῦ τὰς ἐπιβουλὰς ταύτας ἐπισχεῖν τε κα
ἀνακόψαι δεῖ, μή τι παρ' ἐλπίδα λυμήνωνται, καὶ μὴ πάντ
ἐν πᾶσι τοῖς λόγοις πιστευτέον καὶ τοῖς συνθήμασιν, ἀλλὰ κα
τὸ μέγιστον ἐπὶ τοῖς ἔργοις ὥς φασι πλεονέκτημα, τὸν καιρὸ
προσλαβεῖν σπουδαστέον, ἀλλ' οὐκ ἀμελητέον, οὐδὲ παροπτέο
ἀεὶ προϊόν, ἀλλ' ὡς εἰκὸς προσληπτέον, μᾶλλον δὲ προληπτέο
ὡς οἷόν τε. Ἐγὼ μὲν γὰρ εἰς νῦν ἀντέσχον ταῖς ἐπηρείαι
ταύταις καὶ κακονοίαις, καὶ λέγων καὶ πείθων καὶ μέχρι παν
τὸς τοῖς λόγοις καὶ τοῖς ὅρκοις χειρούμενος, καὶ ἴσως γε κα
μέχρι τινὸς ἑξῆς αὖθις ἀντισχήσω, καὶ οὐκ ἀμέλει ταχέω
νῶτά τε δώσω, καὶ ἀπογνώσομαι, καὶ τραπήσομαι, καὶ ἡττή
σομαι, εἰς τέλος δὲ πάντως οὐκ ἀντισχήσω, οὐδὲ λόγοις αὐτὸ
περιέσομαι· ἀλλ' ἄδηλον εἴ γ' ἐπὶ παντὸς ἀεὶ τὰ βελτίω τις λέ
γων νικῴη, καὶ οὐ τῶν φαύλων ἡττήσεται, καὶ τὰ χείρο
παρέλθοι τὸν λόγοις μόνοις ἐπιχειροῦντα καὶ τούτοις ἀεὶ θαρ
ροῦντά τε καὶ βραδύνοντα, ὡς ἔστι λόγος μὲν ἅπας καὶ ἐπ
πάντων ὡς ἀληθῶς ἔργου σκιή, ἐπὶ δέ γε τῶν βαρβάρων του
τωνὶ καὶ ὀλιγόνων τοῦτο δὴ μάλισθ' οὕτως ἔχει, καὶ οὐ πάν
τα ῥᾷστα λεγόντων προσίενται, καὶ μάλιστά γε ἐν τοιαύται
ἐπιβουλαῖς, προσβολαῖς τε καὶ κακουργήμασι, καὶ ὅτι δὴ πλέο
αὐτῶν τε καὶ τῶν ἄλλων τοῖς λόγοις προχειρότατα δοκοῦμε
ἡμεῖς χρῆσθαι καὶ κατισχύειν καὶ πείθειν, καὶ μεταπείθειν
καὶ πάντα στρέφειν ὡς ἂν βουλοίμεθα· κἀγὼ μὲν ἐν τοῖς πράγ

Digitized by Google

μασιν αὐτὸς ὤν, ἅττα δὴ ξυνελογισάμην καὶ ξυννενόηκα, καὶ δεδήλωκα πάντα ἑξῆς καὶ κατείρηκα, καὶ εἰσηγησάμην ἅττ' ἂν δοκοίην βέλτιστα· νομίζομεν δὲ οὐχ ὅσα νοοῦμεν αὐτοὶ βελτίω δὴ καὶ λυσιτελοῦντα, ἀλλ' ἅττα δὴ βασιλεῖ γίγνεται, καὶ πειθόμεθα πολυπραγμονοῦντες, ἔπειτ' οὐδὲν οὐδ' ἀνερευνώμενοι· καὶ μὴν ὅσα γε ἐπὶ τοῖς πράγμασιν αὐτοὶ ξυνορῶμεν, εἰσφέρειν νομίζομεν, ὡς νῦν γε καὶ αὐτὸς ἐν οἷς ἄρα νῦν εἰμί, διὰ τῶν μακρῶν σοι τούτων γραμμάτων, ἐπῆλθόν τε καὶ διείλεγμαι, καὶ γεγένησαι δι' αὐτῶν μεθ' ἡμῶν, ἃ μείζω μὲν ἢ κατ' ἐπιστολὴν ὄντως ἐκτέταται, μείω δὲ ἢ ὡς ἂν βουλοίμην αὐτός, καὶ ἀκορέστως ἔχω τῆς σῆς ἐντυχίας, αὐτόθι τε δὴ παρὼν καὶ συνὼν ἥδιστα, καὶ μάλιστα νῦν γε ἐς τοσοῦτον ἀπόδημος, καὶ ἅμα τι κἀντεῦθεν ἡμῖν εἴη κέρδος τοῦ μήκους τῆς ἐπιστολῆς ταύτης εἰ τ' οὖν τοῦ βιβλίου διὰ τῆς σῆς σοφίας τε καὶ φιλίας.

ΘΕΟΔΩΡΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΧΡΥΣΟΒΟΥΛΛΟΥ ΠΡΟΟΙΜΙΟΝ.

† Ὡς ἀληθῶς ἄρ' ἔοικεν ἡ τῶν ἀπογόνων τοῖς γεννήτορσι διαδοχὴ μὴ μόνον τρόπον τινὰ ἀθανατίζειν τὴν φύσιν, ὡς ὁ παλαιὸς λόγος, καὶ καθάπαξ ἀζήμιον παρατείνειν καὶ συντηρεῖν, ἀλλ' ἡνίκα δὴ καὶ τὰ ἑκατέρωθεν προδήλως ἀπαντᾷ σύμφωνα καὶ περιφανῆ καὶ λαμπρὰ τῇ τύχῃ ἢ ἀρετῇ δή τινι καὶ ἀνδραγαθίᾳ κατ' ἀνθρώπους, ὡς νομίζεται τῇ χρήσει τοῦ βίου, ἢ καὶ κατ' ἄμφω, καὶ τὴν εὔκλειαν αὐτὴν ἀθανατίζει τὰ κατὰ τοὺς εὖ βιοῦντας οὕτως ἑξῆς τοῖς βιώσασιν εὖ ἤδη πρότερον προγόνοις· καὶ θαυμάσαι γε καὶ λίαν εἰκότως ἄν τις καὶ ἅμα εὖ μάλ' ἥδοιτο τῇ ξυντυχίᾳ ταύτῃ προσέχων τὸν νοῦν, καὶ ὥσπερ ἐν τῷ παγκοίνῳ τῷδε τοῦ βίου θεάτρῳ βέλτιστ' ἐμπανηγυρίζων καὶ ἥδιστα τῇ ἐποπτείᾳ ταύτῃ τῆς καλλίστης συν-

εχείας τε καὶ διαδοχῆς ἐπὶ τοῖς προλαβοῦσι τῶν νῦν ἑκάστοτ παριόντων τὸ τοῦ βίου θέατρον, καὶ φιλοτίμου ταύτης νομῖ καὶ φορᾶς τοῦ χρόνου· οἷον γὰρ δὴ κάλλιστον ἰδεῖν τε κα λογίσασθαι κλῆροι πατρῷοι τῶν φυσάντων τοῖς ἐξ αὐτῶν πα ραπεμπόμενοι καὶ πομπεύοντες λαμπροὶ λαμπρῶς, κἀκεῖθεν ὡ σαύτως ὡς εἰπεῖν ἀντιδιδόμενοι, ἐφάμιλλ' ἔχοντες βέλτιστα, κα οὐ μᾶλλον τιμῶντες τῇ δόσει τοὺς χορηγοῦντας, ἢ τῇ ἀντ δόσει, καὶ μηδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον τιμῶντες τοὺς ἐκδι χομένους τε καὶ ἀντιδιδόντας, καὶ μακαρίους ὄντως καὶ εὐγε νεῖς πᾶσι προδεικνύντες οὐ μόνον ἐκ τῶν ἔργων τε καὶ δώρο τῆς τύχης, ἀλλὰ καὶ ἐκ τῶν οἰκείων κατὰ τῆς κατ' αὐτοὶ ἀστειότητος· καὶ νομίζεται γὰρ οὐ τἀγαθὰ μᾶλλον ἐκδέξασθι κάλλιστον καὶ μακάριον, ἀλλὰ καὶ τὸ παρ' ἑαυτῶν σφίσιν αι τοῖς προσεπιχορηγῆσαι τῶν φθασάντων ἀξίου. Ἀλλ' εἰς τί δ ταῦτα καὶ λέλεκται; Ὁ περιπόθητος γαμβρὸς τῆς βασιλεί μου μέγας δομέστικος κῦρ Ἰωάννης Κανταχουζηνὸς ὁ Παλαι λόγος, ἔχει μὲν ὄντως ἐπιδηλότατα ταῖς προγονικαῖς ἐκ μα κροῦ καὶ λίαν πόρρωθεν λαμπρότησι περιβλέπεσθαι, καὶ μεγι λης κληρονόμεῖν αὐτὸν (1) εὐκλείας, καὶ πλεῖστα κειμήλια προ ποκείμενα καὶ θησαυροὺς μεγαλοδοξίας προσόντας ἀποδεικνύε ἑαυτῷ· ἀλλ' οὐδ' αὐτὸς ἀναξίως αὐτῶν ὁρᾶται μήτε χρησάμ νος, μή τε χρώμενος, μή τ' εἰς αἰσχύνην ἀπαντῶν ἐκ τῶν ο κοθεν καὶ κατ' αὐτὸν, οὐ τοῖς φθάσασι μᾶλλον ἢ αὐτὸς ἑαυτ τῷ μὴ πεφυκέναι πρὸς ἐκεῖνα καλῶς ἡρμόσθαι πόθεν· ὅς γ' ἔτι παιδὸς ἀρχόμενος σύνεσιν ἐν ἁπαλῇ πρὸ τῶν νενομισμένι τῇ φύσει χρόνων τῇ ἡλικίᾳ ὑπέφαινεν ἀρίστην, καὶ τελεία ἐπιπρέπουσαν καὶ περὶ τοῦ μέλλοντος ἐπαγγελλομένην μέγιστ ἀρεταῖς δ' ἔπειτα συνασκούμενος γυμνασίαις τοῖς πᾶσι τῶν τοιο των ἔργων τρόποις βέλτιστ' ἀνύτων εἶχε, καὶ πάσῃ τῇ ἡλ

(1) Ἐν τῷ κώδηκι διορθοῦται· αὐτός.

Digitized by Google

κιώτιδι νεότητι διαπρέπων ὡρᾶτο, καὶ προανιστάμενος τῶν νομίμων χρόνων ἥρπαζε σχεδὸν τὴν ἡμετέραν ἐποπτικὴν καὶ δεσποτικὴν κρίσιν, ὥστε ἡγεμονιῶν ἀξιοῦσθαι· χρωμένοις ἡμῖν οὐκ ἦν μέμψεως αἴτιος, ὡς οὐ κατὰ καιρὸν χρωμένοις, ἅμα μὲν νουνεχῶς ἅμα δ' ἐπιμελῶς, ἅμα δὲ καὶ γεννικῶς καὶ ἀρεϊκῶς οἷς ἂν ἐπισταίη χρώμενος, καὶ πεῖραν λοιπὸν ἐφ' ὡντινοῦν ἑαυτοῦ διδοὺς μειζόνων ἔτ' ἀξιοῦν ἑαυτὸν ἔπειθε, καὶ προὐχώρει συμμετρούμενος τοῖς πράγμασι ταῖς κρείττοσι χρείαις ἱκανούμενος, καὶ ὧν πλείων λόγος ἡμῖν. Ταῦτ' ἄρα καὶ εἰς ὃ νῦν ὁρᾶται καταστὰς καὶ συντεταγμένος τοῖς πρώτοις τῶν ἐν τέλει καὶ γνησίων ἡμῖν, καὶ γνώμαις δοκιμαζόμενος καὶ πάσαις πράξεσι, τοῦτο μὲν τόλμης ἀρεϊκῆς, τοῦτο δὲ τεχνικῆς ἐμπειρίας περὶ τὰ πρακτέα, καὶ ὡς ἔπος εἰπεῖν πάσῃ χρήσει καὶ πᾶσιν ἔργοις ἑαυτὸν διαρκῶς ἐξισούμενος τὸν ἐκ τῶν φυσάντων, ὡς εἴρηται πρότερον κλῆρον τῆς εὐδοξίας οὐ συντηρεῖ μόνον ἀμείωτον, ἀλλὰ καὶ προάγει μάλ' εὐγενῶς, καὶ κατ' εὐχὴν αὐτῶν τῶν φυσάντων· ἀλλὰ καὶ τοῦτον ἐξ ἡμῶν ἔτι κλῆρον κατ' αὐτὸν ἔχει, προσανέχειν αὐτοῦ γνησίως κἂν τοῖς μάλιστα φιλουμένοις ἡμῖν αὐτὸν ἀριθμεῖν, καὶ πρὸς εὐποιΐας καὶ ταύτας διὰ πάντων σχεδὸν τῶν τρόπων ἑτοίμους ἡμᾶς ἔχειν αὐτῷ, καὶ οἴκοθεν ὡρμημένους, καὶ ταῖς αἰτήσεσιν αὐτοῦ ἡδέως κατατιθεμένους. Ὅθεν δὴ καὶ ἐπὶ ἐξητήσατο τὴν βασιλείαν μου . . . .

Μονῳδία εἰς τὸν βασιλέα κὺρ Ἰωάννην τὸν Γ
λαιολόγον ἐκδοθεῖσα παρὰ Θεοδώρου τ
Ποτακίου.

Ἐμοὶ μέν, ὦ παρόντες, τρόπαια καὶ νίκας κατὰ βαρ
ρων, καὶ γενναῖα βουλεύματα κατ' ἐχθρῶν, καὶ πόλιν ἀνάσ
τον, ἀοίκητόν τε γῆν ὑπὸ πολλῶν ἐκ παλαιοῦ γεγονυῖαν :
νῦν οἰκουμένην καὶ τριήρεις πελάγει φοβούσας τοὺς πολεμί
καὶ ἀσπίδας καὶ κράνη καὶ θώρακας, καὶ παντοίων ὅπλων π
ρασκευάς, ἃς ὁ βασιλεὺς νουνεχῶς ἄγαν κατὰ τῶν πολεμ
πρὸ τοῦ καιροῦ καὶ τῆς χρείας ἐξαρτύειν ἠπείγετο, λέγειν
σπουδῆς ποιουμένῳ, ἡ μέλαινα τῶν Ρωμαίων τύχη τὰ εἰωθό
καὶ αὖθις δρᾷν βουλομένη ἐκ τῶν τῆς ἀπωλείας βαράθρων
ξαίφνης ἀναπεπηδηκυῖα, ἑτέραν ἡμῖν πρόθεσιν προὔβαλε,
παλινῳδίαν ᾄδειν, ὦ γῆ καὶ ἥλιε, παρεσκεύασε, καὶ τὰ τ
βασιλέως ἐγκώμια πρὸς θρήνους καὶ ὀδυρμοὺς ἔτρεψε, καὶ τ
ἡμετέραν χεῖρά τε καὶ γλῶτταν ἤδη τῷ τάφῳ σπενδομέν
ὑπό τε τῶν μακρῶν νόσων καὶ τῆς παρ' ἐλπίδα συνεχθεί
ἡμῖν νυνὶ συμφορᾶς, μονῳδίας καὶ τραγικὰς ὑποθέσεις οἰκτρ
ἱστουργεῖν παρώτρυνεν. Ἀλλ' οὐκ ἔχω τῶν τοῦ βασιλέως καλ
τί πρῶτον ὀδύρομαι· πότερον τὴν τῆς ἡλικίας ἀναδρομήν, ο
τως εὐφυῶς ἄγαν ἔχουσαν διὰ πάντων, ἢ τὸ τοῦ προσώπ
εὔχρουν τε καὶ χάριεν, καὶ τὴν ἐκεῖθεν ἐκπηδῶσαν φαιδρότητ
ἢ τῶν ὀφθαλμῶν τὸ ἡδὺ καὶ προσηνὲς καὶ ἥμερον, καὶ πάντ
ὑφέλκον ἐκτόπως πρὸς τὸν τῶν ἑαυτοῦ καλῶν ἔρωτα; Ἐ
μὲν γὰρ οὐδ' ἱκανὸς ἂν εἴην τὰ ἐκείνου πάντα κατ' ἀξίαν ὀδ
ρεσθαι· καὶ διατείνομαι δέ γε τοῦτο τρανῶς πρὸ τοῦ γε
τοῖς ἐφεξῆς πειραθῆναί με τῶν ἐλέγχων ἐς τὸ πάνυ τοι ἀκ
βές, ἐπεὶ καὶ τὸ πάθος, οὔτε δὴ τοσοῦτον, ὅσον ἄν τις ἄλλ
ἀρκούντως ἀνακλαύσασθαι δυνηθείη, οὔθ' ἡμεῖς τοσούτῳ πελ

γει συμφορᾶς ἀδοκήτου συνειλημμένοι, τὸν νοῦν ἐῤῥωμένον κεκτήμεθα, ὥστ' ἀποδοῦναι τῷ μεγάλῳ βασιλεῖ Ἰωάννῃ τοὺς θρήνους ἀξίους, ἀλλ' ὑπὸ τοῦ πάθους καὶ τὸ φρονεῖν παντάπασιν ἀφῃρήμεθα· καὶ δέος μὴ θρήνους θρήνοις ὡς εἰκὸς ἐπὶ τῇ τοῦ βασιλέως τελευτῇ συνείρειν ἐθέλοντες, ὑπὸ τῆς ἄφνω κατασχούσης ἡμᾶς λύπης καί τι τῶν οὐ γιγνομένων παρεφθεγξαίμεθα. Τούτῳ δὴ τῷ πάθει σφόδρα κατείλημμαι· οὐδὲ γὰρ μικρὰν ὁρῶ βλάβην τοῖς Ῥωμαίοις συνενεχθῆναι, οὐδ' ὀλίγους τὸν ἀριθμὸν βεβλαφέναι τὴν τύχην νομίζω, ὅτι γε μὴ συλλήβδην εἰπεῖν σύμπαν τὸ κατάλειμμα τοῦ γένους τῶν χριστιανῶν ἐκτετρίφθαι· τίς γὰρ οὐκ ἂν οἶδε τῶν πάντων, ὅπως ῥώμης σώματος, ὅπως δὲ σπουδῆς, ἐν οἷς τὸ πράττειν προὐργιαίτερον ἐνομίζετο, καὶ ὅπως μὲν συνέσεως, ὅπως δὲ γνώμης μάλα χρηστῆς τε καὶ ἡμέρου καὶ φιλανθρώπου ὁ πάντ' ἄριστος οὗτος καὶ γενναῖος βασιλεὺς εἶχεν; ἐξ ὧν οὐ μόνον αὐτός τ' ἐκεκόσμητο λίαν λαμπρῶς, καὶ οἱονεί τι συμφόρημα καθειστήκει παντὸς ἀγαθοῦ, καὶ κόσμος ἦν εἰπεῖν τῷ οἰκείῳ γένει περιφανής, ἀλλὰ καὶ σύμπαν τὸ τῶν Ῥωμαίων γένος σχεδὸν οὐ μικρὰν οὐδὲ τὴν τυχοῦσαν, ἀλλὰ πλείστην ὅσην διὰ ταῦτα πάλιν ἐκαρποῦντο δήπουθεν τὴν ὠφέλειαν. Καὶ τοῦτο παντί που γένοιτ' ἂν δῆλον, ἔκ τε ὧν ἐκεῖνος καιρῶν τῶν Ῥωμαϊκῶν ἦρξε πραγμάτων, μηδὲν ἴδιον προσκτήσασθαι βουληθείς, μηδὲ τὰς ὀφρῦς ἐπηρκὼς πώποτε, ἀλλ' ὡς εἷς τις εἶναι τῶν ὑφ' αὐτόν γε ἐθελήσας μᾶλλον δοκεῖν, πλὴν μόνου τοῦ τῆς βασιλείας σχήματος, ὥστε ὧν αὖθις οἱ δείλαιοι Ῥωμαῖοι τῆς ἐκείνου χρηστῆς τε καὶ ἡμέρου καὶ φιλοτίμου γνώμης λαμπρῶς ἀπώναντο· εἰ δὲ καὶ μὴ πάντες τῶν τοῦ βασιλέως δωρεῶν καὶ τιμῶν καὶ χαρίτων καὶ τῶν ἄλλων ἀγαθῶν ἀφθόνως ἀπολελαύκασιν, οὐ τοῖς ἐκείνου θειοτάτης ψυχῆς καὶ γνώμης τοῦτ' ἄν τις τιθείη δικαίως· ὅτι γε μὴ τῆς ἀτάκτου τοῦ καιροῦ φορᾶς πολύ τι τὸ ἀνώμαλον καὶ ἄνισον κεκτημένης καὶ πολλὴν ἐπαγούσης ὁση-

Digitized by Google

μέραι τοῖς τῶν Ρωμαίων πράγμασι τὴν ζάλην τε καὶ σκο-
μαιναν, καὶ τὰς τῶν ἀνθρώπων γνώμας ἐξαλλαττούσης
πρὸς διάφορα χρώματα καὶ ταῖς τῶν πραγμάτων μεταβολ
συναπτούσης ἀναλόγως ταῖς τῶν φύσεων ἰδιότησι. Τὰς γ
τοιαύτας τύχας καὶ κῆρας, καὶ τοῦ τοιούτου πλάνου καὶ κύ
τὸν ἀστάθμητον δρόμον καὶ τὰς ἐκεῖθεν ἀεὶ μεταβολὰς τ
Εὐρίπων ὁ πάντ' ἄριστος ὑφορώμενος, οὐ πάνυ πρὸς πάντας
φιλότιμον ἐπεδείκνυτο τῆς ψυχῆς, ὥσπερ καὶ ἐκ μέσης
ψυχῆς· ἀλλ' ἐσχίζετο δήπου τὴν γνώμην οὐκ ἐρρωμένους τ
λογισμοὺς ἐνίων ὁρῶν, ἀλλὰ δίκην παλιρροίας ὑδάτων ἄλλοτ'
λως πρὸς ὃ ἂν ὁ καιρὸς διδῷ ῥᾷστα δήπουθεν μεταβεβλημένο
Οὐ μὴν ἀλλὰ τούτων οὕτως ἐχόντων, εἰ καὶ μὴ πάντες,
λ' οὖν οἱ πλείους εὖ πεπόνθασιν ὑπὸ τῆς ἐκείνου μεγαλοδώ
δεξιᾶς, καὶ μάλιστά γε τὸ δουλεῦον ἀεὶ καὶ σὺν μόχθῳ μακ
τὸ ζῆν ἑκάστοτε ποριζόμενον· τούτου γὰρ πλεῖστον ἔμελε
δε τῷ βασιλεῖ ὡσπερεὶ καὶ τῷ ἐκείνου πατρὶ τῷ μεγάλῳ
σιλεῖ Ἀνδρονίκῳ. Ἀλλὰ ταῦτα μὲν ἄλλου του καιροῦ συγγρ
ματά τε καὶ διηγήματα· νυνὶ δ' ὁ παρὼν ἡμᾶς ἐπὶ τοὺς
βασιλέως θρήνους καλεῖ. Οἶμαι γάρ, εἰ καὶ μὴ πάλαι τοῖς
θρώποις τὸ θρηνεῖν ἐπὶ τοιαύταις συμφοραῖς νενόμισται,
αὖ ἐπὶ τῆς τοῦ βασιλέως τελευτῆς δικαίως τοῦτ' ἄρξασθαι.
γὰρ οὐκ ἄν τις τῶν ἐκείνου θρηνήσειεν, ἢ μᾶλλον τί τις
ἀξίως ὀδύραιτο; οὐ γὰρ Σιμωνίδης, οὐ Πίνδαρος, οἱ ταῖς σ
φοραῖς τοὺς θρήνους ἀναλόγως ἱστουργεῖν δυνάμενοι, οὐδὲ
Ὀρφέως κιθάρα, καὶ Μουσαῖος (καὶ) Θάμυρις, τοσοῦτον πάθος
ξίως ἤρκεσαν ἂν ἀνακλαύσασθαι· οὐδ' εἶχον ἄν, ὥς γ' ἐμοὶ κρι-
πότερον ποτέρῳ τῶν ἐκείνου παρατιθέντες ἐλάττους τοὺς θ
νους ἐργάσασθαι· πάντα γὰρ παντάπασιν ἀλλήλοις ἐφάμιλλ
καὶ οὐδέν, ὃ μὴ πρότερον πρὸς ἑαυτὸ τοὺς θρήνους ἐφέλκετ
τήν τε γὰρ ἡλικίαν τοιαύτην ἔλαχεν, οἵαν ἑνὶ μηδενὶ τ
πάντων παραβεβλῆσθαι ῥᾴδιον· τὴν δ' αὖ ὥραν τῇ μὲν ἡλι

μάλα συμβαίνουσαν, ἐπαίνου δὲ παντὸς ὑπερτέραν καὶ θαύματος· σχῆμα δ' ἀποίητόν τε καὶ κάλλιστον καὶ ὄγκου παντὸς ἀπηλλαγμένον καὶ τύφου, καὶ οἷον οὐκ ἄν τις ἀξίως ἀγάσαιτο· τὴν δ' αὖ ἐντυχίαν φαιδρὸς καὶ χαρίεις καὶ μάλα προσηνὴς καὶ μειλίχιος, καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἵμερον ἔφη τις ἂν ἐφιζάνειν τῇ ἐκείνου γλώττῃ τε καὶ τῷ βλέμματι· ὅθεν οὐδ' ἦν ἂν ῥᾴδιον τοῖς καὶ ὁπωσοῦν τῆς ἡδίστης τούτου καὶ χρηστῆς ὁμιλίας μετεσχηκόσι μὴ γεγαννῶσθαι καὶ τῶν αὐτοῦ γε σειρήνων ἐξηρτῆσθαι κατ' ἄκρας. Εἶτα τοσούτου κρυβέντος ὑπὸ γῆν ἀγαθοῦ σιωπὴν σχήσω; οἰμωγὰς οὐκ ἀφήσω; στεναγμοὺς οὐκ ἐκπέμψω; θρήνους οὐ συμμίξω τῷ πάθει; ῥύακας ἐκ ἐμῶν ὀφθαλμῶν δακρύων οὐκ ἀναρρήξω; τίνος ἀδάμαντος φύσιν κτησάμενος; Ὦ πάντ' ἐφορῶν ἥλιε, οἷον τὸ γεγονὸς ἰδεῖν ἠνέσχου! ἔδει σε γὰρ ἀχλὺν ἀήθη τε καὶ στυγνὴν ἐκ τοῦ σχεδὸν περιβεβλημένον, κατήφειάν τινα ξενίζουσαν τῷ τῶν ἀνθρώπων γένει δεικνῦναι, καὶ τῷ παραδόξῳ τοῦ συμβάντος ἐπὶ τῷ πάθει σφόδρα συναλγεῖν δόξαι! Οὐρανέ, σιγῇ τὸ τοιόνδε πάθος οὐκ ἐχρῆν σε παραδραμεῖν, ἀλλὰ καὶ τὰς οἰκείας ἀναπεταννύντα πύλας ἔδει σε βροντὴν ἀξίαν ἀφιέναι τοῦ πάθους, ἵνα μὴ μόνον οἱ τὴν καθ' ἡμᾶς οἰκοῦντες τὸ τῆς συμφορᾶς ὑπερβάλλον σφοδρότερον αἴσθοιντο, ἀλλὰ καὶ οἱ ταῖς ἐσχατιαῖς ἐνδιατρίβοντες πάντες καὶ τοσοῦτόν γε ἐκτετοπισμένοι, αὐτίκα γνοῖεν ἐκ τῆς ἀτόπου ταύτης ἐκπλήξεως, ἀδόκητόν τινα καινοτομίαν τῷ τῶν ἀνθρώπων βίῳ συμπεπτωκέναι. Γῆ, σὺ δὲ μηδέποτε καταχορὴς τηλικούτων συμφορῶν γεγονυῖα, οὐδὲ νῦν ὡς ἔοικεν ἀφέξεσθαι τῶν τοιούτων ἔμελλες· ἀλλ' εἴπερ ἐξ ἄρα τινὸς μηχανῆς αἴσθησιν λαβοῦσα φωνὴν ἰσχύσειας ἀφιέναι φθέγξαι τι καὶ αὐτὴ γοερόν, καὶ οἷα μεταμέλον ἐφ' οἷς εἰργάσω λαβοῦσα σὺν οἰμωγῇ τινι φράσον, ποῦ τὸν τῶν Ῥωμαίων ἄριστον βασιλέα κρύψασα ἔχεις; ποῦ τὴν θαυμαστὴν ἐκείνην ἡλικίαν καὶ

λύψασα κρύπτεις; ποῦ τὸ ὡραῖον ἐκεῖνο κάλλος ἠφάνισας; Ὦ κεφαλὴ ἡ πρότερον μὲν ἀντ' ἄλλου τινὸς ἀγάλματος ὁρωμένη, νῦν δὲ τῇ κόνει κεκαλυμμένη! ὦ κύκλοι τῶν ὀφθαλμῶν ἐκείνων, ποῖ γῆς ἔδυτε; ὦ χρυσαῖ χεῖρες ἐκεῖναι, ποῖ γῆς κέκρυ(φθε;) . . . . . .

Digitized by Google

Δ.

ΧΡΥΣΟΒΟΥΛΛΟΙ ΛΟΓΟΙ ΑΝΔΡΟΝΙΚΩΝ ΠΑΛΑΙΟΛΟΓΩΝ ΚΑΙ ΣΤΕΦΑΝΟΥ ΚΡΑΛΗ ΤΗΣ ΣΕΡΒΙΑΣ.

(Οἱ δημοσιευόμενοι Χρυσόβουλλοι λόγοι περὶ τῆς παρὰ τὰς Σέρρας ἔτι καὶ νῦν ὑφισταμένης μονῆς τοῦ Προδρόμου, ἣν καὶ Γεννάδιος ὁ Σχολάριος ὡς τελευταῖον ἐξελέξατο ἡσυχαστήριον, ἐλήφθησαν ἐξ ἀπογράφου γενομένου περὶ τὰς ἀρχὰς τῆς ΙΗ' ἑκατονταετηρίδος ἐπιμελείᾳ Χρυσάνθου Νοταρᾶ τοῦ κλεινοῦ τῶν Γεροσολύμων πατριάρχου. Τὸ χειρόγραφον ἀποτεθησαυρισμένον παρὰ τῷ ἐν Κωνσταντινουπόλει Μετοχίῳ τοῦ Παναγίου Τάφου καὶ μὴ καταγεγραμμένον ἐν τῷ καταλόγῳ τῆς βιβλιοθήκης αὐτοῦ, φιλοφρόνως ἐγνωστοποίησέ μοι ὁ περὶ τὰς τοιαύτας μελέτας ἐντριβέστατος ὁμογενὴς κύριος Χ. Γ. Κωνσταντινίδης. Ἐκ δὲ τῆς προτασσομένης τυπικῆς διατάξεως τοῦ κτίτορος τῆς

ἐν λόγῳ μονῆς Ἰωακεὶμ μητροπολίτου Ζιχνῶν (1) παρατίθημι τήν τε ἱστορικὴν ἔκθεσιν μετὰ τῆς διατάξεως περὶ παραχωρήσεως τῆς μονῆς ὑπὸ τὴν ἐφορείαν τοῦ τότε μεγάλου δομεστίκου Ἰωάννου Καντακουζηνοῦ, καὶ τὸν πίνακα τῶν περιεχομένων κεφαλαίων.

Προοίμιον τῆς παρούσης τυπικῆς διατάξεως.

Ἦν ἄρα καὶ τοῦτο τῆς περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρωπίας ἐχέγγυον καὶ τῆς ἐκείνου κηδεμονίας κράτιστον δεῖγμα τὸ, λόγῳ μὲν τῶν ἄλλων ἁπάντων εἰς ἡμᾶς εὐεργετημάτων τὸν ἄνθρωπον τιμηθῆναι, ἵν' οὕτω λόγῳ μὲν ζῶντι παρὰ τῶν εὖ εἰδότων τὸν βίον ἰθύνοιτο τῆς εὐθείας παρεκτρεπόμενον· ἐπιστρεψάτωσαν γάρ με φησιν, οἱ φοβούμενοί σε· λόγῳ δὲ γεγραμμένῳ καὶ λόγον καὶ πρᾶξιν καὶ ἠθῶν εὐκοσμίων παιδεύοιτο· ταῦτα γάρ φησι πάντα πρὸς νουθεσίαν ἡμῶν γέγραπται· οὐ μόνον δὲ, ἀλλὰ καὶ οἷς ὁ μακρὸς χρόνος ῥέων ἀεὶ παντελῆ ἐπήγαγε τὴν ἀφάνειαν, ταῦτα τῷ γράμματι, ὡς ἐν χρώματι αὖθις ἀνακαινίζομεν, καὶ αὐτὰ ἐκεῖνα καινά τινα κατ' ὄψιν κατοπτριζόμεθα· λόγῳ ζωγραφοῦντι τὰ παλαιὰ κἀγὼ παρελθόντα καὶ ῥεύσαντα παριστῶν τε ὡς μένοντα. Ἀρκτέον δέ μοι ἐντεῦθεν, ὅπως καὶ ὅθεν καὶ ὡς οἰκονομίας ἀρρήτοις τρόποις θεοῦ ἡ καθ' ἡμᾶς ἥδε σεβασμία συνέστη μονή.

Ὁ πρὸς πατρὸς ἐμοὶ θεῖος καὶ πατὴρ, τὴν κλῆσιν Ἰωαννίκιος, ἔτι ἄγων νέαν τὴν ἡλικίαν μετανάστης τῆς ἑαυτοῦ πατρίδος γεγόμενος, διὰ τὸν πρὸς θεὸν αὐτοῦ θερμὸν ἔρωτα καὶ τῷ ἁγίῳ προσβαλὼν ὄρει τῷ Ἄθῳ καὶ ἐν αὐτῷ τὰς τρίχας ἀποκαρεὶς, ἐκεῖσε τὸν ἑαυτοῦ δρόμον ἀόκνως διὰ τῆς ἐκκοπῆς

(1) Τοῦ ὀνόματος αὐτοῦ μνεία γίνεται μόνον ἐν τῷ χρυσοβούλλῳ λόγῳ τοῦ Στεφάνου.

τοῦ οἰκείου θελήματος τρέχων ἦν, ἄπλαστον καὶ τὸ ἦθος καὶ τὸν τρόπον κτησάμενος καὶ ὑπὸ μετριοφροσύνης διὰ πάντων κοσμούμενος.

Ἐπεὶ δὲ χρόνους ἐν αὐτῷ διῆγεν οὐκ ὀλίγους, ἡ ἕτερα δι' ἑτέρων πλέκουσα καὶ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσα θεοῦ πρόνοια, πάλιν αὐτὸν τοῖς ἐνταῦθα ἐπιδημῆσαι πεποίηκε· φίλος δὲ ἡσυχίας ὢν ὁ ἀνὴρ οὐκ ἠγάπα οὔμενουν οὐδ' ἠβούλετο τοῖς τοῦ κόσμου ἐνασχολεῖσθαι, καὶ τοῖς αὐτοῦ θορύβοις τὸ ἡγεμονικὸν ἐπιθολοῦν τῆς ψυχῆς, καὶ τὸ ἀδούλωτον αὐτῆς ἀξίωμα τοῖς ματαίοις καταδουλοῦν.

Ἐζήτησε τοιγαροῦν βραχύ τι κελλίον εὑρεῖν, ὥστε μοναχικῶς ἐν αὐτῷ προσκαθήσῃ, καὶ καθαρῶς διὰ τῆς μονώσεως προσομιλεῖν τῷ θεῷ· διελθὼν δὲ τοὺς κατὰ τὸ ὄρος τοῦ Μενοικέως τραχεῖς καὶ ἐρημικωτέρους τόπους, ἐντυγχάνει μικρόν τι κελλύδριον, ἠμελημένον πάντῃ καὶ ἀκαλλώπιστον, μόνον εὐκτήριον τὴν κλῆσιν ἔχον τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ· ἐν αὐτῷ τοίνυν προσκαθήσας τῷ μονυδρίῳ καὶ ἔργου ἀψάμενος, ἣν σπουδάζων διὰ παντὸς, καὶ πᾶσαν μὲν λειτουργίαν τοῦ μοναχικοῦ ἐπαγγέλματος ἀποδιδοὺς τῷ θεῷ, πονῶν δὲ καὶ περὶ τὴν τῶν κελλίων ἐπιμέλειαν καὶ ἀνάκτησιν, καὶ οὐκ ἐπαύσατο σπουδάζειν καὶ ἐνεργεῖν, μέχρις ἂν εὐδοκοῦντος θεοῦ, ἀνδρῶν ἀσκητῶν καταγώγιον αὐτὸ ἀπετέλεσεν, ἔπειτα γέροντί τινι κατὰ θεὸν ζῶντι καὶ πολιτείαν ἄκραν μὲν ἐρχομένῳ τὸ τοιοῦτον παραδοὺς κελλίον, αὐτὸς ἐπὶ τὰ ἕτερα μέρη τοῦ ὄρους ἐχώρει, ἔχων μεθ' ἑαυτοῦ καὶ ὃν συνήθως καλὸν μαθητήν.

Ἐπεὶ δὲ καὶ τοῖς τραχυτέροις τοῦ ὄρους καὶ δυσβάτοις προσέβαλλε μέρεσι, σπήλαιον ἐντυγχάνει σκληρὸν πάνυ καὶ δυσδιέξοδον· ἐν αὐτῷ οὖν τὴν οἴκησιν πήξας καὶ χρόνον προσμείνας τινὰ, ἐπεὶ ἐκ τῆς ὑποκειμένης τοῦ σπηλαίου νοτίδος οὐ μικρὰν ἐδέχετο βλάβην, ἐξελθὼν αὖθις ἐκεῖθεν καὶ περὶ τοὺς

πρόποδας τοῦ ὄρους γενόμενος, ἀλλὰ καὶ τοῦτο πάντως ὡς ἔγωγε οἶμαι κατὰ θείαν οἰκονομίαν ἦν, κακεῖσε τὸν τόπον ἐπιμελῶς ἀνιχνεύσας, ὃν ἡ καθ' ἡμᾶς ἁγία μονὴ σήμερον ὁρᾶται κειμένη, ἐπεὶ ὁ περὶ αὐτὴν ἅπας χῶρος στενὸς μὲν ἦν καὶ βραχὺς, καὶ πρὸς εἰσελεύσεις τε καὶ ἐξελεύσεις κρημνώδης καὶ σκληρὸς, σχεδὸν δὲ εἰπεῖν καὶ ὅλως ἄβατος, ὅλως κεκαλυμμένος ὑπὸ παντοίων ἀγρίων φυτῶν τε καὶ ἀκανθῶν, εἶχε δὲ μόνην τὴν ἐκκλησίαν πεπαλαιωμένην οὖσαν καὶ ἄσκεπον, θηρίοις μόνοις καὶ ἑρπετοῖς οἰκητήριον, ἡσθεὶς τῇ τοῦ τόπου καθαρότητι καὶ ἡσυχίᾳ καὶ τὸ ἐκτὸς εἶναι συγχύσεως καὶ θορύβου καὶ κοσμικῆς ὁμιλίας, ἐν αὐτῷ ἔκρινε κατοικεῖν.

Ἔργον οὖν αὐτῷ σπουδαιότατον ἐγεγόνει καθᾶραι μὲν τῆς παρακειμένης ὕλης τὸ χωρίον ἅπαν, ὄροφον δὲ κατασκευάσαι τῇ ἐκκλησίᾳ καὶ παντοίως αὐτῆς ἐπιμεληθῆναι, καὶ πρὸς τὸ εὐπρεπέστερον ἀποκαταστῆσαι, ἵνα προθύμως οἱ ἐν αὐτῇ προσμένοντες τὰς εὐχὰς ἀναφέρωσι τῷ Θεῷ, ἵνα καθ' ἑκάστην πολλὴν σπουδὴν προτιθεὶς καὶ πόνοις πόνους, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς οὐδὲ ἀνάπαυσιν τοῖς κροτάφοις, ἕως οὗ Θεοῦ συνεργοῦντος, διὰ τῶν πρεσβειῶν τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ, καὶ κέλλας ᾠκοδόμησε μοναχῶν, καὶ μοναχοὶ μετ' αὐτοῦ ᾑρετίσαντο κατοικεῖν, καὶ ἀνδρῶν αὐτὴν ἀρετὴν μετιόντων ἀνέδειξεν οἰκητήριον· ἦν οὖν αὐτὸς ἐκεῖνος τῶν μοναχῶν προϊστάμενος, καὶ δι' ὅλου τῆς ἑαυτῶν σωτηρίας φροντίδα ποιούμενος, τρέφων, ἐνδύων, ζωογονῶν, λιμὴν ἀναψύξεως καὶ σωτηρίας καὶ τὰ πάντα γενόμενος,

Ἀλλὰ τοιαύτην ἐκεῖνος μετερχόμενος πολιτείαν καὶ οὕτως ἐν Χριστῷ ζῶν καὶ κρύπτεσθαι θέλων, οὐκ ἠνέσχετο Κύριος εἰς τέλος τοῦτον διαλαθεῖν, καθὼς τὸ θεῖον φησὶ λόγιον, μὴ δύνασθαι πόλιν ἐπάνω ὄρους κειμένην κρυβῆναι· ἔνθεν τοι καὶ ὑπὸ τοῦ τότε τοὺς τῆς ἐκκλησίας οἴακας διϊθύνοντος τὸ τῆς πνευματικῆς διακονίας ἐνεχειρίσθη λειτούργημα· ὥστε τοὺς

τῶν ἀνθρώπων λογισμοὺς πνευματικῶς ἀναδέχεσθαι καὶ τούτοις ἁρμοδίως καὶ κατὰ τὸν τῆς ἰατρείας λόγον ἐπιμελῶς διδόναι τὰ φάρμακα· ἀλλὰ ταῦτα μὲν ὕστερον.

Γονέων δ' ἔγωγε προαχθεὶς εὐσεβῶν, καὶ ὀρφανίαν ἄωρον ὑποστὰς, ὁ προμνημονευθεὶς ἐκεῖνος θεῖός μοι καὶ πατὴρ, οὔπω διετῆ χρόνον φθάσας μεθ' ἑαυτοῦ συμπαραλαβὼν πᾶσαν προσῆγε θεραπείαν σωματικὴν καὶ μετ' ἐπιμελείας ἀνέτρεφεν· εἶτα καὶ τὸ μοναχικὸν ἀμφιέσας σχῆμα συνῆκε τοῦτο διηνεκῶς, καὶ τὴν μοναχικὴν παιδείαν παιδοτριβεῖσθαι προσέταξε· κἂν αὐτὸς οὐδέν τι τῆς ἰσαγγέλου πολιτείας ἐκείνου τε καὶ διαγωγῆς ἠδυνήθην μεταλαβεῖν, συνδιῆγον τοιγαροῦν αὐτῷ, καὶ τῷ αὐτοῦ ὄχλῳ παρήδρευον, παιδευόμενος παρ' αὐτοῦ καὶ ἀγόμενος ἔν τε τῇ τῶν ἱερῶν γραμμάτων μυήσει καὶ τῇ τῶν ἠθῶν εὐκοσμίᾳ καὶ τῇ ἄλλῃ καταστάσει τῶν μοναχῶν· ἐπεὶ δὲ καὶ εἰς ἱερωσύνης προήχθην βαθμὸν ὡς οὐκ ἔδει, διὰ τὸ ὑψηλὸν μὲν εἶναι τὸ τῆς διακονίας ταύτης λειτούργημα, καὶ μόλις πρέπον ἁγίοις, ὁ δὲ ἡμέτερος βίος ἠμελημένος τε καὶ οὐκ ἄξιος, εἶτα καὶ εἰς ἐπισκοπικὸν ἠξίωσεν ὁ θεὸς ψηφισθῆναι θρόνον, ὁ προμνημονευθεὶς ἐκεῖνος θεῖός μοι καὶ πατὴρ οὐκ ἠνείχετο οὐδ' ἠβούλετο τοῦτο, ἀλλ' ἐντατικὸς ἦν λίαν καὶ οὐκ ἐνδόσιμος, δεδοικὼς μήπως ἡ περὶ τὴν ἐπισκοπὴν δι' ὅλου φροντὶς ἀργὴν καὶ ἄπρακτον τὴν ἐμὴν ποιήσει προαίρεσιν, εἰς τὸ πᾶσαν πρόνοιαν ἔχειν καὶ ἐπιμέλειαν περὶ τὴν μονήν. Ὅτι δὴ τοῦτο ἠβούλετο ἡ τοῦ γέροντος ἔνστασις, δῆλον ἐντεῦθεν· οὐ γὰρ πρότερον ἂν ἔδωκε τῆς ἐνστάσεως, καὶ τῇ τῶν ἑλκόντων ἡμᾶς ἔξω θελήσει, μέχρις ἂν ὑπόσχεσιν ἔγγραφον λαβεῖν παρ' ἡμῶν, τὸ καὶ ζῶντος ἐκείνου καὶ τῷ χρεὼν λειτουργήσαντος, μὴ παριδεῖν τῆς μονῆς, ἀλλὰ παντοίως προνοεῖσθαι καὶ προσηκόντως. Οὕτω τοιγαροῦν τῆς γραφικῆς ὑποσχέσεως εἰς πέρας ἐλθούσης, κἀκεῖνον εὐθέως συγκατανεῦσαι καὶ παραχωρῆσαι τοῖς ἕλκουσιν.

Ἀλλ' ἐγὼ μὲν, κρίμασιν οἷς οἶδεν οὗ τὰ κρίματα ἄβυσ-

σος, (τοῦ) τῆς Ζιχνῶν ἐκκλησίας ἐμπεπίστευμαι θρόνου· ἐκεῖνος δὲ τῆς τῶν Ἐζιβῶν ἀρχιερεὺς ἀναδείκνυται· ἀλλὰ καὶ οὕτω τῆς αὐτῆς ἐκείνης εἴχετο μετριοφροσύνης ὁ γέρων, καὶ τῆς περὶ τὰ καλὰ ἐπιδόσεως, καὶ ὅλως ἦν αὖθις τῆς ἐπὶ τῇ μονῇ βοηθείας, ἔχων κἀμὲ μᾶλλον συμπονοῦντα καὶ συμπράττοντα τοῖς ἀναγκαιοτέροις τῆς μονῆς ἔργοις, καὶ ταῖς χρείαις τῶν μοναχῶν.

Ἐπεὶ δὲ ἄνθρωπον ὄντα κἀκεῖνον καὶ ἀνθρωπίναις ὑποκείμενον ἀσθενείαις, ἔδει πάντως καὶ τὸν χοῦν ἀποθέσθαι καὶ πρὸς τὴν ἐκεῖθεν μεταβῆναι ζωὴν, αὐτὸς μὲν ἐπὶ κλίνης ὡρᾶτο κείμενος, γήρᾳ καὶ νόσῳ δεινῇ συγκατακληθεὶς ὁ τὴν ψυχὴν ἐῤῥωμένος καὶ τῶν σωματικῶν ἀνώτερος παθημάτων, ἤδη δὲ τὰ τελευταῖα ἐμπνέων καὶ τὴν ψυχὴν μέλλων θεῷ παραθέσθαι, ἐμοὶ πάλιν τῷ πάντα ῥαθύμῳ καὶ ἀμελεῖ τὴν τῆς μονῆς ἐνεχείριζεν ἐπιμέλειαν καὶ ἀνάκτισιν, καὶ τὸν ταύτης ἐπετίθη ζυγὸν, τί μὲν οὐ λέγων, τί δὲ οὐ πράττων τῶν ὅσα πρὸς τοῦτο βιάσασθαι ἱκανά; τοιγαροῦν καὶ ὑπῆλθον, καὶ ὑπελθὼν ὁπόσαις μὲν καὶ οἵαις ἐκ τῶν πραγμάτων καὶ τῆς τοῦ καιροῦ δυσκολίας ἐνέτυχον περιστάσεσιν, οἶδε μόνος ὁ πάντα εἰδὼς θεὸς, καὶ ὁ ταῦτα παθὼν μόνος ἐγώ· ἀλλ' ὁ θεὸς τοῦ πατρός μου διὰ τῶν πρεσβειῶν τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ βοηθὸς ἐμοὶ προφανὴς ἐν στύλῳ πυρὸς (διὰ) πρεσβειῶν αὐτοῦ φωτίζων καὶ διεξάγων, πρὸς ἡμέραν ὁδηγῶν ἀναψύξεως, προσδ(οκῶντι) ὅτι καὶ τῆς ἐκεῖθεν ἐλπιζομένης μοι ἐκ τῶν ἔργων ἀξίας κολάσεως ῥύσηται.

Καὶ πρῶτον μὲν τὸν θεῖον ναὸν τουτονὶ ἐξ αὐτῶν ἀνήγειρα τῶν κρηπίδων, οὕτω καλλωπίσας αὐτὸν κατὰ τὸ ἐγχωροῦν ἐμοὶ τῆς ἰσχύος, ἀλλὰ καὶ εἰκόνων λαμπρότητας ἐν αὐτῷ καὶ ἱερῶν περιουσίαν σκευῶν καὶ λοιπῶν διαφόρων ἀναθημάτων πρόσθεσιν ἐποιησάμην, ἵνα ἐν αὐτῷ τὸν ἄρτον οἱ ἀδελφοὶ συναγόμενοι εἰς δόξαν ἐσθίωσι τοῦ θεοῦ, ἀλλὰ καὶ προσόδους τινὰς ἐλέει τῶν μεγαλοδώρων αὐθεντῶν καὶ βασιλέων τῇ μονῇ

Digitized by Google

ἀπεκλήρωσα, ὅσας καὶ οἵας ἐλογισάμην τοῖς τὸν μονήρη καὶ ἀπέριττον βίον ἐπανῃρημένοις τοῖς ἀναγκαίοις ἀρκεῖν· ὅσας οὖν τὰς εὐεργεσίας καὶ τὰς ἀντιλήψεις ἔσχον ἐκ τοῦ θεοφρουρήτου καὶ θεοστεφοῦς αὐτῶν κράτους, τίς ἐξισχύσει ἀπαριθμήσασθαι; τὰς διὰ λόγων, τὰς δι' ἔργων, τὰς διὰ δόσεων καὶ συνεισφορῶν, ἀλλὰ καὶ ὅσων εὐεργεσιῶν τε καὶ δωρεῶν τῇ ἡμετέρᾳ γεγόνασι μονῇ παροχεῖς οἱ φιλάνθρωποι καὶ ἅγιοί μου αὐθένται καὶ βασιλεῖς ἀριδήλως παριστῶσι τὰ παρὰ τῆς ἁγίας αὐτῶν βασιλείας τῇ τοιαύτῃ μονῇ θεῖα καὶ σεπτὰ γεγονότα χρυσόβουλλα, οὕσπερ καὶ εὐλογῆσαι κύριος ὁ θεὸς ἐν πάσῃ εὐλογίᾳ ἐπεύχ(ομ)αι, ὁ βασιλεὺς τῶν αἰώνων καὶ δοτὴρ πάντων τῶν ἀγαθῶν, καὶ φυλάξαι ὑπὸ τὴν σκέπην τῆς αὐτοῦ ἀγαθότητος ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ, ἐνισχύων αὐτῶν τὸν βραχίονα καὶ ὑποτάττων ὑπὸ τοὺς πόδας αὐτῶν πάντα τὰ βάρϐαρα ἔθνη, τὰ τοὺς πολέμους θέλοντα, δωρούμενος αὐτοῖς μακρότητα ἡμερῶν, καὶ καταξιῶν αὐτοὺς μετὰ τῶν ἐγκοσμίων καὶ τῶν ἀπορρήτων αὐτῶν ἀγαθῶν, καὶ βασιλείας τῆς ἐπουρανίου. Ἀλλὰ καὶ ἐντὸς τῆς πόλεως Σερρῶν ἑτέραν ἀνήγειρα μονήν, ναόν τε ἐκ θεμέθλων αὐτῶν, εἰς ὄνομα καὶ αὐτὴν τοῦ θείου Προδρόμου καὶ Βαπτιστοῦ, ὁμοίως ἐν αὐτῇ καὶ τράπεζαν καὶ ὅσα ἄλλα χρειώδη καὶ ἀναγκαῖα τῇ μονῇ ἐποικοδομήσας, καὶ πρὸ πάντων τειχίῳ ταύτην περικυκλώσας καὶ παντοίως περιποιησάμενος, καταγώγιον ἀνδρῶν ἁγίων, εὐδοκοῦντος θεοῦ καὶ ταῖς τοῦ θείου Προδρόμου πρεσϐείαις, ἠδυνήθημεν ἀποκαταστῆσαι θεῷ καθιερωμένων καὶ τὴν κοινοϐιακὴν διαγωγὴν κατασπαζομένων, ἣν καὶ ὑποκεῖσθαι καὶ προσηνῶσθαι διηνεκῶς τῇ κυρίᾳ καὶ πρωτοτύπῳ ταύτῃ μονῇ βούλομαι, καὶ ἓν σῶμα ἑαυτοὺς νομίζειν τοῦ μοναδικοῦ τούτου τῶν δύο μονῶν πληρώματος, μιᾷ κεφαλῇ, τῷ καθηγουμένῳ ταύτης τῆς κυρίας δηλονότι μονῆς ὑποκειμένους, καὶ παρ' αὐτοῦ τοὺς κανόνας τῆς μοναδικῆς πολιτείας δεχομένους καὶ ἰθυνομένους ἐπὶ

τὰ κρείττονα, καὶ τῷ αὐτοῦ κανόνι καὶ τύπῳ στοιχεῖν ὀφείλοντας.

Ἀλλὰ τίς εἰμὶ ἐγώ, κύριε, κύριέ μου, ἢ ὁ οἶκος τοῦ πατρός μου, ὅτι οὕτως ἐπ' ἐμὲ τὰ σὰ ἐλέη ἐξέχεας τὸν ἀνάξιον; ὡς δι' ἐμοῦ τοῦ ἀχρείου, δι' ἐμοῦ τοῦ οἰκτροῦ τοῦ μηδὲν ὄντος τὰ τοιαῦτα τῶν δύο μονῶν οἰκονομηθῆναι; Σὸν ἄρα, δέσποτα, τοῦτο, καὶ τῆς σῆς ἀφθόνου καὶ πλουτοδότιδος δεξιᾶς, ἀνοιγομένης μὲν φιλανθρώπως, πᾶν δὲ ζῶον τῆς παρὰ σοῦ εὐδοκίας κατεμπιμπλώσης, καὶ ἀδιαλώβητα καὶ τῶν ὁπωσδήποτε τούτοις ἐπεμβαίνειν ἐπιχειρούντων καὶ χεῖρα ἐπάγειν ὀλέθριον, διατηροίης ἀνώτερα. Ἵνα μὴ ταῦτα οὕτως ἴσως ἐπισυμβαίνῃ, καὶ ἵνα μὴ τὰ ἐπικτηθέντα τῷ χρόνῳ ἐξίτηλα καταστάντα λήθης ἀμαυρωθείη βυθοῖς, βραβείῳ τὰ πάντα καταγράψαι δεῖν ἔγνων. Τὰς τοιαύτας τοίνυν συστησάμενος καὶ ἑνώσας μονὰς σοὶ τῷ δοτῆρι τῶν καλῶν καὶ πλάστῃ θεῷ προσάγω, εἰς δόξαν τοῦ σοῦ ὀνόματος καὶ τοῦ τῆς ἀληθείας κήρυκος Προδρόμου καὶ Βαπτιστοῦ, καὶ εἰς ἐξίλασμα τῶν ἡμετέρων πλημμελημάτων. Δέχοιο τοίνυν, θεοῦ πατρὸς λόγε, τὸ μικρὸν ἀφιέρωμα τοῦτο ἐξ ἐμοῦ τοῦ σοῦ ἱκέτου σοὶ προσφερόμενον, ἐπιδαψιλευόμενος ἐπὶ τῷ βασιλεῖ μου τῶν οἰκτιρμῶν σου τὴν ἄβυσσον, ἐμοί τε καὶ ὅλῳ τῷ κόσμῳ σωτηρίαν δωρούμενος, καὶ τὴν τῶν ἡμαρτημένων συγχώρησιν, πρεσβείαις τῆς ὑπὲρ λόγον διὰ λόγου κατὰ σάρκα τεκούσης σε παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου, αὐτοῦ δὴ τοῦ θείου Προδρόμου καὶ Βαπτιστοῦ, καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

Τάδε ἔνεστιν ἐν τῇ βίβλῳ τοῦ τυπικοῦ, τῇ συντεθείσῃ παρ' ἐμοῦ τοῦ ταπεινοῦ μητροπολίτου Ζιχνῶν καὶ κτίτορος τῆς ἐν τῷ ὄρει τοῦ Μενοικέως διακειμένης σεβασμίας μονῆς τοῦ θείου Προδρόμου καὶ Βαπτιστοῦ, ἐκ κοινῆς γνώμης τῆς ὑφ' ἡμᾶς ἐν κυρίῳ ἀδελφότητος.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΤΥΠΙΚΟΥ.

Προοίμιον τῆς τυπικῆς διατάξεως.

Περὶ τοῦ δι' ἃς αἰτίας ἡ παροῦσα τυπικὴ διάταξις ἐκτίθεται.

Περὶ τοῦ ἀδέσποτον καὶ ἐλευθέραν εἶναι τὴν μονήν.

Περὶ ἐκκλησιάρχου.

Περὶ σκευοφύλακος.

Περὶ δοχειαρίου.

Περὶ πυλωροῦ.

Περὶ τῆς ὀφειλομένης ἐν τῇ τραπέζῃ τροφῆς τῶν μοναχῶν ἔν τε ταῖς ἀπολυμέναις ἡμέραις καὶ ἐν ταῖς ἁγίαις τεσσαρακοσταῖς.

Περὶ τοῦ ἀναγινώσκεσθαι τὸ παρὸν τυπικὸν εἰς ἐπήκοον πάντων.

Παραίνεσις τοῦ ὁλοσχερῶς ἀντέχεσθαι τοὺς διακονητὰς τῶν διακονιῶν αὐτῶν.

Περὶ τοῦ εἶναι ἐν τῇ μονῇ κελλιώτας ἢ καταπεμπτούς.

Περὶ τῆς εὐλογίας τῶν ἀδελφῶν (1).

Περὶ ἐξαγορεύσεως.

Περὶ τοῦ μὴ εἰσέρχεσθαι γυναῖκα ἐν τῇ μονῇ.

Περὶ λουτροῦ.

Περὶ τυπικοῦ.

Περὶ τοῦ μὴ ἀργυρολογεῖν τοὺς συνερχομένους, ἐν τοῖς ἐργοχείροις αὐτῶν.

(1) Περίεργος ἡ ἐν τῷ κεφαλαίῳ τούτῳ ἀπαντῶσα φράσις. «Καὶ ἀρρόκουρα (γρ. ἀρνόκουρα) ἐχέτωσαν οἱ ἀδελφοὶ χάριν καμιλαχίων».

Digitized by Google

Περὶ ἐφόρου καὶ κτήτορος.

Οὕτως οὖν ἔχων καὶ περὶ τούτου φροντίζων καὶ τοῦ θεοῦ δεόμενος εὗρον τὸν περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου μου αὐθέντου καὶ βασιλέως τὸν κύριόν μου τὸν μέγαν δομέστικον, οὐ μόνον ὄντα χριστιανικώτατον καὶ πάσης ἀγαθωσύνης πεπληρωμένον, ἀλλ' ὅτι καὶ ἐκ προγόνων καὶ γονέων εὐσεβῶν καὶ πιστῶν προῆλθεν, ὥσπερ τις εὐγενὴς κλάδος ἐξ εὐγενοῦς ῥίζης καὶ ἀγαθῆς· ὥσπερ οὖν ὁ μακαρίτης ἐκεῖνος ὁ ἐμὸς πατὴρ τὴν τοιαύτην σεβασμίαν μονὴν ἐμοὶ προσανέθετο, καὶ οὐδεὶς ἄλλος κύριος ἦν ἐν αὐτῇ, οὕτως ἐγὼ καὶ ἡμᾶς καὶ τὰ τῆς μονῆς ἅπαντα πράγματα τῷ κυρίῳ μοι τῷ μεγάλῳ δομεστίκῳ παραδίδω καὶ ἀνατίθημι, καὶ κύριον αὐτὸν ποιῶ διὰ τοῦ παρόντος μου διατάγματος, καὶ ὡς κτήτορα αὐτὸν ὑμῖν παραδίδωμι, ὥσπερ ἂν εἰ οὗτος καὶ τὰς δύο μονὰς ἀνήγειρέ τε καὶ συνεστήσατο· καὶ οὐ μόνον διὰ τὸ φιλευσεβὲς αὐτοῦ καὶ φιλόχριστον, καὶ τὴν ἄλλην ἅπασαν αὐτοῦ καλογνωμοσύνην τοῦτο ποιῶ, ἀλλὰ καὶ δι' ἣν εἶχον ἐκ πολλοῦ τοῦ χρόνου πρὸς τοὺς ἁγίους αὐτοῦ προγόνους τε καὶ πατέρας πνευματικὴν διάθεσιν καὶ ἀγάπην, οἵτινες καὶ διὰ τὴν προσοῦσαν αὐτοῖς εὐσέβειάν τε καὶ ἀρετὴν τῆς μερίδος, ὡς ἐγὼ οἴομαι, τῶν σωζομένων κατηξιώθησαν. Ἔχων οὖν ἐγὼ περὶ τοῦ κυρίου μου τοῦ μεγάλου δομεστίκου χρηστὰς τὰς ἐλπίδας, καὶ ὅτι πᾶσα ἀ-

νάγκη καὶ ὁ εὐγενὴς κλάδος ἐξομοιωθῆναι τῇ ῥίζῃ, ὡς φησὶν ὁ Κύριος, ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεσθαι, οὐκ ἔτι περὶ τούτου ἐνδοιάζω, ἀλλ' ἄφροντίς εἰμι καὶ ἀμέριμνος, θαρρῶν εἰς τὸ μέγα ἔλεος τοῦ θεοῦ, καὶ εἰς τὴν αὐτοῦ χριστιανικὴν κατάστασιν, ὅτι καὶ πλείονα τῆς ἐμῆς ἐπιμελείας αὐτὸς τὴν ἐπιμέλειαν ποιήσει, καὶ φροντίσει περὶ ὑμῶν, οὐ μόνον ὅσον ἀποβλέπει εἰς ἀρετὴν καὶ εὐλάβειαν καὶ εἰς πᾶσαν ἄλλην κατάστασιν τῆς μοναχικῆς εὐταξίας, ἀλλὰ καὶ εἰς τὰ σωματικὰ καὶ χρειώδη, ἅτινα εἰς κυβέρνησιν καὶ ζωοτροφίαν ὑμῶν ἀφορῶσιν· ἀλλὰ τί χρὴ πολλὰ λέγειν; Οὕτω δὲ πρὸς αὐτὸν καὶ ὑμᾶς καὶ τὰ τοῦ μοναστηρίου πράγματα παραδίδωμι, ὡς αὐτὸν ὄντα ἐμέ, καὶ οὕτω καὶ ὑμεῖς αὐτῷ ὀφείλετε ὑπακούειν ὡς κυρίῳ καὶ κτήτορι ὑμῶν, καὶ ἐν εὐταξίᾳ καὶ πνευματικῇ καταστάσει βιοῦν καὶ θερμοτέρως εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἵνα ἐν ἡμέρᾳ κρίσεως ἀπηρτισμένον καὶ ὁλόκληρον ἀπολάβη(τε) τὸν ἴδιον μισθὸν παρὰ τοῦ ἐφορῶντος τὰ πάντα θεοῦ; εἰ γὰρ οὕτως ἔσεσθε ποιοῦντες, ὡς ὑμῖν διατάσσομαι, καὶ ὑμῖν τοῦτο εἰς μεγάλην ὠφέλειαν ἔσται καὶ σώματος καὶ ψυχῆς, καὶ τῷ κυρίῳ μοι τῷ μεγάλῳ δομεστίκῳ καὶ κτήτορι ὑμῶν ἐπισκεπτομένῳ ὑμᾶς καὶ προνοουμένῳ κατὰ τὸ ἐγχωροῦν αὐτῷ τῆς ἰσχύος, πρόξενοι ἔσεσθε αὐτῷ τῆς αἰωνίου μακαριότητος, ἧς καὶ ἀξιωθείη ἄν ποτε διὰ τῆς χάριτος τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, καὶ διὰ τῶν πρεσβειῶν τοῦ μεγάλου τῆς ἀληθείας κήρυκος Προδρόμου καὶ Βαπτιστοῦ).

Τὰ ἴσα τῶν χρυσοβούλλων τῆς ἁγίας βασιλικῆς μονῆς τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ.

Βασιλεῖ δὲ ἄρα πρὸς τοῖς ἄλλοις καὶ τοῦτο προσῆκον, τὸ τὰς εὐλόγους αἰτήσεις προσίεσθαι, ἐφ' οἷς ἂν ἕκαστος τῶν ταύ-

τας προτεινόντων ὁρῷτο δεόμενος, καὶ τέλος ταύταις ἐπιβραβεύειν χρηστόν, ὡς τοῦ κατὰ σκοπὸν ἐντεῦθεν εὐμοιρεῖν δεόμενον· ἡ δ' αἴτησις ἔστι μὲν τοιαύτη, δικαία δηλονότι καὶ εὔλογος, τυγχάνει δὲ ὁ αἰτούμενος καὶ πνεύματι Κυρίου πλουτῶν τὴν κατάστασιν, ἀρετῆς διὰ βίου ἀντιποιούμενος, καὶ μάλιστα ὡς τὸν βασιλέα ἑτοιμότερον ὁρᾶσθαι χρὴ πρὸς ἐκπλήρωσιν τοῦ αἰτήματος· ἂν δέ γε καὶ προστάτης λαοῦ πνευματικὸς κατασταίη, τοῦ τῆς ἀρχιερωσύνης τετυχηκὼς ἀξιώματος, πῶς οὐ μετὰ πλείονος εὐμενείας τὴν αἴτησιν αὐτοῦ εἰσδέξηται ὁ βασιλεύς, καὶ τῶν ἄλλων ἁπάντων, οἷς ὁρᾶται τὰ τῶν αἰτήσεων σπουδαιοτέραν θείη ἄν, καὶ παραυτίκα ταύτην εὐμαρῶς ἐκπληρώσας, πρὸς θεὸν αὐτὸν διαβαίνειν εἰδὼς τὰ τῆς τοιαύτης αἰτήσεως; ὅτου δὲ χάριν λέλεκται ταῦτα προϊὼν ὁ λόγος δηλώσει. Ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν, εὐλαβείᾳ τραφεὶς καὶ ἐφ' ἱκανοῖς τοῖς χρόνοις φροντιστηρίῳ παραμείνας ἔλαχεν ἱερατεύειν θεῷ, εἶτα καὶ ὃ περίκειται ἀρχιερωσύνης ἀξίωμα, οὕτω τοίνυν καὶ θαρρεῖ τετυχηκέναι τοῦ πρὸς τὴν βασιλείαν μου αἰτήματος, καὶ ἐπιτυγχάνει ὡς τὸ εἰκός· ἡ γὰρ περὶ τὴν πόλιν Σερρῶν εἰς τὸ ὄρος τὸ τοῦ Μενοικέως διακειμένη σεβασμία μονὴ, ἡ ἐπ' ὀνόματι τιμωμένη τοῦ τιμίου προφήτου Προδρόμου, ἀνηγέρθη μὲν παρὰ τῶν γονέων αὐτοῦ, φροντὶς δὲ καὶ τῷδε γέγονεν οὐ μικρὰ τῶν εἰς σύστασιν αὐτῆς ἕνεκα καὶ κρείττω βελτίωσιν· ὅθεν καὶ ἐπειδὴ ἐξῃτήσατο ἐπιχορηγηθῆναι αὐτῇ παρὰ τῆς βασιλείας μου χρυσόβουλλον ἐπὶ τοῖς προσοῦσι ταύτῃ κτήμασι καὶ μετοχίοις διὰ διαφόρων δικαιωμάτων, ἡ βασιλεία μου τὴν αἴτησιν αὐτοῦ προσηκαμένη τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιβραβεύει τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν καὶ εἰς τὸ ἑξῆς ἀνενοχλήτως καὶ ἀδιασείστως, ἅπερ κατὰ τὸν εἰρημένον τρόπον εὑρίσκεται κεκτημένη μέχρι τοῦ νῦν, ἤγουν τοὺς εἰς τὴν περιοχὴν τῆς τοιαύτης σεβασμίας μονῆς προσκαθημένους ἀνυπο-

στάτους πτωχοὺς καὶ ἀκτήμονας, τοὺς περὶ τὴν εἰρημένην πόλιν Σερρῶν ἑπτὰ μύλωνας, τὰ ἐντὸς ταύτης τρία οἰκήματα, ἤγουν τὰ μὲν δύο ἐργαστήρια, τὸ δὲ ἕτερον φουτοναρεῖον· περὶ τὴν αὐτὴν πόλιν ἐν διαφόροις τόποις ἀμπέλια μοδίων τριάκοντα, περιβόλιον μοδίων δύο, καὶ κῆπον μοδίων δύο· περὶ τὸ χωρίον τὴν Κόσναν καὶ τὰ Κρύα Νερὰ γῆν ἐν διαφόροις τόποις μοδίων χιλίων, ἐν ᾗ εἰσι καὶ μυλοτόπια δύο, ἑτέραν γῆν εἰς τὴν Κινστέρναν μοδίων τριακοσίων, καὶ περὶ τὸ Νεοχώριον ἑτέραν γῆν μοδίων ἑκατόν· μετόχιον διακείμενον πλησίον τῆς τοιαύτης σεβασμίας μονῆς εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένον τοῦ Δοχῆνος· ἕτερον περὶ τὴν αὐτὴν πόλιν Σερρῶν διακείμενον εἰς ὄνομα τιμώμενον καὶ αὐτὸ τῆς ὑπεραγίας Θεοτόκου, καὶ ἐπικεκλημένον τοῦ Βοριτζίου· θεῖον ναὸν εἰς τὸ χωρίον Γαστελέγκους, εἰς ὄνομα τιμώμενον τοῦ Σωτῆρος Χριστοῦ, ἕτερον εὐκτήριον οἶκον περὶ τὴν παραλιμνίαν εἰς τὸ χωρίον Βερνάρους εἰς ὄνομα τιμώμενον τῆς ἁγίας Βαρβάρας, ἕτερον θεῖον ναὸν εἰς τὸ χωρίον Βουλλαριτζοῦς εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου τῆς Ἐλεούσης, καὶ ἕτερον εὐκτήριον οἶκον περὶ τὸν Μελενίκον ἐν τῇ τοποθεσίᾳ τῶν Πλατανῶν διακείμενον καὶ εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου καὶ ἐπικεκλημένον τοῦ Καϊλάτου. Ταῦτα τοίνυν καθέξει καὶ νεμηθήσεται ἡ τοιαύτη σεβασμία μονὴ καὶ εἰς τὸ ἑξῆς μετὰ τῶν προσόντων τοῖς τοιούτοις μετοχίοις δικαίων, τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καθὼς εἴρηται εὑρίσκεται κατέχουσα καὶ νεμομένη ταῦτα μέχρι τοῦ νῦν διὰ τῶν προσόντων αὐτῇ, ὡς δεδήλωται δικαιωμάτων, καὶ οὐχ εὑρίσκει οὔτε παρὰ τῶν κατὰ καιροὺς τὰ τοῦ δημοσίου διενεργούντων οὔτε παρ' ἑτέρου τινὸς τῶν ἁπάντων ἐπὶ τῇ τούτων κατοχῇ καὶ νομῇ, ἀδικίαν, ἢ καταδυναστείαν καὶ διενόχλησιν οἱανδήτινα. Τούτου γὰρ χά-

Digitized by Google

ριν καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τοῦ τιμίου Προδρόμου, ἀπολυθεὶς κατὰ μῆνα ἰούλιον τῆς νῦν τρεχούσης ἑβδόμης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑπτὰ καὶ δεκάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τό·

Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς, ὁ Παλαιολόγος.

Φθάνει μὲν ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἀνεγεῖραι περὶ τὰς Σέρρας μοναστήριον εἰς ὄνομα τιμώμενον τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ, ἐν ᾧ δῆτα κατηνάλωσεν αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ οὐκ ὀλίγα πράγματα· ἔτι δὲ προσεκύρωσε καὶ κτήματά τινα, ἐφ' οἷς προέβη καὶ χρυσόβουλλον τῆς βασιλείας μου· φθάνει δὲ καὶ μεθ' ὕστερον προσκτήσασθαι καὶ προσθεῖναι αὐτῇ καὶ ἕτερά τινα ἀπὸ προσενέξεως καὶ ἐξ ἀγορασίας· ἐπεὶ δὲ παρεκλήτευσεν ἀρτίως πορίσασθαι καὶ ἕτερον χρυσόβουλλον τῆς βασιλείας μου εἰς ἐπικύρωσιν αὐτῶν τῶν ὡς εἴρηται ὕστερον παρ' αὐτοῦ προσκυρωθέντων τῷ τοιούτῳ μοναστηρίῳ, τὴν τοιαύτην αἴτησιν καὶ παράκλησιν αὐτοῦ εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἀπολύει, δι' οὗ εὐδοκεῖ καὶ διορίζεται, ὥστε κατέχειν τὸ εἰρημένον μοναστήριον ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, οὐ μόνον ἅπερ ὡς δεδήλωται κατέχει διὰ χρυσοβούλλου τῆς βασιλείας μου, ἀλλὰ καὶ ὅσα μεθ' ὕστερον ἔφθασαν καὶ προσετέθησαν αὐτῷ ἐξ ἀγορασιῶν καὶ προσενέξεων εὐλόγων δηλονότι καὶ δικαίων καὶ εὐπροσδέκτων, καὶ οὐδ' ἐπ' αὐτοῖς εὑρίσκειν καταδυναστείαν καὶ ἀδικίαν, ἢ διενόχλησίν τινα, οὔτε παρὰ τῶν κατὰ καιροὺς τὰ τοῦ δημοσίου διενεργούντων,

οὔτε παρ' ἑτέρου τινὸς τῶν ἁπάντων. Ἐπεὶ δὲ ἐξῃτήσατο τὴν βασιλείαν μου ἡ δηλωθεῖσα περιπόθητος θυγάτηρ αὐτῆς ὑψηλοτάτη κράλαινα, ἵνα διορίσηται ἡ βασιλεία μου καὶ δοθῇ πρὸς τὸ εἰρημένον μοναστήριον καὶ τὸ πλησίον αὐτοῦ διακείμενον ἀγρίδιον τὸ Μονόσπητον καλούμενον, ὅπερ κατεῖχε στρατιώτης ὁ Μαρτῖνος, καὶ ἔνι ἡ ποσότης αὐτοῦ ὑπέρπυρα εἴκοσι τέσσαρα, τὴν εἰς τοῦτο αἴτησιν αὐτῆς προσδεξαμένη ἡ βασιλεία μου, διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς κατέχεσθαι καὶ τὴν ἐν τῷ δηλωθέντι ἀγριδίῳ ποσότητα τῶν εἴκοσι τεσσάρων ὑπερπύρων παρὰ τοῦ διαληφθέντος μοναστηρίου ἀναφαιρέτως, ἀνενοχλήτως, καὶ ἀναποσπάστως, καθὼς μέλλει παραδοθῆναι πρὸς αὐτὴν παρὰ τοῦ πανσεβάστου οἰκείου τῇ βασιλείᾳ μου κυροῦ Νικολάου τοῦ Θεολογίτου, τῶν ἀρτίως εὑρισκομένων εἰς τὴν δημοσιακὴν ἐνοχὴν Βολεροῦ καὶ Μοσυνοπόλεως, Σερρῶν καὶ Στρυμόνος, ἐπεὶ ἀπελύθη πρὸς αὐτοὺς ἕνεκεν τούτου καὶ πρόσταγμα τῆς βασιλείας μου ἀπολυθὲν κατὰ μῆνα σεπτέμβριον τῆς ἐνισταμένης πρώτης ἰνδίκτου, τοῦ ἑξακισχιλιοστοῦ (ὀκτακοσιοστοῦ) καὶ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός, τό·

Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ρωμαίων ὁ Παλαιολόγος.

Ἐπεὶ ὁ περιπόθητος υἱὸς καὶ γαμβρὸς τῆς βασιλείας μου ὁ ὑψηλότατος κράλης Σερβίας καὶ ἡ περιπόθητος θυγάτηρ τῆς βασιλείας μου ἡ ὑψηλοτάτη κράλαινα Σερβίας, διεμηνύσαντο πρὸς τὴν βασιλείαν μου μετὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς ἐν τῷ ἁγίῳ Ὄρει διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικαλουμένης τοῦ Χε-

Digitized by Google

λανταρίου, ἱερομονάχου κυροῦ Γερβασίου, περὶ τῆς εἰς τὰς Σέρρας ἐν τῷ ὄρει τοῦ Μενοικέως διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου προφήτου Προδρόμου, ἵνα διορίσηται ἡ βασιλεία μου καὶ γένηται χρυσόβουλλον αὐτοῖς ἐπὶ πᾶσι τοῖς κατεχομένοις παρὰ τῆς αὐτῆς μονῆς διὰ δικαιωμάτων διαφόρων μέχρι τοῦ νῦν ἀπὸ προσενέξεως καὶ ἀγορασίας περιελθοῦσιν αὐτῇ, ἅτινα καὶ ὡς ἀνέφερον οἱ μοναχοὶ αὐτῆς εἰσὶ ταῦτα· ἀγρίδιον τὸ Μονόσπητον λεγόμενον, μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτοῦ· ζευγηλατεῖον εἰς τὴν παραλιμνίαν τοῦ ποταμοῦ τοῦ Στρυμόνος, τὸ τοῦ Ἐσφαγμένου λεγόμενον, μετὰ τῶν ἐκεῖσε βιβαρίων καὶ αὐλακίων καὶ ἁλιευτικῶν σανδαλίων, καὶ λοιπῶν δικαίων αὐτοῦ· μονύδριον ἐκεῖσε εἰς ὄνομα καλούμενον τῆς ἁγίας μάρτυρος Βαρβάρας μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· μετόχιον εἰς τὴν Ζελίχοβαν εἰς ὄνομα τοῦ Ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων μετὰ τῶν προσόντων αὐτῷ τριῶν ὑδρομυλώνων καὶ τοῦ ἐκεῖσε ναοῦ τοῦ εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου· εἰς τὸ χωρίον Ταχραβασμοῦντον γῆ μοδίων ἑπτακοσίων· οἰκήματα ἐργαστηριακὰ τρία ἐντὸς τῆς πόλεως τῶν Σερρῶν· ἕτερα οἰκήματα πλησίον τῆς πόρτας τοῦ φόρου· οἰκοτόπια πλησίον τοῦ Συναδηνοῦ· μαγκυπικὸν οἴκημα εἰς τὴν γειτονίαν τὴν λεγομένην τοῦ ἁγίου Βασιλείου· ἕτερον οἴκημα πλησίον τῆς Βούτζης· ἕτερον οἴκημα πλησίον τοῦ Ἱερομνήμονος· μύλων διόφθαλμος ὁλοκαιρινὸς εἰς τὸν διερχόμενον ποταμὸν πλησίον τοῦ μεγάλου πύργου· ἥμισυ ἑτέρου μύλωνος ἄνωθεν αὐτοῦ εὑρισκομένου, ὡς τοῦ ἑτέρου ἡμίσεως αὐτοῦ κατεχομένου παρὰ τοῦ Πραντούλῃ· ἕτερος μύλων διόφθαλμος πλησίον τοῦ ναοῦ τῶν ἁγίων Θεοδώρων· ἕτερος μύλων διόφθαλμος καὶ αὐτὸς πλησίον τοῦ παραπορτίου· ἕτερος μύλων μονόφθαλμος πλησίον τοῦ Σταυρακοπούλου· ἀμπέλια ἐν διαφόροις τόποις σύνεγγυς τοῦ κάστρου ὡσεὶ μοδίων εἴκοσι τεσσάρων· ἕτερον ἀμπέλιον πλη-

Digitized by Google

σίον τοῦ Γεροντίτζη τῆς Πέτρας μοδίων ἕξ· ἕτερον ἀμπέλιον πλησίον τοῦ ναοῦ τῆς ἁγίας Μαρίνης μοδίων ἕξ· γῆ ἀπὸ προσενέξεως καὶ ἀγορασίας εἰς τὸν τόπον τὸν Μεριλίαν πλησίον τῶν Κουδουκλίων μοδίων διακοσίων ἑξήκοντα· ἑτέρα γῆ εἰς τὴν Κόσναν πλησίον τῆς γῆς τοῦ Πελαργοῦ καὶ τοῦ δημοσιακοῦ συνόρου, σὺν τῇ γῇ τῇ ἀπὸ τοῦ Ξυρέα μοδίων ἑκατὸν πεντήκοντα· ἑτέρα γῆ πλησίον τοῦ Τριβόλη μοδίων ἑκατόν· ἑτέρα γῆ ἰδιοπεριόριστος πλησίον τῆς γῆς τῶν Κουδουκλίων καὶ τῆς γῆς τοῦ Πελαργοῦ μοδίων χιλίων τετρακοσίων· ἑτέρα γῆ εἰς τὸ Λιβάδιον μοδίων τριακοσίων, ἄνευ τῆς ἐκεῖσε ἐκλειωματικῆς γῆς τοῦ Δραγόη, ἐν ᾗ εὑρίσκονται καὶ μυλοτόπια δύο· ἑτέρα γῆ εἰς τὸν τόπον τοῦ Βερνάρη μοδίων τριακοσίων· περὶ τὸν Πάνακα τόπος χερσαῖος καὶ ἀνήροτος, εἰς ὃν κατεφύτευσαν δένδρα ἐλαϊκά· καὶ οἰκοτόπια πλησίον τοῦ νεουργηθέντος παραπορτίου σὺν τῷ ἐκεῖσε ναῷ τῆς ὑπεραγίας Θεοτόκου τῆς Ὀδηγητρίας· ἡ βασιλεία μου διὰ τὴν μεσιτείαν τοῦ δηλωθέντος περιποθήτου υἱοῦ καὶ γαμβροῦ αὐτῆς τοῦ ὑψηλοτάτου κράλη Σερβίας καὶ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου τῆς ὑψηλοτάτης κραλαίνης, τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν τὰ ἀνωτέρω κατὰ μέρος δηλωθέντα, τά τε ἀπὸ προσενέξεως καὶ τὰ ἐξ ἀγορασίας καὶ ἀλλοτρόπως περιελθόντα αὐτῇ, ἀναφαιρέτως, ἀνενοχλήτως καὶ ἀδιασείστως, μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτῶν κατὰ τὰς εἰς τοῦτο περιλήψεις τῶν προσόντων αὐτῇ παλαιγενῶν διαφόρων δικαιωμάτων· ὅθεν καὶ τῇ ἰσχύϊ καὶ τῇ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, καθέξει καὶ νεμηθήσεται ἡ δηλωθεῖσα σεβασμία μονὴ ταῦτα πάντα ἐκτὸς πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας ἁπάσης διενοχλήσεως· οὔτε γὰρ τὸ τῆς σιταρκίας κεφάλαιον ἀπαιτηθήσεται ἀπὸ τῶν κτημάτων αὐ-

Digitized by Google

τῆς, οὔτε τὸ τῆς ὁρικῆς καὶ τῆς καστροκτισίας καὶ τοῦ ἐ· μίου, ἀλλὰ συντηρηθήσεται καὶ ἀπὸ τούτων ἀνενόχλητος πά καὶ ἀναπαίτητος, συντηρηθήσεται δὲ ὡσαύτως ἀνενόχλητος ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἀρχιερέως ἱερωτάτου τροπολίτου Σερρῶν, πλὴν μόνον τοῦ συνήθους μνημοσύνου αὐ καὶ τοῦ τεταγμένου κανονικοῦ, καὶ ἵνα οὐδὲν ἔχῃ ὁ τοιοῦ ἀρχιερεὺς ἄδειαν ὅλως ἀποκαθιστᾷν ἡγουμένους εἰς τὴν τοιαύ μονὴν ἢ πάλιν ἐξάγειν αὐτούς, ἀλλὰ ὁ μέλλων εὑρίσκεσθαι τὴν ἡγουμενείαν αὐτὸς ἐκλέγεται παρὰ τῶν μοναχῶν αὐτῆς ἀποστέλληται εἰς τὸν κατὰ καιρὸν παναγιώτατον πατριάρ; καὶ σφραγίζηται παρ' αὐτοῦ, καὶ τάττηται εἰς τὴν ἡγουμενε αὐτῆς· βούλεται γὰρ ἡ βασιλεία μου καὶ θεσπίζει πατριαρχι: εἶναι τὴν τοιαύτην σεβασμίαν μονὴν τοῦ τιμίου προφήτου Π δρόμου. Τούτου χάριν ἐγένετο αὐτῇ καὶ ὁ παρὼν χρυσόβουλ λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα Ἰούνιον τῆς ι σταμένης τετάρτης ἰνδίκτου, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσ στοῦ εἰκοστοῦ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσε καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασι κῆς χειρὸς τό·

Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ ι τοκράτωρ Ρωμαίων ὁ Παλαιολόγος.

Ἐπεὶ ὁ περιπόθητος θεῖος τῆς βασιλείας μου ὁ ὑψηλό· τος κράλης Σερβίας καὶ ἡ περιπόθητος θεία τῆς βασιλείας ; ἡ ὑψηλοτάτη κράλαινα Σερβίας διαμηνυσάμενοι πρὸς τὸν ἅγ μου αὐθέντην καὶ βασιλέα τὸν πάππον τῆς βασιλείας μου, δεξάμενοι χρυσόβουλλον περὶ τῆς εἰς τὰς Σέρρας ἐν τῷ ὄρει Μενοικέως διακειμένης σεβασμίας μονῆς τοῦ τιμίου προφή Προδρόμου καὶ Βαπτιστοῦ, ἐπὶ πᾶσι τοῖς κατεχομένοις π

Digitized by Google

τῆς τοιαύτης μονῆς μέχρι τοῦ νῦν, διεμηνύσαντο καὶ εἰς τὴν βασιλείαν μου μετὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένης τοῦ Χελανταρίου, ἱερομονάχου κυροῦ Γερβασίου, ἵνα γένηται τούτου χάριν καὶ χρυσόβουλλον, τῆς βασιλείας μου ἐπὶ πᾶσι τοῖς κατεχομένοις, ὡς δεδήλωται, παρὰ τῆς τοιαύτης μονῆς διὰ δικαιωμάτων διαφόρων μέχρι τοῦ νῦν ἀπὸ προσενέξεως καὶ ἐξ ἀγορασίας περιελθοῦσιν αὐτῇ, ἅτινα καὶ ὡς ἀνέφερον οἱ μοναχοὶ αὐτῆς εἰσὶ ταῦτα· ἀγρίδιον τὸ Μονόσπητον λεγόμενον μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτοῦ· ζευγηλατίον εἰς τὴν παραλιμνίαν τοῦ ποταμοῦ τοῦ Στρυμόνος, τὸ τοῦ Ἐσφαγμένου λεγόμενον, μετὰ τῶν ἐκεῖσε βιβαρίων καὶ αὐλακίων καὶ ἁλιευτικῶν σανδαλίων καὶ λοιπῶν δικαίων αὐτοῦ· μονύδριον ἐκεῖσε εἰς ὄνομα καλούμενον τῆς ἁγίας μάρτυρος Βαρβάρας μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· μετόχιον εἰς τὴν Ζελίχοβαν εἰς ὄνομα τιμώμενον τοῦ τιμίου Ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων μετὰ τῶν προσόντων αὐτῷ τριῶν ὑδρομυλώνων καὶ τοῦ ἐκεῖσε ναοῦ τοῦ εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου· εἰς τὸ χωρίον Ταχραβασμοῦντον γῆ μοδίων ἑπτακοσίων· οἰκήματα ἐργαστηριακὰ τρία ἐντὸς τῆς πόλεως Σερρῶν· ἕτερα δύο οἰκήματα πλησίον τῆς πόρτας τοῦ φόρου· οἰκοτόπια πλησίον τοῦ Συναδηνοῦ· μαγκύπιον οἴκημα εἰς τὴν γειτονίαν τὴν λεγομένην τοῦ ἁγίου Βασιλείου· ἕτερον οἴκημα πλησίον τῆς Βούτζης· ἕτερον οἴκημα πλησίον τοῦ Ἱερομνήμονος· μύλων διόφθαλμος ὁλοκαιρινὸς εἰς τὸν διερχόμενον ποταμὸν πλησίον τοῦ μεγάλου πύργου· ἥμισυ ἑτέρου μύλωνος ἄνωθεν αὐτοῦ εὑρισκομένου, ὡς τοῦ ἑτέρου ἡμίσεως αὐτοῦ κατεχομένου ὑπὸ τοῦ Πραντουλῆ· ἕτερος μύλων διόφθαλμος καὶ αὐτὸς πλησίον τοῦ ναοῦ τῶν ἁγίων Θεοδώρων· ἕτερος μύλων διόφθαλμος καὶ αὐτὸς πλησίον τοῦ παραπορτίου· ἕτερος μύλων

μονόφθαλμος πλησίον τοῦ Σταυρακοπούλου· ἀμπέλια ἐν διαφόροις τόποις συνεγγὺς τοῦ κάστρου, ὡσεὶ μοδίων εἴκοσι τεσσάρων· ἕτερον ἀμπέλιον πλησίον τοῦ Γεροντίτζη τῆς Πέτρας μοδίων ἕξ· ἕτερον ἀμπέλιον πλησίον τοῦ ναοῦ τῆς ἁγίας Μαρίνης μοδίων ἕξ· γῆ ἀπὸ προσενέξεως καὶ ἀγορασίας εἰς τὸν τόπον τὸν Μεριχίαν πλησίον τῶν Κουβουκλίων μοδίων διακοσίων ἑξήκοντα· ἑτέρα γῆ εἰς τὴν Κόσναν πλησίον τῆς γῆς τοῦ Πελαργοῦ καὶ τοῦ δημοσιακοῦ συνόρου σὺν τῇ γῇ τῇ ἀπὸ τοῦ Ξυφέα μοδίων ἑκατὸν πεντήκοντα· ἑτέρα γῆ πλησίον τοῦ Τριβόλη μοδίων ἑκατόν· ἑτέρα γῆ ἰδιοπεριόριστος πλησίον τῆς γῆς τῶν Κουβουκλίων καὶ τῆς γῆς τοῦ Πελαργοῦ μοδίων χιλίων τετρακοσίων· ἑτέρα γῆ εἰς τὸ Λιβάδιον μοδίων ἑξακοσίων, ἄνευ τῆς ἐκεῖσε ἐκλειωματικῆς γῆς τοῦ Δραγόη, ἐν ᾗ εὑρίσκονται καὶ μυλοτόπια δύο· ἑτέρα γῆ εἰς τὸν τόπον τοῦ Βερνάρη μοδίων τριακοσίων· περὶ τὸν Πάνακαν (1) τόπος χερσαῖος καὶ ἀνήροτος, εἰς ὃν κατεφύτευσαν δένδρα ἐλαϊκά· καὶ οἰκοτόπια πλησίον τοῦ νεουργηθέντος παραπορτίου σὺν τῷ ἐκεῖσε ναῷ τῆς ὑπεραγίας Θεοτόκου τῆς Ὁδηγητρίας· ἡ βασιλεία μου διὰ τὴν μεσιτείαν τοῦ δηλωθέντος περιποθήτου θείου αὐτῆς τοῦ ὑψηλοτάτου κράλη Σερβίας, καὶ τῆς περιποθήτου θείας τῆς βασιλείας μου τῆς ὑψηλοτάτης κραλαίνης, τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν τὰ ἀνωτέρω κατὰ μέρος δηλωθέντα, τά τε ἀπὸ προσενέξεως καὶ τὰ ἐξ ἀγορασίας καὶ ἀλλοτρόπως περιελθόντα αὐτῇ, ἀναφαιρέτως, ἀνενοχλήτως, καὶ ἀδιασείστως μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτῶν κατὰ τὰς εἰς τοῦτο περιλήψεις τῶν προσόντων αὐτῇ παλαιγενῶν διαφόρων δικαιωμάτων, ἔτι δὲ καὶ τὴν περίληψιν τοῦ διαληφθέντος χρυσοβούλλου

(1) Ἐν τῇ ὤᾳ γρ. ἢ Πάνικα.

Digitized by Google

τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως τοῦ πάππου τῆς βασιλείας μου. Ὅθεν καὶ τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται ἡ δηλωθεῖσα σεβασμία μονὴ πάντα ταῦτα, ἐκτὸς πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, καὶ ἑτέρας ἁπάσης διενοχλήσεως· οὔτε γὰρ τὸ τῆς σιταρκίας κεφάλαιον ἀπαιτηθήσεται ἀπὸ τῶν κτημάτων αὐτῆς, οὔτε τὸ τῆς ὁρικῆς καὶ τῆς καστροκτισίας καὶ τοῦ ἐννομίου, ἀλλὰ συντηρηθήσεται ἀπὸ τούτων ἀνενόχλητος πάντη καὶ ἀναπαίτητος, συντηρηθήσεται δὲ ὡσαύτως ἀνενόχλητος καὶ ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἱερωτάτου ἀρχιερέως εἰς τὴν μητρόπολιν τῶν Σερρῶν, πλὴν μόνον τοῦ συνήθους μνημοσύνου αὐτοῦ καὶ τοῦ τεταγμένου κανονικοῦ, καὶ ἵνα οὐδὲν ἔχῃ ὁ τοιοῦτος ἀρχιερεὺς ἄδειαν ὅλως ἀποκαθιστᾷν ἡγουμένους εἰς τὴν τοιαύτην μονήν, ἢ πάλιν ἐξάγειν αὐτούς, ἀλλὰ ὁ μέλλων εὑρίσκεσθαι εἰς τὴν ἡγουμενείαν αὐτῆς ἐκλέγηται παρὰ τῶν μοναχῶν αὐτῆς καὶ ἀποστέλληται εἰς τὸν κατὰ καιροὺς παναγιώτατον πατριάρχην καὶ σφραγίζηται παρ' αὐτοῦ καὶ τάττηται εἰς τὴν ἡγουμενείαν αὐτῆς· βούλεται γὰρ ἡ βασιλεία μου καὶ θεσπίζει πατριαρχικὴν εἶναι τὴν τοιαύτην σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου· τούτου γὰρ χάριν ἐγένετο αὐτῇ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα Ἰούνιον τῆς ἐνισταμένης τετάρτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός, τό·

Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.

Ἡσαΐας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐπεὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν διαδεξάμενος τὸ περὶ τὰς Σέρρας κατὰ τὸ ὄρος τοῦ Μενοικέως διακείμενον μοναστήριον τὸ εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡς γονικόθεν αὐτῷ διαφέρον περιεποιήσατο καὶ ἐπηύξησε καὶ εἰς ὃ νῦν ὁρᾶται μεγέθους καὶ περιφανείας κατέστησεν, ἱκανὰς αὐτῷ κτήσεις προσκυρώσας εἰς διατροφὴν τῶν ἐν αὐτῷ μοναχῶν, καὶ διαθέμενος καὶ τυπώσας τὸ κατ' αὐτὸ ὡς ἦν αὐτῷ πρὸς βουλήσεως, πορισάμενός τε καὶ σεπτὸν χρυσόβουλλον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐπὶ πᾶσι τοῖς τῷ τοιούτῳ διαφέρουσι μοναστηρίῳ ἀνενοχλησίαν αὐτοῖς ποιούμενον, καὶ ἀτέλειαν ἐπιβραβεῦον καὶ ἐλευθεριότητα, καὶ πάντων τῶν κατὰ καιροὺς ἐπερχομένων τοῖς ἄλλοις ἅπασιν ἀνώτερον καθιστάνον, ἐζήτησε δὲ καὶ ἡμετέρου σιγιλλίου τυχεῖν ἀσφαλείας χάριν καὶ τῆς ἐντεῦθεν, τὸ παρὸν ἡ μετριότης ἡμῶν ἀπολύει, δι' οὗ καὶ ἐν ἁγίῳ πνεύματι παρακελεύεται ἐπὶ τῆς αὐτῆς ἐλευθεριότητος καὶ ἀτελείας μένειν τὰ προσαρμοσθέντα τῷ τοιούτῳ μοναστηρίῳ εἰς αἰῶνα τὸν ἐξῆς ἅπαντα, ὡς καὶ τὸ σεπτὸν χρυσόβουλλον διορίζεται, καὶ μηδεμίαν οὐδέποτε παρ' οὐδενὸς εὑρεῖν ταῦτα ἐπιβουλήν· ὡσαύτως διακελεύεται ἡ μετριότης ἡμῶν μένειν δι' αἰῶνος ἀπαραποίητον καὶ ὅσον ὁ αὐτὸς θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν διετάξατο καὶ ἐτύπωσεν ἐπὶ τῷ κατ' αὐτὸν τοιούτῳ μοναστηρίῳ, καὶ μηδέν τι τούτων παραβαθῆναι, ἢ ἀθετηθῆναι παρ' οὐδενός· διὸ δὴ καὶ οὐδείς τις ἢ τῶν ἐν αὐτῷ ἀσκουμένων ἢ τῶν ἄλλων ἁπάντων εἰς ἀθέτησιν ὀφείλει χωρῆσαι τῶν διατεταγμένων καὶ τετυπωμένων παρὰ τοῦ τοιούτου ἀρχιερέως, ἀλλ' οὐδέ τις τῶν κατὰ γένος προσηκόντων τούτῳ, εἴτε τῶν μοναχῶν εἴη, ἤτε τῶν λαϊκῶν, κατεξουσιάσαι πειράσεται τοῦ τοιούτου μοναστηρίου καὶ τῶν διατυπωθέντων ἀθετῆσαι, ὡς εἴρηται

παρὰ τοῦ αὐτοῦ θεοφιλεστάτου ἐπισκόπου, ὑφορώμενος τὸ παρ' αὐτοῦ ἐκφωνηθὲν κατὰ τῶν τοιούτων βαρύτατον ἀφορισμοῦ ἐπιτίμιον, ἔτι δὲ τὸ παρὰ τῆς ἡμῶν μετριότητος· προσεκφωνεῖ γὰρ τοῦτο καὶ ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος σιγιλλίου αὐτῆς, ἀπολυθέντος εἰς διαιωνίζουσαν τὴν περὶ τῶν εἰρημένων ἀσφάλειαν, μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος ὀγδόης.

Ἐπεὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἐζήτησε καὶ ἔλαβε τιμίαν σιγιλλιώδη πατριαρχικὴν γραφὴν ἐπὶ τῷ τυπικῷ καὶ τῇ καταστάσει καὶ διατυπώσει, ἣν ἐποιήσατο εἰς τὴν ἀνεγερθεῖσαν παρ' αὐτοῦ σεβασμίαν μονὴν κατὰ τὸ ὄρος τοῦ Μενοικέως τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡσὰν διαμένει ἡ τοιαύτη κατάστασις καὶ ὑποτύπωσις βεβαία καὶ ἀμετάθετος καὶ οὐδὲν εὕρῃ παρά τινος τῶν κατὰ γένος προσηκόντων αὐτῷ καὶ τῶν ἄλλων ἁπάντων ἀνατροπήν τινα καὶ κατάλυσιν καθ' οἱονδήτινα τρόπον· ἐδεήθη δὲ τυχεῖν ἐπὶ τῇ δηλωθείσῃ τιμίᾳ πατριαρχικῇ γραφῇ καὶ προστάγματος τῆς βασιλείας μου διὰ τὴν ἐντεῦθεν ἑδραίαν καὶ μόνιμον ἀνενοχλησίαν αὐτοῦ καὶ ἀσφάλειαν· τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου τὸ παρὸν αὐτῷ ἐπιχορηγεῖ πρόσταγμα, δι' οὗ καὶ διορίζεται ὡς ἂν κατὰ τὴν περίληψιν τῆς γενομένης αὐτῷ καθὼς εἴρηται τιμίας πατριαρχικῆς γραφῆς διαμένει ἡ ὑποτύπωσις καὶ κατάστασις, ἣν ἐποίησεν οὗτος δὴ ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν εἰς τὴν εἰρημένην σεβασμίαν μονὴν βεβαία καὶ ἀκατάλυτος, καὶ οὐδὲν ἕξει ἄδειάν τις τῶν κατὰ γένος προσηκόντων αὐτῷ, καὶ τῶν ἄλλων ὁποῖον δή τινα λαϊκῶν τε καὶ μοναχῶν πειραθῆναι καὶ ἐργάσασθαί τι εἰς ἀνατροπὴν καὶ κατάλυσιν τῆς τοιαύτης διατάξεως καὶ ὑποτυπώσεως αὐτοῦ, ἐπειδὴ καὶ τούτου ἕνεκεν ἐγένετο καὶ ἐπε-

χορηγήθη τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα εἰς ἀσφάλειαν.

Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ ἀπριλίῳ ἰνδ. η'.

Ἐπειδὴ ἐτάχθη διὰ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως τοῦ πάππου τῆς βασιλείας μου τοῦ ἀοιδίμου καὶ μακαρίτου, ἔτι δὲ καὶ τῆς βασιλείας μου, ἀλλὰ δὴ καὶ διὰ τιμίας πατριαρχικῆς γραφῆς, ἵνα ἐκλέγωνται οἱ ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῇ διακειμένῃ ἐπὶ τοῦ ὄρους τοῦ Μενοικέως καὶ ἐφορευομένῃ παρὰ τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου μεγάλου δομεστίκου κυροῦ Ἰωάννου Παλαιολόγου τοῦ Καντακουζηνοῦ, ἐνασκούμενοι μοναχοὶ εἰς καθηγούμενον αὐτῶν, ὃς ἂν φανῇ αὐτοῖς ἁρμόδιος, καὶ ἐξελέξαντο καὶ ἔταξαν τὸν τιμιώτατον ἐν ἱερομονάχοις κῦρ τὸν δεῖνα εἰς καθηγούμενον αὐτῶν, καὶ εὑρίσκεται ὁ τοιοῦτος εἰς αὐτοὺς καὶ φροντίζῃ καὶ ἐπιμελῆται τῆς ἐπὶ τὸ κρεῖττον συστάσεως καὶ βελτιώσεως τῆς τοιαύτης μονῆς, καὶ ἐζήτησεν ἵνα πορίσηται οὗτος καὶ πρόσταγμα τῆς βασιλείας μου· ἡ βασιλεία μου ἀπολύει τὸ παρὸν πρόσταγμα, δι' οὗ καὶ διορίζεται ὡς ἂν εὑρίσκεται ὁ διαληφθεὶς οὗτος ὡς καθηγούμενος τῶν ἐν τῃ τοιαύτῃ μονῇ εὑρισκομένων μοναχῶν, καὶ φροντίζῃ, καὶ ἐπιμελεῖται τῆς ψυχικῆς αὐτῶν σωτηρίας, καὶ τῆς ἐπὶ τὸ κρεῖττον συστάσεως καὶ βελτιώσεως τῆς τοιαύτης μονῆς, ὀφείλοντες καὶ οἱ ἐν αὐτῇ μοναχοὶ ὑπακούειν καὶ πείθεσθαι τούτῳ ἐφ' οἷς ἂν ἔχῃ λέγειν εἰς αὐτούς, ἀφορῶσιν εἰς σύστασιν καὶ ἀσφάλειαν αὐτῶν, καὶ εἰς βελτίωσιν τῶν κτημάτων αὐτῶν, ἔτι τε ἔχειν εἰς αὐτὸν αἰδῶ καὶ τιμὴν ὅσον

εἰς καθηγούμενον αὐτῶν. Τούτου γὰρ χάριν ἐγένετο αὐτῷ καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· Μηνὶ Ἀπριλίῳ ἰνδ. β'.

Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος διὰ τὴν ἐνοῦσαν αὐτῷ πνευματικὴν καὶ θεάρεστον πολιτείαν τε καὶ κατάστασιν ἐπεμελήθη μετὰ τοῦ ἀρχιερατικοῦ καὶ πνευματικοῦ ζήλου, καὶ συνεστήσατο ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων περὶ τὴν θεόσωστον πόλιν τῶν Σερρῶν εἰς τὸ ὄρος τοῦ Μενοικέως λεγόμενον, μοναστήριον εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἀνήγειρε δὲ καὶ ἐντὸς τῆς δηλωθείσης πόλεως Σερρῶν καὶ ἕτερον μοναστήριον εἰς ὄνομα τιμώμενον καὶ αὐτὸ τοῦ τιμίου προφήτου Προδρόμου, καὶ ἔταξε καὶ ἀπεκατέστησεν εὑρίσκεσθαι ἀμφότερα ταῦτα ἡνωμένα καὶ ὑπὸ τὸν αὐτὸν καὶ ἕνα ἡγούμενον, ἵνα ἔνι τὸ ἐντὸς τοῦ κάστρου Σερρῶν δηλωθὲν μοναστήριον εἰς μετόχιον τῆς διαληφθείσης σεβασμίας μονῆς τῆς εἰς τὸ ὄρος τοῦ Μενοικέως· προσετέθησαν δὲ εἰς ταύτας δὴ τὰς μονὰς διὰ προμήθειαν καὶ κυβέρνησιν τῶν ἐν αὐταῖς ἀσκουμένων μοναχῶν ἀπό τε δωρεᾶς τοῦ ἁγίου μου αὐθέντου τοῦ πάππου μου, ἔτι δὲ καὶ ἐξ ἀγορασίας τοῦ αὐτοῦ ἱερωτάτου μητροπολίτου Ζιχνῶν καὶ ὑπερτίμου, ἀλλὰ δὴ καὶ ἀπὸ προσενέξεως διαφόρων κατὰ θεοφιλῆ καὶ εὔλογον τρόπον ἐντὸς καὶ ἐκτὸς τῆς δηλωθείσης πόλεως Σερρῶν, ἔτι δὲ καὶ ἀλλαχοῦ, κτήματα, μετόχια καὶ λοιπὰ προσοδήματα, ἐφ' οἷς ἔφθασε καὶ ἐπορίσατο χρυσόβουλλα καὶ προστάγματα τοῦ τε ἁγίου μου αὐθέντου καὶ βασιλέως τοῦ πάππου μου, ἔτι δὲ καὶ τοῦ ἀοιδίμου αὐθέντου καὶ βασιλέως καὶ πατρὸς τῆς βασιλείας μου, ἀλλὰ δὴ καὶ τῆς βασιλείας μου, διοριζόμενα κατὰ μέρος πάντα

ὅσα πρόσεστιν, ὡς δεδήλωται, ταῖς τοιαύταις μοναῖς κτήματα καὶ λοιπὰ εἰσοδήματα, πάντα ταῦτα κατὰ μέρος ὡς εἴρηται ἐμπεριειλημμένα καὶ διοριζόμενα ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις, ἐζήτησαν δὲ καὶ παρεκάλεσαν καὶ ἀρτίως τὴν βασιλείαν μου οἱ μοναχοὶ τῶν εἰρημένων μονῶν ὡς ἂν ἐπιχορηγηθῇ αὐτοῖς καὶ ἕτερον χρυσόβουλλον εἰς ἐπιστηριγμὸν καὶ ἐπικύρωσιν καὶ βεβαίωσιν τῶν προγεγονότων καὶ ἐπιχορηγηθέντων αὐτοῖς, καθὼς εἴρηται χρυσοβούλλων καὶ προσταγμάτων καὶ λοιπῶν δικαιωμάτων, καὶ κατέχωσιν ἐντεῦθεν καὶ εἰς τὸ ἑξῆς τὰ προσόντα ταῖς εἰρημέναις μοναῖς κτήματά τε καὶ προάστεια καὶ μετόχια, καὶ λοιπὰ εἰσοδήματα, ἀνενοχλήτως τε καὶ ἀναποσπάστως, ἀδιασείστως καὶ ἀδιαφαιρέτως, ὡς εὑρίσκονται κατέχοντες ταῦτα, νεμόμενοι μέχρι τοῦ νῦν, κατὰ πᾶσαν δηλονότι τὴν ἰσχὺν καὶ περίληψιν τῶν εἰρημένων χρυσοβούλλων καὶ προσταγμάτων καὶ λοιπῶν δικαιωμάτων· κατέχωσι δὲ σὺν τούτοις καὶ τὴν γῆν τὴν διακειμένην περὶ τὸ μετόχιον αὐτῶν τὸ εἰς ὄνομα τιμώμενον τοῦ σωτῆρος Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ ἐπικεκλημένον τοῦ Γασταλάγκου, ἥντινα δὴ γῆν ἀνεδέξατο καὶ κατεῖχεν ἐκεῖσε ὁ Μετοχίτης κῦρις Θεόδωρος, εὐηργέτησε δὲ ταύτην προσφάτως διὰ προστάγματος ἡ βασιλεία μου εἰς τὸ τοιοῦτον μετόχιον· διατηρῶνται δὲ καὶ τὰ εἰρημένα κτήματα τῶν τοιούτων μονῶν καὶ ἀπὸ πάσης μὲν ἄλλης ἐπηρείας καὶ δημοσιακῆς διενοχλήσεως ἀνώτερα καὶ ἀκαταζήτητα, κἂν ὅπου ἄρα καὶ εὑρίσκωνται, ἀλλὰ δὴ καὶ ἐξ αὐτῆς τῆς ἀπαιτήσεως τῶν δημοσιακῶν κεφαλαίων τῆς σιταρκίας, τῆς ὁρικῆς, τῆς καστροκτισίας καὶ τοῦ ἐννομίου, ὡς διαλαμβάνεται καὶ περὶ τούτου ἐν τοῖς προγεγονόσιν αὐτοῖς καθὼς εἴρηται χρυσοβούλλοις, καὶ καθὼς διετηρήθησαν ταῦτα μέχρι τοῦ νῦν· τὴν τοιαύτην ζήτησιν καὶ παράκλησιν τῶν εἰρημένων μοναχῶν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύεται ταῖς κατ' αὐτοὺς τοιαύταις σεβασμίαις μοναῖς, δι' οὗ

καὶ προστάσσει καὶ διορίζεται, εὑρίσκεσθαι μὲν καὶ εἰς τὸ ἑξῆς τὰς τοιαύτας μονὰς ἡνωμένας καὶ ὑπὸ τὸν αὐτὸν καὶ ἕνα καθηγούμενον, καθὼς ἔταξε καὶ διετυπώσατο ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος, καὶ μὴ εὑρίσκειν τὸν μέλλοντα προΐστασθαι εἰς αὐτὰς ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἱερωτάτου ἀρχιερέως εἰς τὴν μητρόπολιν τῶν Σερρῶν διενόχλησίν τινα καὶ διασεισμόν, πλὴν μόνου τοῦ συνήθους μνημοσύνου αὐτοῦ καὶ τοῦ τεταγμένου κανονικοῦ, καθὼς καὶ περὶ τούτου διαλαμβάνεται ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις, κατέχειν δὲ καὶ εἰς τὸ ἑξῆς τὰς εἰρημένας μονὰς εἰς ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα ἀναποσπάστως τε καὶ ἀδιασείστως πάντα τὰ ἐντὸς καὶ τὰ ἐκτὸς τῆς θεοσώστου πόλεως τῶν Σερρῶν προσόντα κτήματα, μετόχιά τε καὶ προάστεια καὶ λοιπὰ εἰσοδήματα, ἃ καὶ κατὰ μέρος ὡς δεδήλωται διαλαμβάνονται ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις· κατέχειν ὁμοίως τοὺς εἰρημένους μοναχοὺς ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ τὴν δοθεῖσαν αὐτοῖς προσφάτως γῆν διὰ προστάγματος τῆς βασιλείας μου εἰς τὸ δηλωθὲν μετόχιον αὐτῶν τὸ τοῦ Γαστελέγκους λεγόμενον, ἥντινα δὴ γῆν ἐκράτει πρότερον, καθὼς εἴρηται, ὁ δηλωθεὶς Μετοχίτης. Ὅθεν καὶ τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξουσι καὶ νεμηθήσονται αἱ δηλωθεῖσαι μοναὶ πάντα ταῦτα ἐκτὸς πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας ἁπάσης διενοχλήσεως· ἐπειδὴ οὔτε τὸ τῆς σιταρκίας κεφάλαιον ἀπαιτηθήσεται ἀπὸ τῶν κτημάτων αὐτῆς, οὔτε τὸ τῆς ὁρικῆς καὶ τῆς καστροκτισίας, καὶ τοῦ ἐννομίου, ἀλλὰ συντηρηθήσονται καὶ ἀπὸ τούτων κἂν ὅπου καὶ εὑρίσκωνται τὰ εἰρημένα κτήματα αὐτῶν ἀνενόχλητα παντελῶς καὶ ἀναπαίτητα, συντηρηθήσονται δὲ ὡσαύτως αἱ τοιαῦται μοναὶ ἀνενόχλητοι καὶ ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἱερωτάτου ἀρχιερέως εἰς τὴν μητρόπολιν τῶν Σερρῶν, πλὴν μόνου τοῦ συνήθους μνημοσύνου αὐτοῦ καὶ

τοῦ τεταγμένου κανονικοῦ, καὶ οὐδὲ ἔξει ἄδειαν ὁ τοιοῦτος ἀρχιερεὺς ἀποκαθιστᾷν ἡγουμένους εἰς τὰς τοιαύτας μονάς, ἢ πάλιν ἐξάγειν αὐτούς, ἀλλὰ ὁ μέλλων εὑρίσκεσθαι εἰς τὴν ἡγουμενείαν αὐτῶν ἐκλέγηται παρὰ τῶν μοναχῶν καὶ ἀποστέλληται εἰς τὸν κατὰ καιροὺς παναγιώτατον πατριάρχην καὶ σφραγίζηται παρ' αὐτοῦ, καὶ τάττηται εἰς τὴν ἡγουμενείαν αὐτῆς· βούλεται γὰρ ἡ βασιλεία μου καὶ θεσπίζει πατριαρχικὴν εἶναι τὴν τοιαύτην σεβασμίαν μονὴν τοῦ τιμίου προφήτου Προδρόμου, ἔτι δὲ καὶ τὴν ἐντὸς τοῦ κάστρου ἡνωμένην μετ' αὐτῆς ἑτέραν μονήν, ὡς δεδήλωται τοῦ αὐτοῦ τιμίου προφήτου Προδρόμου. Τούτου γὰρ χάριν ἐγένετο αὐταῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα Γανουάριον τῆς νῦν τρεχούσης δωδεκάτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Εἶχε δὲ καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός, τό·

Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ρωμαίων ὁ Παλαιολόγος.

Ἔφθασε μὲν ὁ ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος μοναστήρια περί τε τὸ τοῦ Μενοικέως ὄρος καὶ ἐντὸς τῆς πόλεως Σερρῶν ἐκ βάθρων ἀνεγείρας τε καὶ συστησάμενος, ἐπ' ὀνόματι ἀμφότερα τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ τετιμημένα, ὥστε διατελεῖν μέντοι ἡνωμένα καὶ ὑφ' ἑνὶ τυγχάνειν ὄντα τῷ ἡγουμενεύοντι καὶ πνευματικῶς διοικοῦντί τε καὶ διϊθύνοντι αὐτά· εἶναι δὲ τὸ ἐν τῇ πόλει Σερρῶν ὑπὸ τῷ τοῦ Μενοικέως ὄρει καὶ μετοχίου λόγον ἔχειν εἰς αὐτό· ἔφθασε δὲ τούτοις ἐπιχορηγηθέντα καὶ χρυσόβουλλα καὶ προστάγματα τοῦ τε ἀοιδίμου καὶ μακαρίτου ἁγίου μου αὐ-

θέντου καὶ βασιλέως τοῦ πάππου τῆς βασιλείας μου, ὁμοίως καὶ τῆς βασιλείας μου, ἑδραῖα μὲν καὶ πάντη ἀμετάτρεπτα τὰ προσόντα τούτοις, ἃ διά τε προσταγμάτων καὶ ἐκ προσενέξεων καὶ ἀγορῶν καὶ ἀλλοτρόπως τούτοις παρῆλθε, καὶ εἰς τὸ ἑξῆς προσεῖναι προστάττοντά τε καὶ διοριζόμενα, ἃ δὴ καὶ κατ' ὄνομα ἐν τούτοις ἐστὶ διειλημμένα, ἀνώτερα δὲ ταῦτα καὶ τῆς τῶν δημοσιακῶν κεφαλαίων διατηρεῖσθαι ἀπαιτήσεως, σιταρκίας, καστροκτισίας καὶ ὁρικῆς, ἔτι δὲ καὶ ἐννομίου καὶ πάσης ἄλλης δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, καὶ μηδόλως ἀπαιτεῖσθαι ταῦτα μήτ' ἐκ τῶν παροίκων μήτ' ἐκ τῶν ἄλλων ἐν κτήμασιν αὐτῶν προσκαθημένων, κἂν ἔνθα ἄρα καὶ εὑρίσκωνται εἰς ἣν δὴ κατάστασιν καὶ μέχρι τοῦ νῦν, διατηροῦνται ἀνενόχλητα, ὡσαύτως τε προστάττοντα μηδὲ τὸν κατὰ καιροὺς ἀρχιερατικῶς τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν προεστηκότα δι' ὄχλου τοῖς τοιούτοις γίνεσθαι μοναστηρίοις καὶ μοναχοῖς τοῖς ἐν αὐτοῖς, ἀλλὰ μόνοις τῷ τε συνήθει μνημοσύνῳ καὶ τῷ νενομισμένῳ αὐτοῦ κανονικῷ ἀρκούμενον, διατηρεῖν ταῦτα τελείως ἀνενόχλητα, καὶ μήτε καθιστᾷν ἐξεῖναι τούτῳ ἐν τούτοις καθηγούμενον, μήτε ἐξάγειν ἀπὸ τούτων, ἀλλ' εἴ ποτε δέοι καταστῆναι τούτοις τὸν ἐπὶ τὰς σωτηρίους ὁδοὺς αὐτοῖς καθηγούμενον, τὴν τούτου ἐκλογὴν τοὺς ἐν αὐτοῖς ποιεῖν μονάζοντας, καὶ ὃν ἂν ἐκλέγωνται (εἰς τὸν κατὰ) καιροὺς τῶν τῆς ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας οἰάκων πατριαρχικῶς ἐπειλημμένον πέμπειν τοῦτον, καὶ οὕτω τὴν τῆς ἡγουμενείας καὶ πνευματικῆς ἐπιστασίας σφραγῖδα παρὰ τούτου δέχεσθαι, καὶ πατριαρχικὰ τὰ τοιαῦτα μοναστήρια διατελεῖν ὑπάρχοντα. Ἐπεὶ δὲ τούτων οὕτω κατασπάντων, τῇ περὶ ταῦτα σπουδῇ τοῦ ῥηθέντος ἱερωτάτου μητροπολίτου Ζιχνῶν καὶ ὑπερτίμου, καὶ ἕτερόν τι οὗτος ἐπ' ὠφελείᾳ καὶ συστάσει τούτων εὖ ποιῶν ἐπινοεῖ καὶ ὑπὸ τὴν ἐφορείαν καὶ ἐπίσκεψιν τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου τοῦ μεγάλου δομεστίκου κυροῦ

Γωάννου τοῦ Παλαιολόγου τοῦ Καντακουζηνοῦ, τὰς τοιαύτας σεβασμίας μονὰς τίθησι διὰ γράμματος αὐτοῦ, καὶ τῆς τούτου προμηθείας καὶ κηδεμονίας ταύτας δι' αὐτοῦ ἐξάπτει καὶ ὡς κτήτορα αὐτὸν ἐκείνων εἶναι διατάττεται· ὁ δὲ προσειέμενος τὰ περὶ τούτου καὶ τὴν τούτων ἀναδεδεγμένην ἐπιμέλειαν, αἰτεῖ τὴν βασιλείαν μου καὶ ἱκετεύει ἐπὶ τούτοις τε τοῖς ἄνω εἰρημένοις, καὶ ἃ παραυτίκα δὴ ῥηθήσεται, καὶ νῦν χρυσόβουλλον αὐτῆς ἐπιχορηγηθῆναι ταύταις· ἡ βασιλεία μου τὴν τούτου δέησιν προσίεται καὶ τὸν παρόντα τοῦτον χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τὰς τοιαύτας σεβασμίας μονάς, δι' οὗ καὶ προστάττει καὶ θεσπίζει καὶ διορίζεται εἶναι μὲν καὶ εἰς τὸ ἑξῆς ταύτας ἡνωμένας καὶ τῷ αὐτῷ καὶ ἑνὶ καθηγουμένῳ ὑποκεῖσθαι, τὴν μέντοι ἐν τῇ πόλει Σερρῶν εἶναι ὡς μετόχιον τῆς ἐν τῷ Μενοικέως ὄρει, καὶ εἴ τι δ' ἄλλο, δι' οὗ ἐπεποιήκει τυπικοῦ ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης ἔταξέ τε καὶ διετυπώσατο, ἀμετάτρεπτον διατηρεῖσθαι καὶ πάντῃ ἀμετάβλητον, καὶ μὴ ὑφίστασθαι τοὺς ἐν ταύταις μοναχοὺς παρὰ τοῦ κατὰ καιροὺς ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Σερρῶν ἀρχιερατεύοντος διενόχλησίν τινα καὶ διασεισμόν, μόνοις ἀρκουμένου τῷ τε μνημοσύνῳ καὶ τῷ συνήθει αὐτοῦ κανονικῷ, καὶ μηδὲ ἐπ' ἀδείας ἔχοντος καθιστᾷν ἡγουμένους ἐν αὐταῖς, ἢ ἐξάγειν τούτους ἐξ αὐτῶν, ὡς τῶν ἐν ταύταις ὀφειλόντων μοναχῶν τὸν πνευματικῶς προστησόμενον αὐτῶν ἐκλέγεσθαι καὶ ὡς τῷ κατὰ καιροὺς τῆς ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας πατριαρχικῶς προεστηκότι τοῦτον πέμπειν, τὴν τῆς ἡγουμενίας ἀποκατάστασιν ληψόμενον, ὡς πατριαρχικῶν οὐσῶν τῶν τοιούτων σεβασμίων μονῶν, καθάπερ καὶ διὰ τῶν ῥηθέντων χρυσοβούλλων ὥρισταί τε καὶ τεθέσπισται, κατέχειν δὲ ὡσαύτως τὰς τοιαύτας σεβασμίας μονὰς καὶ εἰς τὸ ἑξῆς ἀναφαιρέτως, ἀναποσπάστως, καὶ κατὰ πᾶσαν κυριότητα καὶ δεσποτείαν πάντα τὰ αὐταῖς προσόντα μετόχιά τε καὶ λοιπὰ διάφορα κτήματα,

ἃ καὶ κατὰ μέρος ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις καὶ προστάγμασι διείληπται, κατὰ πᾶσαν τὴν τούτων ἰσχὺν καὶ περίληψιν καὶ ὡς εὑρίσκονται ταῦτα μέχρι τοῦ νῦν κατέχοντες καὶ νεμόμενοι· ὃν δὴ τρόπον καὶ περὶ τὸν Ζελίχοβον γῆν αὐτῶν κατέχειν ὀφείλουσιν, ἣν εἶχον μὲν πρότερον ἐπὶ τέλει ὑπερπύρων ἑπτά, μετὰ δὲ ταῦτα ὁρισμῷ τῆς ἁγίας μου κυρίας καὶ δεσποίνης τῆς μάνας τῆς βασιλείας μου, ἀτελῶς κατέχωσι καὶ νέμωνται καὶ μὴ εἰδῶσι τοῦ τοιούτου τέλους παρὰ μηδενὸς καθέλκεσθαι, καὶ συνιστᾷν καὶ βελτιοῦν ταῦτα πάντα, ὡς ἔχουσι βουλήσεως καὶ δυνάμεως, διατηρεῖσθαι δὲ καὶ τὰ τοιαῦτα κτήματα αὐτῶν καὶ τοὺς ἐν αὐτοῖς παροίκους καὶ λοιποὺς προσκαθημένους τούτων, κἂν ἔνθα ἄρα καὶ εὑρίσκωνται, ἐκτὸς τῆς τῶν δημοσιακῶν κεφαλαίων ἀπαιτήσεως, καστροκτισίας, ὁρικῆς, σιταρκίας καὶ ἐννομίου καὶ πάσης ἄλλης δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, κατὰ τὴν τῶν δηλωθέντων χρυσοβούλλων καὶ προσταγμάτων περίληψιν, καὶ ὡς διατηρῶνται ἀπὸ τούτων μέχρι τοῦ νῦν, τὸν αὐτὸν τρόπον διορίζεται ἡ βασιλεία μου διατηρεῖσθαι τὰ τοιαῦτα κτήματα αὐτῶν, καὶ τοὺς ἐν αὐτοῖς παροίκους καὶ προσκαθημένους τούτων καὶ ἀπὸ τῆς ἀπαιτήσεως τοῦ διαβατοῦ τῶν ζώων αὐτῶν, καὶ ὅπου ἄρα καὶ διαβαίνωσι, καὶ ἀπὸ τῆς καταθέσεως τοῦ μητάτου, καὶ μὴ ἔχειν ἐπ' ἀδείας ποιεῖν ἐν τούτοις ταύτην, μήτε τὸν καθολικῶς μήτε τὸν μερικῶς ἐν τῷ τοιούτῳ τόπῳ κεφαλαττικεύοντα χάριν ἑαυτῶν, εἴτε καὶ στρατιωτῶν, μηδὲ εἰς δόσιν καθέλκειν τούτους ξυλαχύρου, μηδὲ ἑτέραν δή τινα ἐπάγειν τούτοις καταστριβήν τε καὶ ἐπήρειαν· ἀλλ' ἐπὶ τούτοις τοῖς ἄνω εἰρημένοις διαμένειν τὰς τοιαύτας σεβασμίας μονὰς ἀνενοχλήτους παντάπασι καὶ ἐκτὸς διασεισμοῦ οὑτινοσοῦν, ὑπὸ τὴν ἐφορείαν τελοῦσας καὶ ἐπίσκεψιν τοῦ τοιούτου περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ μεγάλου δομεστίκου, καὶ ὡς κτήτορα αὐτὸν ἐκείνων καὶ ὥσπερ ἂν εἰ οὗτος ἦν ὁ ταύτας ἐκ βάθρων

ἀνεγείρας καὶ συστησάμενος, οὕτω τοὺς ἐν ταύταις μοναχοὺς ἔχειν ὑπείκοντας αὐτῷ καὶ ἄλλα διαπραττομένους καὶ ἀποπληροῦντας τούτῳ, ἃ ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος διὰ τοῦ ῥηθέντος γράμματος αὐτοῦ ἔταξέ τε καὶ κατέστησεν. Ὅθεν τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου διατηρηθήσονται ταῦτα πάντα ἀμετάτρεπτα πάντη καὶ ἀμετακίνητα, καὶ οὐδεὶς οὐ μή ποτε εἰς ἀνατροπήν τε καὶ ἀθέτησιν τινὸς ἐκ τούτων ὁπωσοῦν χωρῆσαι δυνηθῇ, ἀλλὰ κἂν τῶν κατὰ καιροὺς ἐν τῷ τοιούτῳ τόπῳ κεφαλαττικευόντων, κἂν τῶν τὰ δημόσια διενεργούντων τις, κἂν ἕτερος τῶν ἁπάντων ἢ ὁ καθ' οἱονδήτινα τὸν τρόπον ὅ, τι οὖν ἀθετῆσαι πειρασόμενος, ὡς ἀδυνάτοις ἐπιχειρῶν ἐξελεγχθήσεται, καὶ πάντη πάντως ἀποτραπήσεται καὶ ἀποσοβηθήσεται, ἐπεὶ καὶ ὁ παρὼν οὗτος χρυσόβουλλος λόγος τῆς βασιλείας μου εἰς τὴν ἐπὶ τούτοις πᾶσιν ἀνενοχλησίαν, δεφένδευσίν τε καὶ ἀσφάλειαν ἐπεχορηγήθη ταῖς τοιαύταις σεβασμίαις μοναῖς καὶ τῷ τὴν αὐτῶν ἐφορείαν ἀναδεδεγμένῳ καὶ ἐπίσκεψιν περιποθήτῳ γαμβρῷ τῆς βασιλείας μου, μεγάλῳ δομεστίκῳ κυρῷ Ἰωάννῃ Παλαιολόγῳ τῷ Καντακουζηνῷ, συντεθεὶς κατὰ μῆνα Μάρτιον τῆς νῦν τρεχούσης ταύτης πέντε καὶ δεκάτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τεσσαρακοστοῦ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Εἶχε καὶ ὑπογραφὴν τό, Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.

Ἐπεὶ ὁ μοναχὸς Ἰάκωβος ἔδειξε κατὰ τὸν παρόντα καιρὸν πίστιν καὶ ὑπόληψιν καθαρὰν εἰς τὴν βασιλείαν μου, διὰ τῶν ἔργων ὧν ἐποίησε, καὶ ἐκρατήθη ὁλοσχερῶς καὶ στερρῶς καὶ βεβαίως εἰς αὐτήν, ἐζήτησε δὲ καὶ παρεκάλεσε τὴν βασι-

λείαν μου ἵνα δοθῇ διὰ χρυσοβούλλου πρὸς αὐτὸν τὸ ἐκτὸς τοῦ κάστρου μονύδριον τὸ εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου Δεσποίνης καὶ Θεομήτορος, καὶ ἐπικεκλημένον τῆς Ὀστρινῆς, σὺν τῷ ἐκεῖ θείῳ ναῷ τῆς ἁγίας Ἀναστασίας, καὶ κατέχῃ ταῦτα μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων πάντων αὐτῶν, ἐφ' ὅρῳ παντὶ τῆς αὐτοῦ βιοτῆς, καὶ μετὰ τὸν θάνατον αὐτοῦ κρατῆται καὶ αὐτὸ τὸ μονύδριον καὶ αὐτὸς ὁ θεῖος ναὸς παρὰ τοῦ προσώπου εἰς ὃ μέλλει ἐπαφῆσαι οὗτος ἐκ διαθήκης, δοθείη δὲ καὶ πρὸς αὐτὸν ἀπὸ τῆς εἰς τὸ χωρίον τὸν Θολὸν γῆς τοῦ Παλαιολόγου κυροῦ Ἀλεξίου γῆ μοδίων διακοσίων, τῆς εὑρισκομένης πλησίον τῶν δικαίων τῆς γῆς τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῇ βασιλείᾳ μου κυροῦ Κωνσταντίνου τοῦ Ἀχιρατου, καὶ λαμβάνῃ κατ' ἔτος καὶ τὰ ἀπαιτούμενα χάριν τέλους ἐτησίως ἀπὸ τῶν εἰς τὸ κάστρον τῆς Ζίχνας Ἰουδαίων ὑπέρπυρα εἴκοσι, χάριν προσοδίου αὐτοῦ· ἡ βασιλεία μου τὴν τοιαύτην ζήτησιν καὶ παράκλησιν αὐτοῦ, ὡς καθαρὰν εὔνοιαν καὶ πίστιν καὶ ὑπόληψιν τρέφοντος εἰς αὐτὴν, καὶ δουλείαν ὑπὲρ τῆς βασιλείας μου δουλεύσαντος, ἑτοίμως καὶ εὐμενῶς προσδεξαμένη, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται ἐπιλαβέσθαι μὲν αὐτὸν τοῦ τε εἰρημένου μονυδρίου τῆς ὑπεραγίας Θεοτόκου τῆς Ὀστρινῆς καὶ τοῦ εἰρημένου θείου ναοῦ τῆς ἁγίας Ἀναστασίας, καὶ κατέχειν αὐτὰ ἐφ' ὅρῳ παντὶ τῆς αὐτοῦ ζωῆς ἀνενοχλήτως καὶ ἀδιασείστως μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων πάντων αὐτῶν, καὶ παραπέμπειν μετὰ τὸν θάνατον αὐτοῦ πρὸς ὅπερ ἂν βουληθῇ καὶ θελήσει πρόσωπον, ὡς ἂν κατέχωνται ταῦτα καὶ παρ' αὐτοῦ. κατὰ τὸν ὅμοιον τρόπον δοθῆναι δὴ αὐτῷ καὶ τὴν εἰρημένην γῆν τῶν διακοσίων μοδίων ἀπὸ τῆς εἰς τὸ χωρίον τὸν Θολὸν γῆς τοῦ Παλαιολόγου κυροῦ Ἀλεξίου, καὶ κατέχειν τοῦτον αὐτὴν ὡς γονικήν, λαμβάνειν δὲ κατ' ἔτος καὶ τὰ ἀπαιτούμενα

χάριν τέλους ἐτησίως ἀπὸ τῶν εἰρημένων Ἰουδαίων εἴκοσιν ὑπέρπυρα, χάριν προσοδίου αὐτοῦ. Ὅθεν καὶ τῇ ἐμφανείᾳ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου σιγιλλίου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται ταῦτα ὁ δηλωθεὶς μοναχὸς Ἰάκωβος, ὡς διορίζεται ἰδοὺ ἡ βασιλεία μου, μὴ παρά τινος τῶν ἁπάντων εὑρίσκειν ἐπὶ τούτοις καταδυναστείαν ἢ διενόχλησίν τινα, ἀλλὰ διατηρούμενος παντάπασιν ἀνενόχλητος καὶ ἀδιάσειστος· τούτου γὰρ χάριν γέγονε τῷ δηλωθέντι μοναχῷ τῷ Ἰακώβῳ καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῆς βασιλείας μου.

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός, τό· μηνὶ Μαρτίῳ ἰνδ. α'.

Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος ἐκεῖνος κῦρις Ἰωακεὶμ, διὰ τὴν ἐνοῦσαν αὐτῷ πατρικὴν καὶ θεάρεστον πολιτείαν καὶ κατάστασιν, ἐπεμελήθη μετὰ ἀρχιερατικοῦ καὶ πνευματικοῦ ζήλου καὶ συνεστήσατο ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων ἐκ βάθρων μοναστήρια περί τε τὸ ὄρος τοῦ Μενοικέως καὶ ἐντὸς τῆς θεοσώστου πόλεως Σερρῶν ἐπ' ὀνόματι καὶ ἀμφότερα τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ τετιμημένα Ἰωάννου, ὥστε διατελεῖν ταῦτα ἡνωμένα καὶ ὑφ' ἑνὶ τυγχάνειν ὄντα τῷ ἡγουμενεύοντι καὶ πνευματικῶς διοικοῦντι καὶ εὐθύνοντι αὐτά, εἶναι δὲ καὶ ἐν τῇ πόλει Σερρῶν ὑπὸ τὸ αὐτὸ Μενοικέως καὶ μετοχίου λόγον ἔχειν εἰς αὐτό, προσετέθησαν δὲ εἰς ταύτας δὴ τὰς μονὰς διὰ προμήθειαν καὶ κυβέρνησιν τῶν ἐν αὐτοῖς ἀσκουμένων μοναχῶν ἀπό τε διαφόρων χρυσοβούλλων καὶ προσταγμάτων, ἀπὸ γραφικῶν τε παραδόσεων καὶ ἄλλων δικαιωμάτων, ἑδραῖα πάντη καὶ ἀμετάτρεπτα, ἃ δὴ ἐκ πάντων κεφαλαίων καὶ ἀπαιτήσεων ἀνώτερα καὶ ἀνεπηρέαστα διατηρεῖσθαι διακελεύονται κἀντεῦθεν καὶ διατηροῦνται οὕτω μέχρι τοῦ νῦν, ὡς τὰ ἐπὶ τούτοις χρυσόβουλλα καὶ προσ-

τάγματα παριστῶσι καὶ διαλαμβάνουσιν· ἀρτίως δὲ θεοῦ εὐδοκοῦντος ἐγένετο ἡ των Σερρῶν πόλις ἐπὶ τὴν δούλευσιν τῆς κραλότητός μου, ἐντεῦθεν καὶ τὰ τοιαῦτα μοναστήρια, καὶ ἐζήτησαν καὶ ἐδεήθησαν καὶ οἱ ἐν αὐτοῖς ἀσκούμενοι μοναχοί, καὶ εὐεργετήθησαν παρὰ τῆς κραλότητός μου, ἐδεήθησαν δὲ ἵνα πορίσωνται καὶ χρυσόβουλλον τῆς κραλότητός μου εἰς ἐπικύρωσιν καὶ ἀσφάλειαν τῶν τε προσόντων αὐτοῖς κτημάτων, ὧν κέκτηνται διὰ χρυσοβούλλων καὶ ὧν ἀρτίως εὐηργετήθησαν παρὰ τῆς κραλότητός μου, καὶ ἡ κραλότης μου διὰ τῆς χάριτος τοῦ κυρίου, ἅτε πλέον τῶν ἄλλων ὑπὸ τῆς ἑνούσης αὐτῇ χριστιανικῆς συνειδήσεως περὶ τὰ μοναστήρια καὶ τὰς ἱερὰς ἐκκλησίας τὰς εὐεργεσίας καὶ δωρεὰς ἐπιτείνειν βουλομένη, ὡς ἐντεῦθεν βεβαίαν τὴν πληροφορίαν ἔχουσα πολλαπλασίους τὰς ἀμοιβὰς καὶ ἀντιδόσεις παρὰ τοῦ μισθαποδότου θεοῦ λήψασθαι, καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει ταῖς τοιαύταις σεβασμίαις μοναῖς, δι' οὗ προστάττει καὶ διορίζεται ἔχειν τὰ ὑπ' αὐταῖς κτήματα καὶ μετόχια πάντα ἐξουσίαν καὶ ἐλευθερίαν, καὶ εἶναι ἀνώτερα πάσης ἐπηρείας καὶ συζητήσεως καὶ ἀπαιτήσεως καὶ τῆς νῦν οὔσης καὶ τῆς μετέπειτα ἐπινοηθησομένης, εἶναι δὲ καὶ ἡνωμένας εἰς τὸ διηνεκὲς καὶ ἀμφοτέρας τὰς μονάς, καὶ οὐδέποτε διασπᾶσθαι αὐτάς, ἀλλὰ διατελεῖν ταύτας οὕτως, ὡς τὰ ὑπ' αὐταῖς χρυσόβουλλα καὶ προστάγματα διακελεύονται, καὶ οὐδέποτε εὑρήσειν ὄχλησιν τινὰ καὶ διασεισμὸν παρά τινος, ἀλλ' εἴη ταῦτα ἀτάραχα καὶ ἀδιάσειστα, ὡς εἴρηται, ἀπάσης συζητήσεως καὶ δόσεως καὶ ἀπαιτήσεως, ἤγουν τοῦ κεφαλαίου τῆς σιταρκίας, τῆς ὀρεικῆς, τῆς καστροκτισίας, τοῦ ἐννομίου, τοῦ μελισσονομίου, τῆς προβατοχοιροδεκατίας, τῆς παρθενοφθορίας, καὶ πάσης δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἔτι τε καὶ τοῦ ξυλαχύρου, καὶ τῶν ἄλλων ἁπάντων, καὶ μηδόλως ἀπαιτεῖσθαι ταῦτα ἁπάντων τῶν κτημάτων τῶν τοιούτων μονῶν, οὔτε παρὰ τῶν παροίκων αὐτῶν,

οὔτε ἀπὸ τῶν προσκαθημένων, ἔτι γε μὴν πρὸς τούτοις οὐδὲ μητάτον ἀπαιτηθήσεταί ποτε ἐκ τῶν τοιούτων. Ὅθεν καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου τῆς κραλότητός μου οὐκ ὀφείλει οὐδεὶς οὔτε τῶν ἐντὸς τῆς θεοσώστου πόλεως Σερρῶν κεφαλαττικευόντων, οὔτε τῶν ἐκτός, οὔτε τῶν τὰ δημόσια διενεργούντων, ἢ τῶν ἄλλων ἁπάντων τῶν ταχθησομένων ἐνεργεῖν τι καὶ ἀπαιτεῖν ἀπὸ τῆς τοιαύτης χώρας, εἰσελθεῖν εἰς κτήματα ἢ εἰς μετόχια τῶν τοιούτων μονῶν καὶ ἀπαιτεῖν τι ἐξ αὐτῶν, ἀλλ' εἶναι ταῦτα πάντα ἀπάτητα καὶ ἀνεπηρέαστα, καὶ ἀκαταζήτητα πάσης καὶ παντοίας ἀπαιτήσεως καὶ δόσεως. Τὰ δὲ μετόχια καὶ κτήματα εἰσὶ ταῦτα· τὸ εἰς ὄνομα τιμώμενον τοῦ κυρίου καὶ θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐπικεκλημένον τοῦ Γαστελέγκος, μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, καὶ τῆς ἄλλης πάσης κατοχῆς καὶ νομῆς αὐτοῦ· γῆ εἰς τὸ Κρεβασμοῦντον μετὰ τῶν ἐκεῖ προσκαθημένων, ὅση ἐστι· ἕτερον μετόχιον ὁ ἅγιος Γεώργιος τοῦ Σακελλαρίου μετὰ πάσης τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ· ζευγηλατεῖον εἰς τὸν Λιβοβιστὸν μετὰ τῆς περιοχῆς αὐτοῦ, εἰς τὴν Λεστίανην καθέδραν τοῦ Σαρακινοῦ ἐκείνου· ζευγηλατεῖον εἰς τὸ Νεοχώριον, τὸ τοῦ Πραντουλῆ ἐκείνου μετὰ τῆς περιοχῆς αὐτοῦ καὶ τῶν ἐν αὐτῷ προσκαθημένων· γῆ εἰς τὸ Λιβάδιον ἐξ ἀγορᾶς ἀπὸ τῆς Μελαχρινῆς μοδίων τετρακοσίων· μετόχιον ἡ Ἁγία Βαρβάρα εἰς τὴν παραλιμνίαν μετὰ τῶν σὺν αὐτῷ αὐλακίων καὶ ἁλιευτικῶν σανδαλίων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ· μετόχιον τοῦ Ἐσφαγμένου μετὰ τῶν ἐν αὐτῷ βιβαρίων καὶ αὐλακίων καὶ σανδαλίων, τῶν τε προσκαθημένων αὐτοῦ, τῆς γῆς καὶ τῶν ἄλλων δικαίων καὶ προνομίων αὐτοῦ· γῆ εἰς τοῦ Τζυάνου, πλησίον τῆς γῆς τοῦ Φιλοθέου καὶ τῆς γῆς τῆς Ζιλιχόβης, ἥτις καὶ προκατείχετο παρὰ τῆς μονῆς· μετόχιον ὁ Ἀσώματος, ὅπερ ἔχει γῆν ἐν διαφόροις τόποις ἐξ ἀγορᾶς καὶ

προσενέξεως, καὶ ἀπογραφικῆς καταστάσεως, καὶ μετὰ τῶν ἐκεῖ τριῶν μυλώνων καὶ προσκαθημένων· μετόχιον εἰς τῶν Ζιχνῶν, ὅπερ ἔχει ἀμπέλια ἐν διαφόροις τόποις καὶ μύλωνας τρεῖς· οἱ Ἰουδαῖοι οἱ ἐντὸς τῶν Ζιχνῶν· εἰς τὸ χωρίον τὴν Κάτω Οὖσκαν οἰκονομία ὑπερπύρων ἑκατὸν σὺν τοῖς παροίκοις τοῖς εὑρισκομένοις εἰς διάφορα χωρία· καὶ ἐκ προσενέξεως τοῦ Ἀμαργαρίτου εἰς τὸ αὐτὸ χωρίον ἀμπέλια καὶ χωράφια ἐν διαφόροις τόποις· χωρίον τὰ Μονοσπήτια μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ καὶ τῶν παροίκων καὶ προσκαθημένων αὐτοῦ· χωρίον τὸ τοῦ Λάκινου μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων καὶ τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ· ἀγρίδιον ἡ Κεραυνίτζα μετὰ τῶν παροίκων καὶ προσκαθημένων καὶ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· εἰς τὸ χωρίον τὸν Τοπόλτζον πάροικοι εἴκοσι· περὶ Τὰ Πέρα ὑδρομύλωνας ἐννέα· ἐργαστήρια διάφορα κατὰ τὴν βασιλικὴν πύλην, καὶ ἄλλα οἰκήματα διάφορα ἐνοικιακὰ ἐν διαφόροις τόποις· μετόχιον εἰς τὸ Τριλίσιν τὸ εἰς τὸ ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου, καὶ ἐπικεκλημένον τοῦ Βεμπελάκη μετὰ τῶν ἐν αὐτῷ δύο μετοχίων, ὧν τὸ μὲν ἐν πλησίον τῆς Τρουλίανης τὸ ἐπονομαζόμενον τῆς ὑπεραγίας Θεοτόκου τοῦ Τζέρνη μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων, τὸ δ' ἕτερον πέρα τοῦ Μέστου τὸ λεγόμενον ὁ Γραδίστος μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ πρασκαθημένων, καὶ τοῦ μύλωνος, καὶ τῆς Πλανινῆς τῆς ἐπιλεγομένης τοῦ Ἁγίου Γεωργίου τοῦ Παράσακα, καὶ τῆς Λουμπουτίσης μετὰ καὶ τῆς ἄλλης περιοχῆς καὶ νομῆς αὐτῶν· ἐν τῇ τοποθεσίᾳ τοῦ Σφολενοῦ δένδρα τεσσαράκοντα βαλανιδέα· εἰς τὸν Πάνακα ἐλαιῶν καὶ πάροικοι τρεῖς, Χώσας ὁ Τζυκαλᾶς καὶ Κωνσταντῖνος ὁ Χλιαρηνὸς μετὰ τοῦ γαμβροῦ αὐτοῦ, καὶ μύλων εἷς ὁλοκαιρινὸς καὶ πάροικοι καὶ προσκαθήμενοι. Προσευηργέτησε καὶ ἡ κραλότης μου ταῦτα· εἰς τὸ χωρίον τὸ Λεγγίνιον τὴν οἰκονομίαν τοῦ Λάσκαρη ἐκείνου, μετὰ τοῦ ζευγηλατείου τοῦ κατεχομένου παρὰ τοῦ Καντακουζηνοῦ καὶ τῶν

ἐν αὐτῇ χειμερινῶν τριῶν ὑδρομυλώνων, καὶ τοῦ εἰς τὸ χωρίον τὸ Μελενικίτζιον παροίκου, καὶ τῶν οἰκημάτων καὶ τῆς ἑτέρας γῆς ἣν εἶχεν ὁ ῥηθεὶς Λάσκαρης μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν διαφόροις τόποις, καὶ τοῦ παλαιοχωρίου τοῦ λεγομένου Πρωτοκυρίτζη, καὶ τοῦ Βελιδόλου καὶ τῶν ἐκεῖ δύο μυλώνων, καθὰ προκατείχοντο καὶ παρὰ τοῦ ἐπὶ κανικλείου ἐκείνου· παλαιοχώριον εἰς τὸν Πάνακα τὸ ἐπικεκλημένον οἱ Κυνηγοί, μετὰ τῶν ἐκεῖ παροίκων καὶ προσκαθημένων καὶ ὑδρομυλώνων, καὶ τῶν ἑτέρων δύο δημοσιακῶν μυλώνων, καὶ τῆς Δρύστρας καὶ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· εἰς τὴν Πέρα Πολεάναν αὐλάκια τέσσαρα, τὸ λεγόμενον τὴν Λογγὰν μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ, τὸ τοῦ Φωτινοῦ μετὰ τοῦ Τζυκαλᾶ τὸ δὲ τέταρτον τοῦ Σκυλομήτου μετὰ τῆς παπυρίας, καὶ νομῆς καὶ περιοχῆς αὐτοῦ· ἔσται δὲ καὶ τῶν τεσσάρων ἀνθρώπων, ὧν τὰ ὀνόματα εἰσὶ ταῦτα, τοῦ Ποτάμη καὶ τῶν τριῶν υἱῶν τοῦ Καλογέρου. Ταῦτα πάντα ὀφείλουσι κατέχειν καὶ νέμεσθαι αἱ δηλωθεῖσαι σεβάσμιαι μοναὶ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡς εἴρηται, ἐξ ἁπάσης καὶ παντοίας ἐπηρείας καὶ δόσεως καὶ ἀνενοχλησίας. Ὅθεν καὶ τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς κραλότητός μου, οὐκ ὀφείλει τις τῶν ἁπάντων τὴν οἱανδήτινα ἐπὶ τούτοις ἐπαγαγεῖν ὄχλησιν καὶ διασεισμόν, ἀλλὰ διαμένειν ταῦτα εἰς τὸ διηνεκὲς ἀνενόχλητα καὶ ἀδιάσειστα, ὡς ἡ κραλότης μου ἀνωτέρω διακελεύεται κατὰ τὴν περίληψιν καὶ δύναμιν τῶν προσόντων αὐτῶν χρυσοβούλλων τε καὶ προσταγμάτων καὶ λοιπῶν δικαιωμάτων. Ἔτι τε οὐκ ὀφείλουσι διδόναι τὰ σανδάλια τῶν προσκαθημένων τοῦ Ἐσφαγμένου τὸ ἀπαιτούμενον τρίτον, οὐδὲ πόρους, ἀλλὰ διατηρηθήσονται καὶ ταῦτα ἐλεύθερα τῶν τοιούτων δόσεων· τούτου δὲ χάριν ἐγένετο ταῖς τοιαύταις μοναῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς κραλότητός μου, ἀπολυθεὶς κατὰ μῆνα Ὀκτώβριον τῆς νῦν τρεχούσης ἰνδικτιῶ-

νος τεσσαρεσκαιδεκάτης, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ τετάρτου ἔτους, ἐν ᾧ καὶ ἡ ἡμετέρα εὐσεβὴς κραλότης ὑπεσημήνατο.

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τό· Στέφανος ἐν Χριστῷ τῷ θεῷ πιστὸς κράλης καὶ αὐτοκράτωρ Σερβίας καὶ **Ρωμανίας**.

Ἐπεὶ ὁ οἰκεῖος τῆς βασιλείας μου Γεώργιος ὁ Τρουλληνὸς κέκτηται περὶ τὰς Σέρρας οἰκονομίαν, ἐντὸς δὲ τοῦ ποσοῦ ταύτης ἔχει καὶ γῆν ἐν δυσὶ τόποις μοδίων χιλίων ἑξακοσίων, τὴν μὲν τῶν χιλίων διακοσίων διακειμένην μέσον τῶν δύο ὁδῶν τῶν πλησίον τῆς γῆς τοῦ μονυδρίου τοῦ εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, καὶ ἐπονομαζομένην Κινστέρναν, τὴν δὲ τῶν τριακοσίων εἰς τὴν τοποθεσίαν τὴν καλουμένην Μόδιον, πλησίον τοῦ ἐκεῖσε ἀγωγοῦ καὶ παλαιοῦ μύλωνος, καὶ παρεκλήτευσεν ἵνα τύχῃ χρυσοβούλλου καὶ κατέχῃ τὴν τοιαύτην γῆν ὡς γονικὴν, καὶ ἐὰν προσκαθήσωσιν ἐν αὐτῇ καί τινες ξένοι καὶ ἐλεύθεροι, εὑρίσκωνται ἀνενόχλητοι καὶ ἀδιάσειστοι ἀπὸ τοῦ μέρους τοῦ δημοσίου· τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται κεκτῆσθαι αὐτὸν τὴν τοιαύτην γῆν τῶν χιλίων ἑξακοσίων μοδίων ἀνενοχλήτως καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καὶ συνιστᾷν καὶ βελτιοῦν αὐτὴν, καὶ ὅσον ἂν ἐν αὐτῇ συστήσει καὶ βελτιώσει κατέχεσθαι καὶ τοῦτο παρ' αὐτοῦ κατὰ τὸν αὐτὸν καὶ ὅμοιον τρόπον, ἀναφαίρετον καὶ ἀναπόσπαστον διατηρῆσαι, καὶ τοὺς ἐν αὐτῇ μέλλοντας, ὡς εἴρηται, προσκαθῆσαι ξένους καὶ ἐλευθέρους, ἀνωτέρους πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἄνευ μέντοι τοῦ κεφα-

λαίου τῆς σιταρκίας, τῆς καστροκτισίας, τῆς ὀρικῆς, τοῦ φόνου, καὶ τῆς εὑρέσεως τοῦ θησαυροῦ· ταῦτα γὰρ καὶ μόνα ὀφείλουσιν ἀπαιτεῖσθαι ἐξ αὐτῶν, καθὼς καὶ ἐν πᾶσι κτήμασι καὶ αὐτοῖς τοῖς χρυσοβουλλάτοις ἔστι συνήθεια ἀπαιτεῖσθαι ταῦτα, ὑπὲρ τῶν κοινῶν δουλιῶν καὶ τῆς κοινῆς χρήσεως· ὀφείλει δὲ παραπέμπειν ταύτην καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας καὶ κληρονόμους αὐτοῦ, ὥστε κατέχειν καὶ νέμεσθαι τούτους αὐτήν, καὶ τοὺς ἐν αὐτῇ προσκαθησομένους, ἔτι δὲ καὶ τὴν γενησομένην ἐν αὐτῇ βελτίωσιν καὶ αὔξησιν ἀναφαίρετον καὶ ἀναπόσπαστον, καθὼς δηλονότι ὁ εἰρημένος πατὴρ αὐτῶν, καὶ μηδὲ τούτους εὑρίσκειν ἐπ' αὐτοῖς, τῇ δυνάμει καὶ ἰσχύϊ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ἐπήρειάν τινα καὶ συζήτησιν, ἄνευ μέντοιγε τῶν ἀνωτέρω ῥηθέντων κεφαλαίων. Διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐχορηγήθη καὶ ἐπιβραβεύθη τῷ διαληφθέντι οἰκείῳ τῇ βασιλείᾳ μου κυρῷ Γεωργίῳ τῷ Τρουλην**ῷ**, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς νῦν τρεχούσης δευτέρας ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός, τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.

Ἐπεὶ ὁ πανσέβαστος σεβαστὸς οἰκεῖος τῇ βασιλείᾳ μου κριτὴς τοῦ θεοφρουρήτου φοσσάτου κῦρις Ἀλέξιος ὁ Διπλοβατάτζης παρεκλήτευσε, ἵνα διορίσηται ἡ βασιλεία μου καὶ γονικευθῇ αὐτῷ γῆ μοδίων χιλίων ἀπὸ τῆς περὶ τὰς Σέρρας οἰκονομίας αὐτοῦ, Πηλορήγιον λεγομένη εἰς τοποθεσίαν τὴν Ζαβαλτίαν, διὰ χρυσοβούλλου τῆς βασιλείας μου καὶ κατέχει ταύτην καὶ συνιστᾷ καὶ βελτιοῖ αὐτήν, μετὰ δὲ τὴν αὐτοῦ

ἀποβίωσιν κατέχηται αὕτη καὶ παρὰ τῶν ἐξ ὀσφύος παίδων καὶ κληρονόμων αὐτοῦ, κατὰ τὸν ὅμοιον τρόπον, ὡς γονικὴ καὶ ἀνωτέρα πάσης ἐνοχλήσεως· τὴν τοιαύτην παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν τὸν τοιοῦτον κριτὴν τοῦ φοσσάτου τὴν εἰρημένην γῆν τῶν χιλίων μοδίων, ὡς γονικὴν αὐτοῦ, ἀναφαιρέτως πάντῃ καὶ ἀνενοχλήτως, καὶ συνιστᾷν καὶ βελτιοῦν αὐτήν, καθὼς ἂν ἰσχύῃ καὶ δύνηται· ἔχειν δὲ καὶ ἐπ' ἀδείας παραπέμπειν αὐτὴν καὶ τὰ ἐν αὐτῇ βελτιωθησόμενα καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας καὶ κληρονόμους αὐτοῦ, ὡς ἂν κατέχηται καὶ παρ' αὐτῶν κατὰ τὸν ὅμοιον τρόπον ἀναφαιρέτως, ἀνενοχλήτως καὶ ἀδιασείστως· ὅθεν καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου σιγιλλίου τῆς βασιλείας μου, οὐχ εὑρήσει οὔτε ὁ δηλωθεὶς κριτὴς τοῦ φοσσάτου, οὔτε μετ' αὐτὸν οἱ παῖδες αὐτοῦ, καθὼς εἴρηται, διενόχλησιν ὅλως καὶ ἐπίθεσιν, ἢ διασεισμὸν τὸν τυχόντα, ἢ παρὰ ἀπογραφέως, ἢ παρ' ἑτέρου τινὸς τῶν ἁπάντων, ἐπὶ τῇ κατοχῇ τῆς εἰρημένης γῆς καὶ τῶν ἐν αὐτῇ βελτιωθησομένων, ἀλλὰ καθέξουσι ταύτην ἀνωτέραν πάσης ἐπιθέσεως καὶ ὀχλήσεως. Ἐπὶ τοῦτο γὰρ ἐγένετο καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῆς βασιλείας μου, (ὅπερ) ὀφείλει προσεῖναι τῷ δηλωθέντι πανσεβάστῳ σεβαστῷ οἰκείῳ τῆς βασιλείας μου κριτῇ τοῦ φοσσάτου, μετ' αὐτὸν δὲ καὶ τοῖς κληρονόμοις καὶ διαδόχοις αὐτοῦ εἰς μόνιμον καὶ βεβαίαν ἀσφάλειαν.

Εἶχε δὲ καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός, τό· Μηνὶ Σαπτεμβρίῳ, ἰνδικτιῶνος ἕκτης:

Ἐπεὶ ὁ πανσέβαστος σεβαστὸς οἰκεῖος τῆς βασιλείας μου ἑταιρειάρχης κῦρις Ἰωάννης ὁ Πανάρετος ἐζήτησε καὶ παρεκά-

λεσεν, ἵνα πορίσηται χρυσόβουλλον τῆς βασιλείας μου, καὶ κατέχῃ ἀπὸ τῆς περὶ τὸ κάστρον τοῦ Ζίχνα δοθείσης πρὸς αὐτὸν διὰ προστάγματος τῆς βασιλείας μου οἰκονομίας, εἰς τὸ χωρίον τὸ λεγόμενον Κάτω Οὖσκαν, ποσότητα ὑπερπύρων τριάκοντα ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος, ἡ βασιλεία μου τὴν αὐτοῦ προσδεξαμένη ζήτησιν τοιαύτην καὶ παράκλησιν, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν καὶ νέμεσθαι αὐτὸν ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος, τὴν εἰρημένην ποσότητα τῶν τριάκοντα ὑπερπύρων, καὶ ἀποφέρειν καὶ ἀποκερδαίνειν πᾶσαν καὶ παντοίαν τὴν ἐξ αὐτῆς πρόσοδον, καὶ μὴ εὑρίσκειν ἐπὶ τῇ κατοχῇ καὶ νομῇ αὐτῆς μήτε παρὰ τῶν κεφαλαττικευόντων κατὰ καιροὺς καθολικῶς ἢ μερικῶς εἰς τὸν τόπον Σερρῶν τε καὶ Ζίχνα, μήτε μὴν τῶν τὰ δημόσια διενεργούντων ἐν αὐταῖς, μή τινος ἄλλου τῶν ἁπάντων διασεισμὸν ἢ ὄχλησιν καὶ καταδυναστείαν ὅλως τινὰ καὶ ἐπήρειαν. Ὅθεν καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου σιγιλλίου τῆς βασιλείας μου καθέξει μὲν ὁ τοιοῦτος πανσέβαστος σεβαστὸς οἰκεῖος αὐτῇ ἑταιρειάρχης ὁ Πανάρετος τὴν δηλωθεῖσαν ποσότητα οὕτως, ὡς διορίζεται ἡ βασιλεία μου, ἕξει δὲ ἄδειαν παραπέμψαι ταύτην καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας καὶ κληρονόμους καὶ διαδόχους αὐτοῦ, ὡς ἂν κατέχωσι καὶ νέμωνται καὶ οὗτοι αὐτὴν κατὰ τὸν ἴσον καὶ ὅμοιον τῷ πατρὶ αὐτῶν τρόπον. Τούτου χάριν γέγονε τῷ δηλωθέντι πανσεβάστῳ σεβαστῷ οἰκείῳ τῇ βασιλείᾳ μου ἑταιρειάρχῃ τῷ Παναρέτῳ καὶ τοῖς παισὶ καὶ κληρονόμοις καὶ διαδόχοις αὐτοῦ καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῆς βασιλείας μου.

Εἶχε καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός, τό. Μηνὶ Μαρτίῳ, ἰνδ. ἑνδεκάτης.

E.

ΙΕΡΑΚΟΣ
ΧΡΟΝΙΚΟΝ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΤΟΥΡΚΩΝ ΒΑΣΙΛΕΙΑΣ.

Digitized by Google

Διὰ τὴν τῶν Τούρκων βασιλείαν.

Πρῶτον τῷ παντοκράτορι κυρίῳ τῷ δεσπότῃ
εὔχομαι δοῦναί μοι ἰσχὺν τοῦ φράσαι ἐν συνόψει,
ὅσα γραφαῖς καὶ ἀκοαῖς ἴσμεν ἐκ τῶν εἰδότων·
ἐπεί τινες ἐζήτησαν μαθεῖν τὰ ἐν ἐσχάτοις
τῆς Ρωμαΐδος καὶ Γραικῶν πτῶσιν καὶ τὰ τῶν Τούρκων,
σὺν ἄλλοις ἔτι νεωστὶ συμβᾶσι πλείστοις ἔργοις.
Τῆς Κωνσταντινουπόλεως τὸ γόνυ καμψαμένης,
καὶ κάραν τὴν κομόεσσαν κλινάσης καὶ αὐχένα,
καιρῷ Μουρτζούφλου τὴν ἀρχὴν καὶ κράτος ἐκλιπούσης,
Ἰταλικαῖς, Αὐσονικαῖς, βαρβαρικαῖς ἐφόδοις,
καὶ τοῦ Κυρίου κρίμασιν ἀρρήτοις τοῦ δεσπότου,
καὶ τῶν Ρωμαίων τῆς ἀρχῆς καταστρεψάσης πάντα,
μέρους Ἑλλήνων τῶν Γραικῶν ὄντος ἐν τῇ Ἀσίᾳ,
πολλῶν κατάρχοντος ἐθνῶν καὶ πόλεων καὶ ἄλλων,
καὶ πόλιν Σεβαστούπολιν λαβόντος ἐν Εὐξείνῳ,
ἥνπερ Σουβᾶς νῦν λέγουσι, τὸ πρὶν Ρωμαίων οὖσαν,
ἄστη καὶ πόλεις ἔκλαιον, πάντα κατεκλονοῦντο·
πρηνὴς ἡ πόλις γὰρ αὐτῶν ἔκειτο δυστυχοῦσα.
Τοῦ δὲ Ὀτμάνου εὐτυχοῦς ὄντος ἐν τοῖς πολέμοις,
ἀνδρείου καὶ πολεμικοῦ, ἀρεϊκοῦ, γενναίου,
κρατήσαντος ἐνιαυτοὺς ὀκτὼ σὺν τῇ εἰκάδι,
ἐν τῇ ἰσχύϊ τῇ αὐτοῦ καὶ μονοκρατορίᾳ,

Digitized by Google

ἴδιος γόνος ὁ αὐτοῦ καθίσταται Ὀρχάνης,
κύριος, κράτωρ, ἀρχηγὸς, αὐτάναξ ἐν Ἀσίᾳ,
καὶ πατρικὸν ἀνέλαβε θρόνον καὶ τὴν ἀξίαν,
καὶ οὗτος ἐκηρύττετο ἀμιρᾶς τῆς Ἀσίας·
ληΐζων τε καὶ πυρπολῶν πόλεις τὰς τῶν Ρωμαίων,
ἐντεῦθεν καὶ συζεύγνυται τινὶ τῶν περιδόξων
Λυκαονίας ἀρχηγοῦ, τῆς νῦν Καραμανίας,
εὐγενεστάτῃ θυγατρὶ, λέκτροις ἀλλοεθνέσι.
Λαμβάνειν τὰ Ρωμαίων δὲ ἐπιθυμῶν τὰ πλεῖστα,
πόλεις καὶ χώρας ἐκπορθεῖ τὰς ἐν Ἀσίᾳ οὔσας,
καὶ Προῦσαν τὴν περιφανῆ ἔσχε σὺν ἄλλαις πλείσταις,
ἐξ ἧς χρυσὸν καὶ ἄργυρον ἐξήντλησε πλουσίως.
Τρωθεὶς τοίνυν εἰς πόλεμον, εἰς τὴν πολιορκίαν
τέθνηκεν ὡς τρισαριστεὺς τοιούτῳ ἐν ἀγῶνι.
Ἐπὶ δὲ πάλιν ἔπεσε τὸ κράτος εἰς Μουράτην
ἄνδρα τὸν νουνεχέστατον, τὸν Ἄρη ἐν πολέμοις,
τὰ πάντα συνετάραξε, τὰ πλεῖστα κατεδούλου.
Ὅθεν σκοποῦ τε ἔτυχε, εἰργάζετό τε ἔργον,
οὐκ ὄντος τοῦ κωλύοντος, οὐδὲ μιᾶς ἰσχύος
Ρωμαϊκῆς, Ἰταλικῆς, ἢ Ἰστρικῆς συμμάχου,
ἀλλὰ καὶ πολεμούμενοι Βυζάντιοι Βουλγάροις.
Σύμμαχος προσπλαττόμενος εἶναι τῶν γειτονούντων,
χιλιανδρίας δώδεκα ἔπεμψε τοῖς Ρωμαίοις,
ἐκλέξας Τούρκους ὁπλιστὰς, ἱππότας ἀριστάρχους,
ἀγκυλοτόξους ἰσχυροὺς, μαχίμους στρατιώτας·
οὓς καὶ ἀποδεξάμενος, ὡς τοὺς οἰκείους εἶχεν,
ὁ βασιλεὺς τῆς πόλεως Ρωμαίων ὁ αὐτάναξ,
καὶ ἐν Βουλγάροις ἀνελθὼν ἐφάνη τροπαιοῦχος,
ἐφάνη μέγας ἀριστεὺς, ὡς Ἕλλην τῶν Ἑλλήνων·
ἐτρέψατο Βουλγαρικὰς φάλαγγας καὶ δυνάμεις,
πόλεις Μυσῶν καὶ Τριβαλῶν, καὶ παῖδας τῶν Παιόνων,

ὡς ἄρνας ἐκατέπραξε, καὶ Μάρκον Κραμβοβίκην,
πρώτιστον ὄντα μέγιστον καὶ ἀρχηγὸν Παιόνων.
Τῆς δ' ἀμοιβῆς καὶ χάριτος τῆς συμμαχίας ταύτης
ἀμνήμων ὅλως γέγονεν ὁ τῶν Ῥωμαίων ἄναξ,
μὴ δωρεὰς, μὴ χρήματα παρέξας τοῖς συμμάχοις,
ἄνευ φιλοτιμίας δὲ πέμψας ἐν τῇ πατρίδι.
Ὀργὴν τοίνυν ἐνδύεται μεγίστην ὁ Μουράτης,
καιροῦ δραξάμενος εὐθὺς τοῦ πάλαι ζητουμένου,
θέλων πικρίας νάματα ποτίσαι βασιλέα,
γέμοντα πλεῖστον τὸν ἰὸν, ὀξὺν καὶ φαρμακώδη,
ὡς ἂν καὶ πόλεις καὶ λαοὺς εὐθὺς καταδουλώσῃ.
Ἀθροίσας οὖν στρατεύματα, καὶ ἄρας χεῖρα μάχης,
τότε διαπορθμεύεται Σηστὸν πρὸς τὴν Εὐρώπην,
καὶ βασιλεῖ δὲ τῶν Γραικῶν γράφει ἀθύμῳ εἴδει,
« ὀλέσω ἄρα τάχιστα τοὺς ἐναντίους πάντας,
τοὺς δὲ φιλίαν καὶ ἐμὲ λίαν λελυπηκότας· »
ταῦτα Ῥωμαίοις προσπαικτὰ ἦσαν τὰ τοῦ Μουράτου,
ὡς οὐκ ἀποβησόμενα πρόξενα θρήνων λύπης,
ἀφανισμοῦ τῶν πόλεων, αὐτῆς τῆς βασιλείας.
Τέλος σὺν πλήθει φοβερῷ ἓξ ὅλων μυριάδων,
πολιορκήσας ἔλαβε τὴν Ἀδριανοῦ πόλιν,
καὶ Φιλιππούπολιν ἑξῆς καὶ τὰ ἐν μέσῳ τούτων.
Εἶτα Σερβίας ἔφθασε, Δακίαν καὶ Μυσίαν
ὡς λήϊα διέβαινε θεροκοπῶν εὐκόλως,
καὶ ὡς ἀμπέλους ἐκτρυγῶν καὶ σταφυλὰς ἐκθλίβων,
αἵματα πορφυρότατα ἐκχέων τῶν ἀνθρώπων.
Τότε δὴ τότε Λάζαρος δεσπότης τῆς Σερβίας,
Βούλγαροί τε καὶ ἄρχοντες οἱ ἐν Ἀλβανητίᾳ
λεγόμενοι οἱ Δάρβανες, οἱ ἀπὸ τῆς Μυσίας,
οἵ τε Ἀκροκεραύνιοι, καὶ οἱ ἐκ τῆς Ἠπείρου,
καὶ οἱ τὸν Ἀδριατικὸν παράλιον οἰκοῦντες,

Digitized by Google

πάντες κοινοπραγήσαντες εἰς λόγους συμβουλίων
παρασκευὰς καὶ μηχανὰς καὶ μάχην διεγεῖραι,
καὶ πλεῖστα συσκευάσαντες οὐκ ἴσχυσάν τι δρᾶσαι.
Πάντων συγκροτησάντων γὰρ πόλεμον κατὰ τούτου,
καὶ Λάζαρος πεφόνευται, καὶ πλεῖστοι ἐν τῇ μάχῃ,
αὐτὸς δὲ μέγας νικητὴς ἐν ἅπασιν ἐφάνη·
πλούτου χρημάτων δὲ πλησθείς, τιμῆς καὶ ἐξουσίας,
μόρος αὐτὸν κατέλαβε τὸν δύστηνον τοιοῦτος·
μαχόμενος ἀνδραγαθεῖ, νικᾷ ἀνδροκτασίαις·
ὁ ἐκ Σερβίας Λάζαρος δοῦλον Ἰνδεριάτην
τινὰ δὲ εἶχε μετ' αὐτοῦ, πιστότατον οἰκεῖον·
ἐπεὶ δ' ὁ δοῦλος ἔτυχεν ἰδὼν τὸν τοῦ δεσπότου
ἐπὶ τῇ μάχῃ θάνατον, καὶ φόνον ἐκ Μουράτου,
ἀμείβεται τῷ φονευτῇ, πλήττει δι' ἀκινάκους
τὸν ὅνπερ κατεφόνευσε δεσπότην τὸν οἰκεῖον
τὸν κύριον τὸν ἀρχηγὸν τῶν Τούρκων, τὸν Μουράτην.
Μπαγιαζίτης ἔλαβε τὰ πατρικὰ τὰ σκῆπτρα,
ὃν Ἰλντιρίμ ὠνόμασαν τῇ διαλέκτῳ Τούρκων,
διά τε τὸ ὀξύτατον καὶ μάχιμον ὁ εἶχεν,
ἐν μάχαις ἔν τε συμβουλαῖς, ἐν λόγοις, ἐν ἀνάγκαις,
ἐν πάσαις περιστάσεσιν, ἐν ὥραις αἰφνιδίοις·
οἱ Τοῦρκοι γὰρ τὸ Ἰλντιρίμ τὴν ἀστραπὴν καλοῦσιν.
Οὗτος οὖν μετὰ τὸ λαβεῖν κράτος καὶ ἐξουσίαν,
συνάψαι ἀπεφήνατο μάχην μετὰ Βουλγάρων,
εἶτα τοῦ μόρου πατρικοῦ ἐκδίκησιν ποιῆσαι,
ἀντίδοτα καὶ φάρμακα δοῦναι Σερβίᾳ πάσῃ.
καὶ τὰ Ῥωμαίων ἰλαδὸν συντρίψαι, καὶ συνθλᾶσαι
καὶ τὴν Κωνσταντινούπολιν ῥιζόθεν κατασκάψαι.
Ταχέως ἀφικνεῖται δὲ παρὰ τὴν Παιονίαν
ἀνδροκτονῶν, παιδοκτονῶν, ληΐζων τὰ Παιόνων,
ἴουλον μὴ φειδόμενος καὶ πᾶσαν ἡλικίαν,

τροπώσας γένη πάμπολλα ὅμορα Βουλγαρίας,
καὶ κατασφάξας ἀδεῶς, ῥιζοκοπήσας πόλεις,
πόλεις Μυσίας, Τριβαλῶν, πόλεις ἐν Παριστρίᾳ,
πόλεις τῶν Σέρβων, τῶν Σερρῶν, πόλεις τῶν Δαρδανίων.
Σάρδος τὸ ὄρος ἔτρεμεν, ὁ Αἷμος ἐθροήθη,
Ῥοδόπη καὶ τὸ Ὄρβιλον ἦχουν φωνὰς παντόθεν·
νόσον ἐνόσουν αἱ καλαὶ Ἰλλυρικῶν αἱ πόλεις,
νόσον κακὴν, ἀνίατον, νόσον χαλεπωτάτην,
νόσον σχετλίαν καὶ πικρὰν, ὀδυνηρὰν, λοιμώδη,
ὀλέθριον, φθοροποιὸν ἀνδρῶν καὶ θανατώδη,
μὴ δεχομένην φάρμακα, γέμουσαν καὶ ναυτίας,
χολώδη γέμουσαν χυμοῦ, ἐκ πυρετοῦ ὀξέος
καὶ πανωλέθρου, συνεχοῦς, φλεγμαίνοντος, κακίστου,
νόσον γέμουσαν φθίσεως, φθίσεως ἀνηκέστου·
ἐφθείροντο γὰρ ἅπασαι αἱ τούτοις γειτνιῶσαι.
Ἐντεῦθεν δὲ παλινδρομεῖ πρὸς Βυζαντίδα πόλιν,
ἀστραπηφόρος, καυστικὸς, ἔκδικος ἁμαρτίας,
πρὸς πόλιν γέμουσαν ποτὲ χαρίτων εὐωδίας,
Μουσῶν κατοικητήριον, τῶν πόλεων τὴν δόξαν,
καὶ παῖδα καλλιπάρειον τῆς πρεσβυτέρας Ῥώμης.
Ἦν τότε τοίνυν ἄξιος Κάρολος ῥὴξ Κελτίας,
ἀνὴρ ὢν χρησιμώτατος, χριστιανῶν ὁ στῦλος·
ὅστις τὰ πάντα κατιδὼν εἰς κάταντες κινοῦντα,
φροντίδα θέμενος πολλὴν, χριστιανῶν τοῖς φίλοις
κοινοῦται ταῦτα γράμμασι, συμφέρον ἐκζητεῖται,
ἐκτραγῳδεῖ καὶ θλίβεται τοπάρχαις καὶ χωράρχαις,
ἐκζωπυροῦται, καίεται, φλέγεται τὴν καρδίαν,
ἐπιθυμεῖ καταστροφὴν, φθοράν τε τὴν τῶν Τούρκων,
τὸν ἴδιον δ' ὁμαίμονα, τοὔνομα Ἰωάννην,
ἐκπέμπει πᾶσι σύμμαχον τοῖς τότε δυστυχοῦσι,
σὺν ὁπλοφόρῳ στρατιᾷ, σιδηροχαλκοφόρῳ,

Digitized by Google

σὺν ἄνδρας λέγω τῶν Κελτῶν καὶ στρατηγοὺς μεγίστους,
ὑπασπιστὰς εὐκνήμιδας, ἀνδρείους στρατιώτας,
καλοὺς ἱππότας πελταστάς, ἀξίους δορυφόρους,
καὶ μεγαθύμους ἄρχοντας, ἄνδρας φερετροφόρους,
καλούς τε μεγαλάσπιδας καὶ αἰχμητὰς γενναίους.
Μετὰ μὲν οὖν τὴν ἐκπομπὴν τῆς στρατιᾶς ἁπάσης
ἐκ τῆς Γαλλίας καὶ λοιπῶν, καὶ τῆς ὁδοῦ τὸ μῆκος,
ἕως Κελτοὶ διέβαινον γῆν τε καὶ πόλεις πλείστας,
ὁ Ἰωάννης ἔρχεται, παρὰ τὸν Ἴστρον φθάνει,
καὶ παρὰ τὴν Νικόπολιν τὴν ἐν τῷ Ἴστρῳ πόλιν,
ἐκ τῆς Σερβίας πρότερον περαιωθεὶς ἐνδόξως,
ὅπου καὶ τοῖς πολεμικοῖς Οὔγκροις ἑνοῦται τότε,
οὖσι μετὰ ῥηγὸς αὐτῶν ἐκείνου Σιγισμόντου·
καὶ περὶ τούτων ἱκανῶς κοινοπραγεῖται πᾶσιν,
ἵνα τὸν πόλεμον σφοδρὸν πήξωσι περὶ Ἴστρον,
καὶ πόλιν τὴν Νικόπολιν μητρόπολιν τῶν Τούρκων
ἐκ τῶν χειρῶν ἀφέλωσι καὶ δυναστείας τούτων.
Τοῦτο δὲ καίπερ θέλοντες οὐκ ἴσχυσαν οὐδόλως,
οὔτ' ἐγκρατεῖς ἠδύναντο ταύτης ποτὲ γενέσθαι.
Ὅθεν μαθὼν καὶ πιστωθεὶς Μπαγιαζίτης πάντα,
τὸν πρὸς ἐκεῖνον πόλεμον, καὶ στρατιὰν τὴν τόσην,
μάχην καὶ τὰς παραταγάς, τὰς μηχανάς, τὰ ὅπλα,
ἄνδρας τε τοὺς πολεμικούς, ἱππότας, πεζοπόρους,
τὸν θάνατον καταφρονεῖ, ὁρμᾷ πρὸς ἐναντίους,
οὐ κύπτει, οὐδὲ σπένδεται, τὰ πλήθη οὐ πτοεῖται,
τὰ ὅπλα καὶ τὰς μηχανὰς ἠρίθμησεν οὐδόλως·
ἀλλά γε ἄνδρας ἔλαβε πολεμικούς, γενναίους,
καὶ κατὰ τούτων ἔναντι φθάνει τῶν ἐναντίων,
ἐκ τῆς Ἀσίας σὺν σπουδῇ φθάσας ἐπὶ τὸν Ἴστρον.
Τί δὲ καὶ πῶς ἐγένετο, ὁ Ἴστρος οἶδε ταῦτα!
Ἐκεῖ γὰρ ὁ καρτερικὸς ζωγρεῖται Ἰωάννης,

Digitized by Google

φεῦ τῆς κακίστης συμφορᾶς, φεῦ τῆς κακίστης τύχης!
καὶ δραπετεύουσι πολλοί, ὁ ῥὴξ τε Σιγισμόντος·
καὶ φόνος πλεῖστος, γίνεται, χύσεις πολλῶν αἱμάτων.
Τί τὰ συμβάντα Κάρολε; τί ταῦτα Σιγισμόντε;
Ἡ τύχη πάλιν ἔφερε κλώσματα δυστυχίας,
κλώθει Κλωθὼ τὰ κλώσματα, ἔκλωσεν ἐν τοῖς Οὔγκροις,
ὡς καὶ τὸ πρὶν εἰς Λάζαρον δεσπότην τῆς Σερβίας.
Ὁ δὲ σουλτάνος νικητὴς φανείς, τροπαιοφόρος
ταχέως ἐπανέστρεψεν αὖθις εἰς Βυζαντίδα·
ἐκπολεμῶν ἐπαπειλεῖ ληΐζων τὰ Ῥωμαίων.
Ἀλλά γε τότε ἐπ' αὐτῷ ὁρμᾶται Ταμπερλάνος,
Σκύθης ἀνὴρ πολεμικὸς ἐκ τῆς Σαμαρκαντίας,
μάχην ἐγείρας, κλύδωνα καὶ ταραχὴν μεγίστην,
καὶ μετὰ τοῦτον πόλεμον σφοδρότατον συνάπτει,
καὶ στρατιὰν συνέτριψε, καὶ φάλαγγας τῶν Τούρκων,
καὶ τὸν ἀμφίβιον αὐτοῦ ἔλαβεν ἐν σαγήνῃ,
ἔλαβεν ἐν τοῖς ὄνυξι σουλτάνον τοῖς ἰδίοις·
ἐζώγρησε τὸν ἀρχηγὸν καὶ τὸν δεσπότην Τούρκων,
καὶ ὡς ἰχθὺν φερόμενον εἶλεν ἐν τοῖς δικτύοις.
τὸν πρὶν δεσπότην δέσμιον ἐποίησε καὶ δοῦλον.
Χρυσέαν γὰρ αὐτῷ φορεῖ σειρὰν ἐν τῷ αὐχένι,
καὶ σιδηρέῳ ἐν κλωβῷ τίθησι καθειργμένον.
Τί ταῦτα τύχη τὰ πικρὰ αἰφνίδια σουλτάνου;
ὁ παρὰ πάντων φοβερός, ὁ τολμηρὸς μεγάλος,
ὁ ἔθνη πάμπολλα τροπῶν καὶ πόλεις ἀφανίσας,
ὁ καρτερός, ὁ στερεός, ὁ μέγας ἐν πολέμοις,
δέσμιος δοῦλος γίνεται, καὶ χειρωτὸς ἑτέρου!
Οἱ πάντες τοῦτον εἴασαν οἰκεῖοι, παῖδες, δοῦλοι,
φίλοι οἱ πλησιάζοντες, διηνεκῶς λαλοῦντες.
Τύχη πικρὰ ὀδυνηρά, τύχη χαλαιποτάτη,
οὐδὲν ἀφῆκας πώποτε ἀμέτοχον ὀδύνης.

Digitized by Google

στρέφεις καὶ φέρεις πάντα δὲ ἄνω καὶ κάτω πάλιν,
ὡς ἄστατος, ὡς φθονερά, κακοκυλιωμένη,
τὸ σταθερὸν οὐκ ἔχουσα, καὶ πάγιον οὐδόλως!
Τέλος μετὰ τὸν πόλεμον, τὴν ἧτταν πρὸς σουλτάνον,
καὶ τῶν παιδίων τῶν αὐτοῦ φυγὴν πρὸς τοὺς Ῥωμαίους,
καὶ φυλακὴν τὴν ἑαυτοῦ, οὖσαν ἐν Βυζαντίῳ·
κατὰ τῶν Οὔγκρων πόλεμος ἠγέρθη πάλιν μάχη·
ὁ Χαλεπῖνος λάθρα δὲ ἐκβὰς τῆς Βυζαντίδος,
ἐκ τῆς Ῥωμαϊκῆς φρουρᾶς, υἱὸς ὢν τοῦ σουλτάνου,
πρὸς πόλιν τὴν Ἀδριανοῦ ταχέως ἀφικνεῖται·
ἀθροίσας πλεῖστον στρατιᾶς, ἄνδρα πολέμου χάριν,
ἐκδίκησιν ποιήσασθαι καὶ τρέφων κότον ἔνδον.
Ὅθεν δρομαίως ἔτρεχε τοῖς Οὔγκροις ἑνωθῆναι,
ἐν δὲ πεδίῳ Σαλαμπὲτζ τυχῶν τοῖς ἐναντίοις,
μάχην καὶ πόλεμον σφοδρὸν συνάπτει μετὰ τούτων,
καὶ πάντας ἐτροπώσατο, καὶ ῥῆγα Σιγισμόντον,
ὡς πρότερον ἐποίησεν ὁ ἴδιος γενήτωρ.
Εἶχε λοιπὸν ὁ δέσμιος σουλτάνος ἔτι δύο
υἱούς, γόνους καθολικοὺς καὶ ἐξ αὐτοῦ ἐκφύντας,
Μεεμέτην καὶ Ὀρκανᾶν τοὺς ὄντας ἐν Ῥωμαίοις,
τοῦ Χαλεπίνου ἀδελφοὺς ἐπίσης κασιγνήτους·
τοῦ δ' Ὀρκανᾶ ἐθέλοντος λαβεῖν τὴν βασιλείαν,
ἔτι δὲ καὶ τοῦ Μωϋσῆ, ὄντος ἰδίου θείου,
διψῶντος δόξαν γεύσασθαι καὶ λήψασθαι τὸ κράτος.
Φονεύεται ὁ Ὀρκανᾶς Μωσαϊκῷ φασγάνῳ,
καὶ πρὸς τὸν ᾅδην πέμπεται παρὰ ἰδίου θείου.
Ὁ Μεεμέτης δ' ἔπειτα σὺν στρατιᾷ ὁρμήσας,
αἴφνης ἐπέβη τῷ Μωσῇ, καὶ κατασφάττει τοῦτον,
καὶ ἅπασαν ἀνέλαβε τὴν αὐτοκρατορίαν.
Καὶ τότε πάλιν κέλαδος ξίφεων καὶ φασγάνων.
Ἐγένοντο καὶ πόλεμοι καὶ μάχαι παρὰ τούτου,

Digitized by Google

ταραχαί, κρότοι, θόρυβοι, καὶ μηχαναὶ παντοῖαι,
ἀνδροκτασίαι, στεναγμοί, βοαὶ θανατηφόροι·
πατὴρ παῖδα κατέλιπε, γυναῖκες ἠτεκνοῦντο,
ἕως οὗ πόλεις ἔλαβε τὰς παρὰ Τζεπερλάνου
ληφθείσας ἐκ τῆς πατρικῆς χειρὸς καὶ ἐξουσίας,
τοῦ Σκύθου, τοῦ σκυθογενοῦς, τοῦ ἐξ Ἀσίας Σκύθου
τοῦ ἐκ πατρίδος Σκυθικῆς ἀπὸ τοῦ Τζαγατάη,
καὶ γείτονος τοῦ Χουρουζοὺμ θαλάσσης τῆς Κασπίας,
ἢ Ὑρκανοῦ μᾶλλον καὶ γείτονος Περσίας·
πάντας δὲ κοτεφόνευσε τοὺς ἀρχηγοὺς ἐκείνων,
πλείστους τῶν Τούρκων ἄρχοντας τοὺς ἀνυποτακτοῦντας
τὴν Γαλατίαν δ' ἅπασαν καὶ τὴν Καππαδοκίαν
ἄμφω κατεδουλώσατο, ἄλλας τε πλείστας πόλεις·
θρόνον δὲ ἴδιον αὐτοῦ Ἀδριανοῦ τὴν πόλιν
κατέστησε καὶ τὴν ἀρχήν, καταλιπὼν τὴν Προῦσαν.
Τοιαῦτα ἔκλωσε Κλωθώ, πάλιν ὁμοίως κλώθει.
Κρατοῦντος δὲ τοῦ Μανουὴλ τῆς Ῥωμανίας σκῆπτρα
τοῦ ἐξ αἱμάτων ἕλκοντος Παλαιολόγων γένους,
δυνάμεις αἱ χριστιανῶν πολλ' ἐστενοχωροῦντο,
Ἀγαρηνῶν δ' ηὐξάνοντο κ' ὑπερεστερεοῦντο.
Ὅθεν καὶ δέον ἔκρινε πλεῦσαι εἰς Ἰταλίαν
λαβεῖν ἐκεῖθεν σύμμαχον καὶ χεῖρα βοηθείας,
ἥν περ καὶ δοῦναι ἔστερξαν τῶν Ἰταλῶν οἱ πλεῖστοι·
ἀλλὰ σκανδάλου πρόσκομμα συμβὰν τότε κωλύει·
πανδήμου οὔσης ἑορτῆς ἐν πόλει Φεραρείᾳ.
ὅτι οὐ κατησπάσατο τὸ ἄκρον ἱματίου
τοῦ ἐπισκόπου Ἰταλῶν ὁ βασιλεύς, ὡς ἔθος,
τὸν πάπαν χόλος κατασχεῖν κωλῦσαι συμμαχίας·
καὶ δὴ κενὸς ὑπέστρεψε καὶ δίχα βοηθείας.
Τότε τῶν Τούρκων ὁ κρατῶν θνήσκει ὁ Μεεμέτης,
υἱὸν ἀφεὶς διάδοχον τοῦ κράτους τὸν Μουράτην·

τῷ δὲ Μουράτῃ ἀδελφὸς ἦν Μουσταφᾶς πατρόθεν,
ὅστις ἐντὸς κατέφυγε λέγω τῆς Βυζαντίδος,
βοήθειαν καὶ συνδρομὴν καὶ συμμαχίαν χρήζων,
ὡς ἂν ἐγείρῃ κατ' αὐτοῦ πόλεμον τοῦ Μουράτου,
καὶ βασιλείαν λήψεται τῶν Τούρκων καὶ τὸ κράτος,
καὶ τοῖς Ῥωμαίοις ἔσεται ἀρωγός τε καὶ φίλος·
ἐκ τούτων τοίνυν εὐμενῶς εἴληφε τὰς ἐλπίδας,
εἴληφε δόξαν παρ' αὐτῶν τὴν ἣν οὐκ ἐπροσδόκει·
οἱ γὰρ Ῥωμαῖοι ἅπαντες ἀεὶ ἐδίψων τοῦτο
ἰδεῖν τοὺς Τούρκους μάχεσθαι πτεροῖς αὐτοὺς ἰδίοις
Ὅθεν καὶ γαμετὴν αὐτῷ παρέχουσι Ζαμπίαν
τὴν θυγατέρα ἄρχοντος τινὸς ἐκ τῆς Γενούας,
καταγομένην ἐκ σειρᾶς Παλαιολόγων γένους,
ἣν καὶ ὠνόμασαν κακῶς κυρίαν τῆς Ἀσίας,
ἐπὶ γαμβρῷ θαρρήσαντες ὄντι ἑτεροδόξῳ.
Ὅλως Δαβὶδ θειότατος λέγοντος ἐν ψαλτῆρι,
μὴ ὑπακούσαντες ῥητὸν τὸ ἅγιον καὶ θεῖον,
ἐὰν μὴ κύριος, φησίν, οἰκοδομήσῃ οἶκον
εἰς μάτην ὁ οἰκοδομῶν οἰκοδομεῖ ἐκεῖνον·
ἐὰν δὲ πάλιν κύριος οὐχὶ φυλάξῃ πόλιν,
εἰς μάτην μόνον ἀγρυπεῖ ἐκείνην ὁ φυλάττων.
Εἰ δόξης ἕνεκα ἀρχῆς πολέμιος ἐφάνη
ἑτεροδόξοις ἅπασι καὶ ἀδελφῷ καὶ γένει
πῶς ὅλως φίλος ἔσεται χριστιανοῖς καὶ πόλει;
Ῥάβδος ἐστὶν ἡ ἐθνική, ἣ τύπτει καθ' ἑκάστην.
Τοίνυν αὐτοῦ τοῦ Μουσταφᾶ περάσαντος εἰς Προῦσαν
σὺν οὐκ ὀλίγῃ στρατιᾷ Ῥωμαϊκῷ τε ξίφει,
ἕλληνας ἄνδρας μετ' αὐτοῦ ἔχοντος λογχηφόρους,
τούτῳ Ἀσίας ἄστεα ὑπέκλινον αὐχένα.
ἐσθίων δὲ καὶ τρυφυλῶν, σχολάζων ἐπὶ πότοις,
καὶ μονοκράτωρ ἀρχηγὸς ἐλέγετο καὶ κράτωρ.

Digitized by Google

Ὁ δ' ἀδελφὸς μηχάνημα Μουράτης μηχανᾶται,
εἰς τὴν Ἀδριανούπολιν μαθὼν τὰ γεγονότα,
οἷα στρουθὸν τὸν ἀδελφὸν εἷλεν ἐν τῇ παγίδι·
φθάνει γὰρ Προῦσαν τάχιστα ὡς εἷς τῶν οὐκ ἐνδόξων,
καὶ ἦν ἐν οἴκῳ μεριμνῶν τὴν ἀδελφοκτονίαν,
οὐκ ἐναργῶς καὶ φανερῶς, λαθραίως δὲ καὶ κρύφα,
ἔχων οἰκείους σὺν αὐτῷ ἄνδρας μεγαλοθύμους,
οὐ μαλακοὺς καὶ φθονεροὺς καὶ τῶν αὐταρεσκούντων·
μαθὼν δ' ὄντα τὸν Μουσταφᾶν οὕτως ἀπεριέργως
καὶ ἐν λουτρῷ λουόμενον τινὶ καὶ σπαταλῶντα
πολλῶν κολάκων παρ' αὐτῷ ὄντων καὶ παρασίτων,
ὡς εἴθισται τοῖς οὕτω πως οὖσιν ἐν ταῖς ἀξίαις,
ἐπιπηδᾷ τὸν ἀδελφὸν αἴφνης καὶ ἀποκτείνει,
καὶ ἅπασαν ἀνέλαβε τὴν μονοκρατορίαν.
Ἐντεῦθεν ὄχλησις πολλή, μῆνις κατὰ Ῥωμαίων·
πάλιν τε ἐλπίζοντο τὰ πέρι Βυζαντίδος,
πάλιν θυέλλη ἔφθασε, καὶ χάλαζα ῥαγδαία
κατέπιπτεν ἐπὶ τὴν γῆν λέγω τῆς Ῥωμανίας·
ἄστεα ἠφανίζοντο, πόλεις κλαυθμὸς συνεῖχε·
δάκρυον μελανόπικρον ἔρρεε τῶν Ῥωμαίων·
ὁ γὰρ Μουράτης ἀμοιβὰς παρεῖχε τοῖς ἐν πόλει
εἰς μνήμην τὰ τοῦ Μουσταφᾶ ἔχων καὶ τὰ τοῦ γάμου,
καὶ πρὸς Ἀσίαν τῶν Γραικῶν ἀπέλευσιν σὺν τούτῳ.
Κἂν τῆς διαίτης ἔδει σε, Μουράτη, χάριν ἔχειν,
δι' ἧς θηρεύεις ἀδελφὸν καὶ μοναρχεῖς εἰς τέλος!
Οὕτω πολιορκοῦντος δὲ καὶ καταμαχομένου
Ῥωμαίων πόλεις, ἄστεα, χώρας τῶν Βυζαντίων,
εἰς τριετίαν ἅπασαν ἦγεν ἡ τούτου μῆνις.
Τέως οὖν ὅρκοις ἀσφαλῶς λύσας τὴν πρὸς Ῥωμαίους,
καὶ τελευτήσαντος ἐξῆς τοῦ αὐτοκρατοροῦντος
Παλαιολόγου Μανουήλ, τοῦτό τε ἐφορῶντος,

Digitized by Google

εἰς Ἰωάνην τὸν υἱὸν τὸ κράτος διαβαίνει,
ἄνδρα σοφὸν καὶ λόγιον, ἄξιον βασιλείας·
στέφος δεξάμενος καλῶς ἔτεσι κοσμοφόροις
πρὸς τεσσαράκοντα λοιποῖς ἄλλοις ἐννακοσίοις
ἐξ χιλιάσι τε αὐτοῖς σύμπασι μετρουμένοις·
πλὴν βασιλεύων πόλεως ἦν εἰρηνεύων Τούρκοις·
ἀλλ' ὅτ' ὁρμὴν κατέμαθε κατὰ Θεσσαλονίκης,
πῶς δράκων ἄλλα μελετᾷ, ἄλλα συρίττει πάλιν,
μηνύει γράμμασιν αὐτῷ ὅρκων ἐπιμνησθῆναι,
καὶ λόγων ὑποσχέσεων τοῦ μὴ ἐπιλαθέσθαι,
καὶ συνθηκῶν συμφωνιῶν τῆς ἀνοχῆς πολέμου.
Ὁ δὲ ἀνταπεκρίνατο· εἰ μὲν αὐτὴ ἡ πόλις
ἦν ἐν Ρωμαίων ταῖς χερσίν, οὐδεὶς παρῆν ὁ λόγος,
εἰ δ' Ἐνετοὶ κατάρχουσι καὶ ταύτην νῦν κρατοῦσι,
λήψεσθαι ταύτην γίνωσκε ταχέως ἀφικνοῦμαι.
Οὕτω μηνύει τάχιστα, δηλοῖ διὰ γραμμάτων
τῆς Ρωμαΐδος κράτορι περὶ Θεσσαλονίκης.
Πῶς δ' ἐν χερσὶ τῶν Ἐνετῶν ἦν ἡ Θεσσαλονίκη,
τοῦ Ἀνδρονίκου πώλησις ἐδούλωσε καὶ ταύτην·
ὃς κύριος τῆς πόλεως καὶ ἀρχηγὸς ὑπάρχων,
οἱ Ἐνετοὶ βουλόμενοι ἕνεκεν ἐμπορίας
πόλεων τὴν περιφανῆ ταύτην τὴν πόλιν ἔχειν,
πεντήκοντα παρέχουσι χρυσίου χιλιάδας,
καὶ πρίανταί γε ἐξ αὐτοῦ τῶν Θετταλῶν τὸ ἄστυ,
καὶ κύριοι ἐγένοντο, καὶ ἀρχηγοὶ ὑστέρως·
αὐτὸς δ' εἰς Ὄρος Ἅγιον τὸν Ἄθω ἀφικνεῖται,
καὶ μοναχὸς ἐγένετο, τὰ μέλανα φορέσας.
Ἀφ' οὗ δὲ παρεγένετο σουλτάνος πρὸς ἐκείνην,
καὶ Θετταλοὺς ἐκύκλωσε τοὺς ὄντας ἐν τῇ πόλει,
ἦν ἀπορία ἐν αὐτῷ μεγίστη περὶ ταύτης·
οὐδόλως γὰρ ἠδύνατο ἑλεῖν καὶ ἐκπορθῆσαι

Digitized by Google

τὸ ἄστυ τὸ περιφανὲς τῶν Θετταλῶν τὸ κλέος,
ἠθύμει δὲ καὶ ἤσχαλε κ' ἐτήχθετο μεγάλως.
Τότε τινὲς τῶν μοναχῶν λέγω τῶν ῥακενδύτων
ἐκ τῶν Βλατέων τῆς μονῆς, ἐντὸς αὐτοῦ οἰκοῦντες,
κατέγραψαν, ἐδήλωσαν ἅπαντα τῷ σουλτάνῳ,
γράφουσι δὲ καὶ λέγουσιν· ὦ κύριε σουλτάνε,
ὡς εἴ σοι ἐστι βουλητὸν ἄρξαι Θεσσαλονίκης,
λαβεῖν καὶ ταύτην καὶ ἡμᾶς καὶ πάντας τοὺς ἐν πόλει,
τοὺς ὑδροχόους ἔκκοψον σωλῆνας Χορτιάτου·
δίψῃ πιεζομένων δὲ πάντων καὶ ἀπορίᾳ,
ἀκόντων τελεσθήσεται ὅπερ ποθεῖς γενέσθαι.
Ὄρος Χορτιάτης ἐστὶ δὲ κείμενον ὑπὲρ ταύτης,
ἐξ οὗ τῇ πόλει ἄριστον ὕδωρ ἡδὺ εἰσρέει.
Σουλτάνος οὖν ἀκηκοὼς τοῦτο, ὑπερησθείς τε
ἐπιχειρεῖ ὡς ἐν ταὐτῷ τῷ πράγματι καὶ ἔργῳ,
ὡς τὴν ὁδὸν οἱ μοναχοὶ ἐδίδαξαν πρὸς τοῦτον·
καὶ ταύτην ἐχειρώσατο ὡς καλιὰν στρουθίων,
ὡς ὀρταλίχων φωλεὸν ἄνευ μητρὸς μεινάντων,
ἤτοι ἀγάπης καθαρᾶς μὴ οὔσης ἐν τοῖς ἔνδον.
Τότε τζαούσην φύλακα καθίστησι φυλάττειν
τοὺς ἐν μονῇ μονάζοντας, προδώσαντας τὴν πόλιν·
Τζαούσης δὲ τὴν σήμερον αὔτ' ἡ μονὴ καλεῖται·
ἵνα μηδεὶς ἐκ τοῦ στρατοῦ τοὺς μοναχοὺς ταράξῃ·
ὅθεν καὶ ἀτελεῖς εἰσιν ἄχρι τοῦ νῦν ἐκ Τούρκων,
τὸ ἔργον μνημονεύοντες τῶν μοναχῶν τῶν πάλαι.
Εἶτα ἐπαναστρέφει δὲ ἐν Ἀδριανουπόλει,
καὶ ἴδιον διάδοχον τὸν γόνον Μεεμέτην
τῆς βασιλείας καθιστᾷ καὶ τῆς ἀρχῆς ἁπάσης·
ὄντος τοῦ Μεεμέτη δὲ ἐν Ἀδριανουπόλει
σὺν μεγιστᾶσι τοῖς αὐτοῦ Χαλὴλ καὶ Ἰμπραχίμ τε,
οὕς περ κοινῶς βεζίριδας λέγουσι καὶ καλοῦσιν,

ἀνδράσιν ἐλλογίμοις τε, χρησίμοις, νουνεχέσι,
κυνηγεσίοις θήραις τε προσμειρακευομένοις,
χώρας καὶ κάστρα καὶ λαὸν Βουλγάρων καὶ Σερβίας
λαβών, καταστρεψάμενος, θεοῦ παραχωροῦντος,
κωλύοντός τε οὐδενὸς ὄντος ἐπιπροσθοῦντος·
αἱ γὰρ κακίαι αἱ ἡμῶν, αἱ οὖσαι ἁμαρτίαι
μεσότοιχον ἐγένετο τῆς θείας βοηθείας,
εἴργουσαι πᾶσαν σύμμαχον χεῖρα τὴν τοῦ κυρίου.
Ὁ δ' Ἰωάννης βασιλεύς, εἰ καὶ τοιοῦτος πέλων,
ὁρῶν τοὺς Ἄγαρ πληθυσμῷ πολλῷ πληθυνομένους,
τὰ πλείω ὑφαρπάζοντας, πόλιν περικυκλοῦντας,
ἔγραψεν εἰς Ἰτάλιαν, προσήτει συμμαχίαν·
καὶ τότε ὁ Εὐγένιος ὁ πάπας τῶν Ρωμαίων
τὸν περὶ τῆς ἑνώσεως πρῶτον ἐζήτει λόγον·
ὅθεν λογάδας προσλαβὼν ἐνδόξους καὶ πρωτίστους
ὁ βασιλεύς, ἀρχιερεῖς καὶ κληρικοὺς λογίους
καὶ πατριάρχην Ἰωσήφ, τρέχει πρὸς Ἰταλίαν,
καὶ σύνοδον ἐκρότησαν ὀγδόην καλουμένην.
Ἐπεὶ δὲ χρόνος τριετὴς ἐν ταῖς λογομαχίαις
διέβη ἀσυντέλεστος, ὡς ἔδειξε τὸ τέλος,
καὶ ἕνωσιν οὐχ ἕνωσιν ἐποίησαν ἀθλίως,
ἐντεῦθεν προπηλακισμοί, ἐντεῦθεν ὕβρεις πλεῖσται,
καὶ μῖσος προὐξενίζετο Γραικοῖς τε καὶ Λατίνοις.
καὶ βασιλεὺς ὑπέστρεψεν ἐν Κωνσταντινουπόλει.
Μαρίαν δέσποιναν εὑρὼν γυναῖκα τὴν ἰδίαν
προτελευτήσασαν μικροῦ, καὶ λύπης τὴν καρδίαν
ἐμπέμπληστο καὶ ταραχῆς ὑπὸ ἀλλεπαλλήλων,
καὶ ἀσθενῶν κατέκειτο ἀθρήτιδι ἀθλίως.
Οὔγκρων τότε συμβούλια ἐλέγοντο καὶ λόγοι,
καὶ ταραχαὶ ἠκούοντο καὶ κρότοι ἐξ Οὐγκρίας·
ᾔσθοντο γὰρ νεηγενοῦς σουλτάνου, μὴ εἰδότος

πράξεις καὶ τάξεις, μηχανάς, κινήσεις τοῦ πολέμου,
ἀλλά γε κατατρέχοντος θήραις κυνηγεσίοις,
καὶ μετὰ τούτου πόλεμον ἠβούλοντο συνάψαι·
ᾧδε αὐτοῖς ὁ Ἴαγκος στράταρχος, στρατηλάτης,
Ἄρεος ἔχων τὴν ὁρμήν, ἄλκιμος, θαρσαλέος,
καὶ δόρυ ἐπιστάμενος καλῶς, ὥσπερ τοὺς πάλαι,
φέρειν ἱστὸν καὶ φάσγανον ἐν ταῖς χερσὶ καὶ τόξον·
πρὸς ὃν αὐτὸς ὁ βασιλεὺς Ῥωμαίων ὁ αὐτάναξ
ἔγραψε στέψαι στέμματι βασιλικῷ, τιμίῳ,
εἴπερ Ῥωμαίων ἔκδικος γενήσεται συμπράκτωρ.
Τί δέ μοι φράζειν τὰ πολλά; οἱ περὶ τὸν σουλτάνον
γράμμασι κατεδήλωσαν ταχέσιν, ὠκυπτέροις,
τῷ ἑαυτοῦ γεννήτορι, ἐν Μαγνησίᾳ ὄντι,
ὡς, εἰ ταχέως, κράτιστε, ἐνθάδ' οὐ παραγένῃ,
τὸ γένος τὸ ἡμέτερον ἀπώλετο αἰσχίστως·
ἄπειρος γάρ ἐστιν ἡμῶν πολέμων ὁ δεσπότης.
Ἀκούσας οὖν ὁ γηραιὸς ταῦτα κατεθροήθη
Μουράτης καὶ τετάρακται, ὁρμᾷ κατὰ τῶν Οὔγκρων·
ἄντικρυ δὲ τοῦ Βύζαντος ἐλθὼν εἰς Χαλκηδόνα
τὸν Θράκιον τὸν Βόσπορον ἐζήτει τοῦ περάσαι
παρὰ τοῦ αὐτοκράτορος Ῥωμαίων Ἰωάννου,
πέμψας τὸν δοῦλον τὸν αὐτοῦ Χαλὴλ αἰτοῦντα νῆας,
αἰτοῦντα τὴν διάβασιν τῶν Τούρκων εἰς Εὐρώπην.
Πέμπει δὲ ὁ Ἰωάννης δὲ τούτῳ καὶ τρεῖς τριήρεις
καὶ λόγους δῆθεν φιλικοὺς σὺν οὐκ ὀλίγοις δώροις.
Σουλτάνου δὲ περάσαντος εὐθὺς πρὸς τὴν Εὐρώπην
σὺν στρατιᾷ, παραταγῇ, μεγίστῃ ἐξουσίᾳ,
Βάρνα τοὺς Τούρκους δέχεται, ἐν ᾗ οἱ Οὔγκροι ἦσαν,
ληΐζοντες, ἐσθίοντες κακῶς τὰ τῶν Ῥωμαίων,
ἐπεὶ κατῆλθον εἰς αὐτὴν ἐκ τῆς αὐτῶν πατρίδος.
Πολέμου ἐγερθέντος δέ, μάχης φοβερωτάτης,

Digitized by Google

σουλτάνου γόνυ έκλινε, φόβος αύτῷ ύπῆλθε·
τῆς γὰρ Ἀσίας πρώτιστος αὐτοῦ ὁ ταγματάρχης,
ὃν Καραντζᾶν ὠνόμαζον ἔξοχον ἐν πολέμοις,
πεφόνευται ὁ δύστηνος σὺν ἄλλοις τῶν ἐγκρίτων,
ὥστε τῆς μάχης τὴν φυγὴν ὁ κράτωρ ἐμελέτα·
καὶ δὴ βουλῆς συνάξεως τῶν Οὔγκρων γενομένης,
ἵνα γε ἀφανίσωσιν εἰς τέλος τὸν Μουράτην,
καὶ κράλη βουληθέντος δὲ τούτῳ μονομαχῆσαι,
νικῆσαι καὶ χειρώσασθαι εἰς τέλος τὸν σουλτάνον,
Ἴαγκος ἐν τῇ συμβουλῇ εἴρηκε πᾶσι τάδε.
Ἔγωγε, κράλη κράτιστε, καὶ οἱ λοιποὶ οἱ Οὔγκροι,
ἐν τῷ πολέμῳ αὔριον ἐξέρχομαι εἰς μάχην,
μεθ' ὧν οἶδα στρατιωτῶν· εἰ ἔσεται δὲ νίκη
τοῖς ὁμοφύλοις νῦν ὑμῖν ἔσται πεφιλημένον,
εἰ δ' ἐναντίον μοι συμβῇ, ὅπερ θεὸς μὴ δώῃ,
μόνος αἰσχύνης ἔγωγε ἀντλήσω ἐξ ἁπάντων·
ἐὰν δ' ἐξέλθῃ δὲ ἡμῶν ὁ κράλης ὁ δεσπότης
καὶ μετὰ τούτου πόλεμον συγκρούσῃ τοῦ Μουράτου,
νικήσῃ καὶ τροπώσῃ δὲ τοῦτον καὶ ἀποκτείνῃ,
καλῶς τὰ πάντα ἔσονται, καὶ δόξα ἐν τοῖς Οὔγκροις·
εἰ δὲ ἐκ τούτου νικηθῇ τίς ἡ αἰσχύνη ἔσται;
πάντως ἀπολεσθήσεται ὅλον ἡμῶν τὸ γένος.
Κρεῖσσον τοῦ νικηθῆναί με προκρίνω ἐκ Μουράτου,
ἢ τὸν ἁπάντων ἀρχηγὸν τοῦ στῆναι ἐν κινδύνῳ·
ἂν γάρ τις πηδαλιουχῇ ἔνδον ρευμάτων πλείστων,
καὶ τρικυμίας ταραχῆς οὔσης ἐν τῷ πελάγει,
ἐάσῃ δὲ τὸ ἴδιον ἔργον αὐτοῦ, καὶ ἄλλος
ἅψηται ἐκ τοῦ ναυτικοῦ τοῦ ἀλλοτρίου ἔργου,
τὴν ναῦν κυκλωμένην τε ἀφεὶς ἐν τῷ πελάγει,
ἆρα οὐ κινδυνεύσουσιν οἱ ὄντες ἐν τῷ πλοίῳ;
Δεῖ, δεῖ τοίνυν τὸν ἀρχηγὸν μὴ εἶναι στρατιώτην

καὶ ἔργα τῶν στρατιωτῶν ζητεῖν καὶ κινδυνεύειν!
Ταῦτα εἰπὼν πρὸς ἅπαντας, ἐπαύσατο τῶν λόγων.
Ὅσοι μὲν οὖν τῶν νουνεχῶν ἤκουσαν τὰ λεχθέντα,
ἐπῄνεσαν τοῦ στρατηγοῦ τὰ ῥήματα Ἰάγκου.
Πρὸς δ' ἄλλους οὐκ ἠρέσκοντο ἐπωφελεῖς οἱ λόγοι·
ἀλλά γε βουλευσάμενοι οἱ ἄφρονες τῷ κράλῃ,
οἱ φαῦλοι, οἱ μισόκαλοι, οἱ πνέοντες τοῦ φθόνου,
εἶπον αὐτῷ· ὦ κράτιστε, ὁρᾷς τὰ τοῦ Ἰάγκου;
τὸ γέρας μόνος βούλεται λαβεῖν παρὰ τοῦ γένους,
καὶ νικητὴς κληθῆναι νῦν καὶ μέγας τροπαιοῦχος·
ὅτε γὰρ νίκη ἅπασα γενήσεται τοῖς Οὔγκροις,
καὶ ὁ σουλτάνος ἐν δεινοῖς ἔστι μετὰ τῶν Τούρκων,
τότε τὸν ἔπαινον αὐτὸς βούλεται ὑφαρπάσαι,
τὴν ἀτιμίαν δ' ἅπασαν αὐτῷ σοι προξενῆσαι!
Λόγους τοιούτους ἔλεγον οἱ ἄθλιοι τῷ τότε·
πείσθητι τοίνυν συμβουλῇ καὶ λόγοις ἡμετέροις,
καὶ τὸν ἐχθρόν σου τρόπωσον αὔριον ἐν πολέμῳ!
Θεὸς γὰρ ἐδωρήσατο ἡμῖν τὴν νίκην πᾶσαν,
καὶ ἐν μαχαίρᾳ ἅπαντες τεθνήξονται οἱ Τοῦρκοι.
Ταῦτα λοιπὸν λογύδρια, τοιαῦτα προσελάλουν,
οἷς καὶ πεισθεὶς τοίνυν αὐτὸς ἄκρατον ἐγχαδών τε,
ὡς εἴθισται οἰνοποτεῖν αὐτὸς πρὸ τοῦ πολέμου,
μετὰ ὁρμῆς πρὸς πόλεμον ἐξῆλθεν εἰς τὴν μάχην
νικῆσαι καὶ χειρώσασθαι ἐθέλων τὸν σουλτάνον.
Οὕτως ἐκτρέχων δὲ κακῶς παράφορος τῷ οἴνῳ
κατὰ Μουράτου τὴν ὁρμὴν ἔχων μονομαχίαν·
γενναία τις τότε ψυχὴ εἰς Χαμουζᾶν εὑρέθη
καὶ ἵππον τούτου ἔτυψε πελέκει ἐν τοῖς πρόσθεν,
πρηνὴς δ' ὁ ἵππος ἔπεσεν ἅμα σὺν τῷ δεσπότῃ,
εἶτα καρατομεῖ αὐτὸν ὁ Χαμουζᾶς τὸν κράλην·
Τοῦρκος ἐκ Τούρκων εἷς πολλῶν δράσας τοιοῦτον ἔργον.

Digitized by Google

φεῦ σοι, ὦ κράλη δύστηνε, κάκιστε οἰνοπότα,
τὸν ἄνδρα γὰρ οὐτιδανὸν τὸν Χαμουζᾶν ἐποίεις
Φιλαδελφείας ἄρχοντα καὶ μπέην ἐν τοῖς πρώτοις.
Ἐν τοῖς λοιποῖς δ' ἦσαν σφαγαὶ, χύσις, κρουνοὶ αἱμάτων,
καὶ θροῦς καὶ κέλαδος πολὺς, καὶ σωματοσφαγίαι·
τὸ χάλα! χάλα! ἦν βοὴ Ἀγαρηνῶν μεγάλη,
διώκειν, τύπτειν ἀφειδῶς, τὸ φεύγειν δὲ τῶν Οὔγκρων.
καὶ φάσγανα ἐβάφοντο τῶν Τούρκων ἐν αἱμάτοις
τῶν Οὔγκρων τῶν ἐμβροντήτων πιπτόντων ὡς οἱ στάχυς,
ἑτέρων δεδεμένων δὲ αἰχμαλωτιζομένων,
ἄλλων πιπτόντων δὲ κακῶς καὶ ἀποπνιγομένων,
καὶ κάθυγρον τὸν θάνατον ἐν ποταμῷ τῆς Βάρνης
δυστήνων δεχομένων τε καὶ ἀποπνιγομένων.
Τὰς συμβουλὰς ἀκήκοας, ἑώρακας τὸ τέλος·
ὄντως κακὴ βουλή ἐστι, βουλεύσαντι κακίστη.
Μετὰ τὴν ἧτταν τοιγαροῦν, ἣν ἔπαθον οἱ Οὔγκροι,
Ἴαγκος μόνος ἔφυγε σὺν ἄλλοις νουνεχέσι,
καὶ πρὸς πατρίδα τὴν αὐτοῦ ἔδραμεν εὐχαρίστως·
καὶ ὥσπερ Λὼτ ἐξέφυγε πάλαι ἐκ τῶν Σοδόμων
οὕτω καὶ ὁ καρτερικὸς Ἴαγκος ἐλυτρώθη
μετὰ λοιπῶν στρατιωτῶν καὶ εἰς οἰκεῖ ἐσώθη.
Ὡς δὲ Μουράτης κορεσθεὶς δόξης, περιφανείας,
εἰς Μαγνησίαν ὥρμησεν ἐκεῖ ἐφησυχάζειν,
ὅπου καὶ κτίσας ἰσχυρῶς ἰδίας ἀναπαύλας,
ὡς λέων ὠρυόμενος ἠκούετο καὶ πάλιν.
Ζωὴν δὲ τὴν βασίλειον ἅμφω ἀποθεμένου
τοῦ Ἰωάννου κράτορος, ἀνδρὸς λογιωτάτου,
πρὸς Κωνσταντῖνον Δράγασην τὸ τέλος κατεσβέσθη
τὸ δυστυχὲς βασίλειον λέγω τῆς Βυζαντίδος.
Θωμᾶς δὲ καὶ Δημήτριος εἰς Πέλοπον τὴν νῆσον
διαπερᾶν κατήντησαν οἱ δύο οἱ δεσπόται,

Digitized by Google

μερίσαντες ἀμφότεροι τὰ ἐν Πελοποννήσῳ.
Καὶ τότε σκήπτρων κραταιὸς ἅπτεται Μεεμέτης
καὶ κύριος ἐλέγετο Ἀσίας καὶ Εὐρώπης·
τότε βουλὴν βουλεύεται κατὰ τῆς Βυζαντίδος
πικρίας γέμουσαν κακῶν ἀφανισμὸν τελείως.
Ἐν ᾧ γὰρ τόπῳ λέγεται Φονέας ἐν τῷ φάρῳ,
ὃς ἐν τῷ μέρει Θρᾳκικῷ κεῖται ἐν τῷ Βοσπόρῳ,
πολίχνιον οἰκοδομεῖ, στερρόπυργον θριγκίον,
λέγων, ὡς διαπερᾷν θέλει εἰς τὴν Εὐρώπην
ἀπὸ Ἀσίας χρήσιμα ἐκείνου καὶ ἄνθρωποι,
κἀπ' Ἀδριανουπόλεως ἐκεῖθεν διοδεύειν.
δύσκολον γὰρ ἀπέρχεσθαι εἰς Ἄβυδον ἐκεῖθεν
ἀπὸ Καλιουπόλεως καὶ βαίνειν εἰς τὸ πέραν.
Βυζάντιοι δ' ὑπέκυπτον, ἤκουον ἐν τοῖς πᾶσι,
ἐλπίζοντες καὶ λέγοντες, καὶ ἑαυτοῖς θαρροῦντες
ἑλεῖν ἐκεῖνο ἔπειτα, εἰ ὄχλησις ἐκ τούτου.
Τοιαῦτα τὰ βουλεύματα καὶ λόγοι τῶν Ρωμαίων,
ἄλλως δ' αὐτοῦ τὸ βούλευμα ἦν καὶ τὸ τέλος ἄλλο.
Τοῦτο μέχρι τῆς σήμερον Νεόκαστρον καλεῖται,
τὸ πρὸς τὸν Εὔξεινον πορθμὸν ἐν δυτικῷ τῷ μέρει.
Εὐμενῶς δὲ καὶ προσηνῶς τὰ πράγματα Ρωμαίων
ἐκύκα τάχα πρὸς αὐτοὺς ἔχων φιλίας ἄκρας·
μετὰ δὲ τῆς οἰκοδομῆς τοῦ πολιχνίου τούτου,
ἐντὸς ἀφῆκε φυλακάς, σκευὰς τὰς προσηκούσας,
αὐτὸς δὲ ἀπεδήμησεν ἐν Ἀδριανουπόλει,
μηνύσας λόγους καὶ εἰπὼν ἐν Κωνσταντινουπόλει:
ἴστε Ρωμαίων ἅπαντες οἱ ἔνδον ἐνοικοῦντες,
ἔρχομαι ὥρᾳ ἔαρος, ἐστὲ προσκαρτεροῦντες.
Τότε καὶ ἐκ τῶν στρατιωτῶν αὐτοῦ ἐποίουν στάσεις
ἄνδρας αἰχμαλωτίζοντες, γυναῖκας καὶ παιδία
ἐκ τῶν χωρίων τῶν ἐγγύς, καὶ ἄλλα τε μυρία.

διδόντες πρόσκομμα κακοῦ, αἰτίαν τῶν σκανδάλων.
Ἄρτι φανέντος δ' ἔαρος σὺν στρατιᾷ σουλτάνος
ἐπὶ τὴν πόλιν ἔφθασε μετὰ λαοῦ καὶ δόξης,
ἔφθασε πνέων τῷ θυμῷ καὶ τῆς ὀργῆς καὶ κότου,
ἔφθασεν εἰς τὴν δύστηνον ταύτην, τοῦ ἐκριζῶσαι
καὶ τοὺς Ῥωμαίους ἅπαντας σχεδὸν τοῦ ἀφανίσαι·
ἔφθασε·σβέσαι καὶ τὸ φῶς, ὄμμα τῆς οἰκουμένης,
ἔχων πληθὺν ἀμέτρητον, ἄπειρον, πολεμίαν,
ἔχων σφοδρὰν παράταξιν, ἱππότας, πεζοπόρους·
καὶ μετ' αὐτῶν ἐκύκλωσε τὴν Κωνσταντίνου πόλιν,
ὡς δράκων ὁ παγκάκιστος, λέων ἠγριωμένος
βρυώχμενος συρίσσων τε καὶ φονικὸν ἐμπνέων.
μετὰ τῶν ἄλλων δὲ κακῶν καὶ μηχανὴν εὑρῆκε.
ἐπάνωθεν τῆς πόλεως τοῦ Γαλατᾶ τῶν λόφων,
τριήρεις διεπέρασε εἰς Κεράτιον κόλπον,
πλήθη ἀνδρῶν καὶ μηχανῶν ἐλάσας ἐν λιμένι,
ἃς καὶ κατήγαγεν αὐτὸς ἐκ τοῦ Εὐξείνου πόντου.
Ἐπεὶ δὲ ἐκωλύοντο ἁλύσεως ἐκτάσει,
ἣν ἀπ' αὐλῆς τοῦ Βύζαντος ἥπλωσεν εἰς Γαλάτου,
τοιαῦτ' ἐδολιεύσαντο, τοιαῦτα κατεπράξαν,
Ὡς δέ γε ἐκατέλαβον λιμένα αἱ τριήρεις,
καὶ τοῦτον ἐκυρίευσαν οἱ καταπολεμοῦντες.
ἔφριξεν ὄχλος ὁ ἐντὸς, ὁ περικεκλεισμένος
ἐξ ἀμφοτέρων τῶν μερῶν περιηγκαλισμένος
ἔκ τε θαλάσσης καὶ ἐκ γῆς, ἧν λοίσθι' ἀποπνέων.
εἶτα σανίδας θέμενος γεφυρουργεῖ τὸν κόλπον·
ἐκ τοῦ ἑτέρου ἔναντι μέρους τῆς Ξυλοπόρτας
ἀντεπεροῦντο δ' ὡς βατὴν τὴν θάλασσαν οἱ Τοῦρκοι.
Ὡς δὲ τὸ πλῆθος τῶν ἐχθρῶν ἦν πρὸς τὴν πόλιν ἅπαν,
ἐπολεμοῦντο ταῖς σκευαῖς τῆς πόλεως τὰ τείχη.
Ἀφ' οὗ δὲ τὸ πρὸ τῆς Χαρσοῦς τεῖχος κατεχαλάσθη,

τοῦ νῦν ἁγίου Ῥωμανοῦ, ἣν Τόπκαψι καλοῦσιν,
οἱ ὄντες τάλανες ἐντὸς θέμενοι κλιματίδας,
σανίδας, ὕλην, ἕτερα, ἕνεκα τῶν βολίδων,
τῶν φόνους, θραῦσιν ἐν αὐτοῖς πλείστων προξενησάντων,
ἐφύλαττον τὴν εἴσοδον, τὴν τῶν ἐχθρῶν πρὸς πόλιν·
σκηνὰς ποιήσαντες ἐκεῖ οὐκ εἶχόν τι καὶ δρᾶσαι,
πρὸς ὕψος μόνον αἴροντες εἶχον τὰς χεῖρας τούτων,
δακρυρροοῦντες ἅπαντες ἐκ βάθους τῆς καρδίας.
Τότε ἐν πόλει τις τυχὼν ἄρχων ἐκ τῆς Γενούας,
ᾧ κλῆσις ἦν Τζουστουνιάς, ἔχων καὶ νῆας δύο,
ἔστη ἐν μέσῳ τῷ λαῷ καὶ πᾶσι τοῖς ἐν πόλει,
καὶ λόγους εἶπε πρὸς αὐτοὺς λόγους ὑπὲρ τῶν πάντων.
Ὦ βασιλεῦ, εἰ μὲν αὐτὸς μετὰ τῶν σῶν ἐνδόξων,
οὐ κατὰ τούτων δύνασθε ὑμῶν τῶν ἀντιπάλων
ἀνθίστασθαι καὶ μάχεσθαι, ἔμπροσθεν ἐν τῇ μάχῃ,
μαχήσομαι πρὸς τοὺς ἐχθρούς, φυλάξω καὶ τὴν πόλιν,
καὶ ἀρωγὸς γενήσομαι ὑμῶν καὶ τῆς πατρίδος.
Τοὺς ἡδυτάτους λόγους γοῦν ἐδέχοντο οἱ πάντες,
καὶ τὴν ἑαυτοῦ τε ἀρετὴν ᾔνεσαν εὐχαρίστως.
Πρὸ πάντων δὲ ἦν πρόμαχος αὐτὸς ἐν ταῖς χαλάστραις,
ὡς ἔδει τε ἐμάχετο στερρῶς ἐν τῷ πολέμῳ·
ἀλλά γε βάσκανος ἀνήρ τις διὰ τουφεκίου
βάλλει ἐπὶ τῷ ἥρωϊ καὶ πλήττει τὸν γενναῖον,
καὶ φόνον προεξένησεν εἰς ἄνδρα τηλικοῦτον.
Λέγεται δὲ ἐκ τῶν ἐντὸς Ῥωμαίων ἦν ὁ δράσας
τοῦτο τὸ ἐπιβούλευμα κατὰ τοῦ Γενουβίσου,
φθόνῳ τρωθείς, ὡς εἴθισται πάντοτε τοῖς βασκάνοις.
Εἰς δὲ τὰς νῆας εἰσελθὼν ἀπῆλθεν εἰς πατρίδα,
πνέων ἔτι ὁ δυστυχὴς τὰ λοίσθια θανάτου·
εἶτα ἐκεῖσε ἐκβιοῖ ταφεὶς παρὰ τῶν φίλων.
Τὴν δυστυχίαν δὲ αὐτῶν ὁρῶντες οἱ πολῖται

ἕτερον ἔθεντο εἰς νοῦν μηχάνημα ποιῆσαι,
τοῦ λυτρωθῆναι τῶν δεινῶν τῶν ἐπ' αὐτοῖς ἐλθόντων,
ὃ τέλος εἴληφε κακόν, σχέτλιον δύσμορόν τε·
νέους ὡς τεσσαράκοντα ἔβαλον ἐν τριήρει,
λάθρα ἐκπέμψαντες αὐτοὺς πρὸς τῶν ἐχθρῶν τὸν στόλον,
ὡς ἂν τὰ πάντα καύσωσι, κατατεφρώσωσί τε.
Τοῦ ἔργου δ' ὄντος ἐν ἀκμῇ τότε τελειωθῆναι,
αἴφνης ἐπῆλθεν ἡ βολὶς ἄνωθεν ἐκ τοῦ πύργου,
σκευῆς μεγίστης καὶ κακῆς ἐξ ἄστεος Γαλάτου·
οἱ γὰρ οἰκοῦντες ἐν αὐτῷ ἐκέκτηντο φιλίας
μετὰ τῶν Τούρκων ἔξωθεν Βύζαντος μαχομένων·
τοίνυν κατεποντίσθησαν οἱ δυστυχεῖς οἱ νέοι,
καὶ οὐκ ὀλίγην ἔλαβον τὴν λύπην οἱ πολῖται,
ἐπὶ τῶν τεσσαράκοντα λέγω τῇ ἀπωλείᾳ.
Εἰς δὲ τὰ ἀπὸ Χριστοῦ ἔτη οἰκονομίας,
χίλια τετρακόσια πεντήκοντα καὶ τρία,
ἐγένετο τῆς πόλεως κύριος ὁ σουλτάνος·
αἴφνης εἰσελασάντων γὰρ ἐντὸς μετὰ ἰσχύος,
κατεπορθεῖτο δυστυχῶς αὕτη χερσὶ τῶν Τούρκων.
Οἱ δὲ Ρωμαῖοι ἤγοντο δυστήνως εἰς δουλείαν,
ἄλλοι δὲ κατεβάφοντο αἵμασι πορφυρέοις,
ὀλοφυρμὸς δὲ καὶ κραυγὴ ἦν ἐπὶ τοῖς γενναίοις,
καὶ θνῆσις πλείστη μοναχῶν, ἀνδρῶν εὐλαβεστάτων·
μᾶλλον δὲ αἱ μονάζουσαι καὶ τίμιαι γυναῖκες
ἑλκόμεναι ἐκ τῶν ἐχθρῶν ἦσαν ἐκ τῶν πλοκάμων,
ταχυδρομοῦσαι παρ' αὐτῶν βιαίως καὶ βαρβάρως.
Ὁ Κωνσταντῖνος κράτωρ δέ, ὁ Δράγασης τοὐπίκλην,
ἐν τῷ μεγίστῳ τῷ ναῷ τῆς τοῦ θεοῦ Σοφίας,
τῆς παρ' Ἰουστινιανοῦ ἐκ βάθρων ἐγερθείσης,
καταφυγὼν ὁ δυστυχὴς σὺν γυναιξὶ καὶ τέκνοις,
μεταλαμβάνει τῶν φρικτῶν κυρίου μυστηρίων

αὐτός τε καὶ οἱ σὺν αὐτῷ παῖδες ὁμοῦ καὶ δοῦλοι·
τὴν ὁμευνέτιν φεῦ! δ' αὐτοῦ καρατομεῖ τὸ πρῶτον,
καὶ παῖδας καὶ τοὺς συγγενεῖς καὶ τοὺς οἰκείους πάντας,
μὴ ζῆν προκρίνας θανεῖν δὲ αὐτοῦ ἐπὶ τὸ σέβας·
τῆς ἀνοχῆς σου, δέσποτα καὶ βασιλεῦ τῶν ὅλων!
αὐτὸς δ' ἐν μέσῳ τῶν ἐχθρῶν εἰσέρχεται ξιφήρης
μετά τινων στρατιωτῶν, λοιπῶν τε τῶν ἐνδόξων,
ὡς πρὶν οἱ τριακόσιοι οἱ μετὰ Λεωνίδου
θανόντες ἐν τῷ Περσικῷ πολέμῳ καὶ τῇ μάχῃ·
ἦσαν δ' ἐν μέσῳ τῶν ἐχθρῶν ἀνδραγαθοῦντες πλεῖστοι·
ἀλλ' οὖν τὸ σμῆνος τῶν ἐχθρῶν ἴσχυεν, ὑπερεῖχε·
πᾶσι δὲ τάφος γέγονε πατρὶς ἡ παμφιλτάτη
τοῦ Κωνσταντίνου κράτορος καὶ τῶν ἀρίστων πάντων·
δεινὸν τὸ πλῆθος γάρ φησι σοφὸς ὁ Εὐριπίδης·
ὕστερον δὲ ἐφευρηκὼς τὴν κάραν ὁ σουλτάνος
τοῦ Κωνσταντίνου κράτορος, καὶ γνοὺς ἐκείνου οὖσαν,
καὶ τέρψιν σχὼν ἐγκάρδιον, ὡς νικητὴς Ρωμαίων,
κύριος, κράτωρ γίνεται ταύτης τῆς Βυζαντίδος,
πατρίδος φίλης τῆς ἐμῆς πόλεως Κωνσταντίνου.
Ἐπεὶ δὲ πᾶσα ἄοικος ἦν παρ' ἀνθρώπων αὕτη,
καὶ πᾶς λαὸς Ρωμαϊκὸς μέτοικος ἦν παντόθεν,
δεῖν ἔγνω σφετερίσασθαι ἐπὶ χερσὶν ἰδίαις
τοὺς πρὶν νομῇ βασιλικῇ ὄντας Ρωμαίων παῖδας·
διανενοημένου δὲ πλεῖστα καὶ ἀποροῦντος,
πῶς ἂν ἐν ταῖς χερσὶν αὐτοῦ ἕξοι Ρωμαίων ἅπαν,
τινὲς αὐτῷ εἰρήκασιν ἐκ τῶν αὐτοῦ εἰδότες·
εἰ βούλει, ἐνδοξότατε, ἅπαν Ρωμαίων γένος
ἐν τῇ πατρίδι τῇ αὐτοῦ μένειν καὶ σοὶ τετάχθαι,
ἄνδρα τινὰ πρωτεύοντα τῆς τούτων ἐκκλησίας,
ὃν πατριάρχην λέγουσι, δὸς τούτοις ὡς προστάτην,
ἄρχειν τε τῶν ἐκκλησιῶν καὶ τῶν ἱεροθύτων·

πᾶσι δὲ ἔσται ἀρεστὸν τοῖς ὑπὸ σὲ Ρωμαίοις,
καὶ πάντες ὑποκύψουσιν ἐν οἷς ποθεῖς, ὦ κράτωρ.
Τοίνυν καὶ τὸν Σχολάριον ἄνδρα σοφὸν εὑρόντες,
ὄντα κριτὴν τὸ πρότερον ἐντὸς τοῦ παλατίου,
συγγράμματα συγγράψαντα πλεῖστα τῇ ἐκκλησίᾳ,
οἱ κληρικοὶ καὶ σύνοδος ἀνάγουσιν εἰς θρόνον,
δόντος σουλτάνου ὁρισμὸν ἰθύνειν τὰ Ρωμαίων.
Ἐκ τῶν ἀρχόντων δὲ τῶν πρὶν Ρωμαίων Μεεμέτης
πολλοὺς ἀπεκεφάλισε δυστήνως τῇ ῥομφαίᾳ·
ὁμοίως τε καὶ τὸν Χαλὴλ τὸν ἑαυτοῦ πασίαν
παρέδωκεν εἰς θάνατον· ἔλεγε γὰρ ἐκεῖνος,
εἴπερ γενήσῃ, κράτιστε, κύριος Κωνσταντίνου,
δόλοις καὶ ταῖς ἐπιβουλαῖς ἰσχύϊ τῶν ἐνδώσῃ,
ἀποδιώξουσιν ἡμᾶς τὰ πλήθη τῆς Εὐρώπης·
οὐ τοῦτο γὰρ ἀνέξονται θεάσασθαι οἱ πάντες
τὴν κεφαλὴν τῶν πόλεων αὐτῶν ὑπὸ τοὺς Τούρκους.
Μετοίκων πλείστων δὲ πληροῖ σουλτάνος πᾶσαν πόλιν
ἐκ Σηλυβρίας, Ραιδεστοῦ, Πανίου, καὶ τῶν πέριξ
τῆς Κωνσταντινουπόλεως καὶ τῶν αὐτῆς χωρίων,
ἐκ τοῦ Εὐξείνου Πόντου τε Μηδείας, Ἀγχιάλου.
Αἶνος καὶ Σαμοθράκη δέ, ἡ Θάσος καὶ ἡ Λῆμνος,
ἡ Μιτυλήνη σὺν αὐταῖς, Ἴμβρος καὶ αἱ Ἀθῆναι,
Θῆβαι λέγω καὶ ἐφεξῆς, Κασταμόνη, Σινώπη,
ἐν οἷς προστάτης κύριος ἦν ὁ Κιζὶλ Ἀχμέτης,
ὃς πέφευγε πρὸς τὸν Οὐζοῦν σατράπην ἐν Περσίᾳ,
τῷ φόνῳ καὶ ταῖς ἀπειλαῖς σουλτάνου τοῦ κρατοῦντος,
ἅπασαι ὑπετάγησαν τῇ προσταγῇ καὶ τρόμῳ,
καὶ κάραν ἔκλιναν αὐτῷ καὶ κεφαλὴν καὶ γόνυ,
Περὶ δὲ τούτων νῦν ἀρκεῖ ὁ λόγος ἐν συντόμῳ
καὶ κατὰ δύναμιν ἡμῶν τῶν ἐν τῇ δυστυχίᾳ.

ΣΤ.

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΕΝ ΑΘΩΝΙ ΒΙΒΛΙΟΘΗΚΩΝ.

Digitized by Google

Βίβλων τινῶν ἐκ τῶν πολλῶν καὶ διαφόρων τῶν ἐν τοῖς μοναστηρίοις τοῦ Ἄθωνος κατάλογος (1).

Ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Ἀθανασίου.

Θεοδώρου Μαγίστρου, ἐγκώμιον εἰς τὸν ἅγιον Παῦλον· καὶ λόγοι λβ' ἠθικοὶ ἐκ τῶν ὁμιλιῶν τοῦ Χρυσοστόμου ἐρανισθέντες.

Θέσπισμα Ἀνδρονίκου τοῦ Παλαιολόγου, ὅτι τελεῖσθαι τὴν ἑορτὴν τῆς Κοιμήσεως τῆς Θεοτόκου ἄχρι τῆς κη' αὐγούστου.

Τιμοθέου Γραμματικοῦ, πρὸς τὸν αὐτοκράτορα Ἀναστάσιον· ἀτελές·

Βίβλος περὶ ἀριθμητικῆς καὶ ἁρμονικῆς διαφόρων, ἤτοι Νικομάχου, Ξυλίνου, Βακχείου, Εὐκλείδους, Ἀριστοξένου, καὶ Ἀλυπίου.

(1) Ὁ κατάλογος οὗτος φιλοπονηθεὶς περὶ τὰς ἀρχὰς τῆς ΙΗ' ἑκατονταετηρίδος ὑπὸ τοῦ πατριάρχου Ἱεροσολύμων Χρυσάνθου τοῦ Νοταρᾶ, ἀπόκειται ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει μετοχίου τοῦ Παναγίου Τάφου ἐν χειρογράφῳ καταγεγραμμένῳ ὑπ' ἀριθ. 182 μετ' ἐπιγραφῆς « Ψελλοῦ, μετὰ συμμίκτων Χρυσάνθου. »

Ἐκλογαὶ διαφόρων ὁμιλιῶν, ἃς διαφόρως ὡμίλησεν ὁ ἁγιώτατος Φώτιος πρὸς Νικηφόρον τὸν ἐπιστρέψαντα τῆς νέας τῶν Μανιχαίων αἱρέσεως.

Χρήσεις ἁγίων ἃς παρήγαγεν Ἰσαάκιος ὁ σεβαστοκράτωρ εἰς ἔλεγχον τῶν ἐν τῇ ἐπιστολῇ τοῦ ἀπὸ Χαλκηδόνος σφαλμάτων.

Λόγος ἀντιρρητικὸς κατὰ εἰκονομάχων.

Ἐπιστολαὶ τοῦ Χαλκηδόνος κὺρ Λεοντίου.

Ἰωάννου Ἀντιοχείας, λόγος πρὸς τὸν βασιλέα Ἀλέξιον τὸν Κομνηνόν.

Τοῦ αὐτοῦ, συμβουλὴ πρὸς τοὺς βασιλεῖς.

Λέοντος Βουλγαρίας, περὶ ἀζύμων.

Λέοντος Ρωσσίας, περὶ ἀζύμων.

Φωτίου, τὰ Ἀμφιλόχια ἐν ζητήμασι τριακοσίοις.

Μιχαὴλ Κηρουλλαρίου, ἐπιστολαὶ πρὸς Πέτρον Ἀντιοχείας.

Ὁμιλίαι εἰς τὸ κατὰ Ματθαῖον ἐκλεγεῖσαι παρὰ Ἰωάννου μοναχοῦ τοῦ Ξένου.

Νικήτα Στουδίτου, περὶ ἀζύμων.

Παύλου κτίτορος μονῆς τῆς Εὐεργέτιδος, συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων τῶν θεοφόρων πατέρων ἐν τόμοις τέσσαρσιν (ὧν οἱ μὲν τρεῖς εὑρίσκονται ἐν τῇ μονῇ τοῦ Διονυσίου, ὁ δὲ πρῶτος ἐν τῇ λαύρᾳ τοῦ Ἀθανασίου· ἄρχεται· ὅτι οὐ δεῖ ἀπογνῶναι τινὰ ἑαυτόν.)

Συλλογὴ ἀλληγοριῶν Ἰωάννου τοῦ Τζέτζου.

Ἀγαθίου ῥήτορος, ἱστορίαι τῆς Περσῶν βασιλείας.

Σιμεὼν μαγίστρου τοῦ λογοθέτου, ἐπιλογὴ λόγων λ' ἀπὸ πάσης συγγραφῆς τῶν Χρυσοστόμου λόγων.

Ἰωάννου Ἀντιοχείας, περὶ τῶν νηστειῶν.

Φίλωνος ἐπισκόπου, εἰς τὸ ᾆσμα ᾀσμάτων.

Διάλογος Μιχαὴλ Κωνσταντινουπόλεως τοῦ Ἀγχιάλου μετὰ τοῦ βασιλέως Μανουὴλ Κομνηνοῦ κατὰ λατίνων.

Ὀλυμπιοδώρου, ὑπόμνημα εἰς τὸν Ἐκκλησιαστήν.

Τοῦ Προδρόμου, εἰς τὰ ὕστερα ἀναλυτικά.

Τοῦ αὐτοῦ, Ξενόδημος ἢ φωναί.

Πέτρου Δαμασκηνοῦ, ὑπόμνησις πρὸς τὴν ἑαυτοῦ ψυχήν· ἀρχ. πολλῶν καὶ μεγάλων.

Ἐπιτάφιος λόγος εἰς τὸν ἁγιώτατον καὶ σοφώτατον Θεσσαλονίκης Νεῖλον. (ἔστι δὲ οὗτος ὁ λόγος γεγραμμένος ἐν βίβλῳ ἐχούσῃ κανόνας καὶ ὕμνους διαφόρους εἰς Γρηγόριον τὸν Παλαμᾶν· ἀρχή: οὐδὲ τοῦτο τῶν καθ' ἡμᾶς συμφορῶν).

Νεοφύτου τοῦ Κεραμέα, λόγος εἰς Ἄνθιμον Ἀθηνῶν τὸν ὁμολογητήν.

Συμεὼν τοῦ νέου θεολόγου ἡγουμένου μονῆς τοῦ ἁγίου Μάμαντος τῆς Ξυλοκέρκου, λόγοι θεολόγοι καὶ ἠθικοὶ ις' διὰ στίχων.

Διάλεξις τοῦ βασιλέως Κανταχουζηνοῦ μετὰ Παύλου Ἰταλοῦ ἐπισκόπου Σαβόΐας γεγονυῖα ἔτει ,ςωοε'.

Διάλογος ψυχῆς καὶ σαρκός, ἡ καλουμένη Διόπτρα, διὰ στίχων πολιτικῶν.

Ἐξήγησις τῶν ἐν τῇ ἱερουργίᾳ συμβόλων Νικολάου Ἀνδίδων πρὸς τὸν Φυτείας ἐπίσκοπον.

Γεωργίου νομοφύλακος καὶ πρωτεκδίκου, μελέται εἰς τὰ προγυμνάσματα καὶ τὰς στάσεις.

Λιβανίου ἐπιστολαί τινες· (ἐν δὲ τῇ τῶν Ἰβήρων μονῇ εὑρίσκονται τοῦ αὐτοῦ ἐπιστολαὶ σε' καὶ αἱ μελέται.)

Τοῦ αὐτοῦ λόγοι· 1, Ἀντιοχικός· 2, Σωκράτους ἀπολογία· 3, πρεσβευτικὸς πρὸς Ἰουλιανόν· 4, πρὸς Ἀντιοχέας περὶ τῆς τοῦ βασιλέως ὀργῆς· 5, εἰς τὸν αὐτοκράτορα Ἰουλιανόν, ὕπατον· καὶ ἕτεροι λόγοι διάφοροι τοῦ αὐτοῦ, καὶ αἱ μελέται.

Νικηφόρου τοῦ Βασιλάκη, ἠθοποιΐαι κβ', ὧν ἡ πρώτη: τίνας ἂν εἴποι λόγους Δαβὶδ ὑπὸ Σαοὺλ διωκόμενος, καὶ ὑπὸ ἀλλοφύλων μέλλων σφαγῆναι.

Ἀμαθίου τοῦ Μακρεμβολίτου τὰ καθ' Ὑσμήνην καὶ Ὑσμινίαν.

Τοῦ Θεσσαλονίκης Εὐσταθίου λόγος εἰς τὴν τεσσαρακοστὴν τοῦ ͵ϛψγ' ἔτους.

Ἰωάννου Δούκα, στίχοι πρὸς ἑαυτὸν, καὶ περὶ ψυχῆς.

Συμεὼν μαγίστρου τοῦ λογοθέτου, ἐπιστολαὶ διάφοροι πάνυ ὡραῖαι.

Γεωργίου διακόνου καὶ ρεφενδαρίου, εἰς τὴν ἑξαήμερον διὰ στίχων ἰαμβικῶν.

Θεοδώρου Στουδίτου, ἀντιρρητικοὶ κατὰ εἰκονομάχων.

Τοῦ ἀββᾶ Συμεὼν τοῦ Κιονίτου τῆς μονῆς τοῦ θαυμαστοῦ ὄρους, λόγοι τριάκοντα, ὧν ὁ πρῶτος ἐξεδόθη αὐτῷ δεκάτῳ τῆς ἡλικίας αὐτοῦ ἔτει.

Εὐσεβίου, Εὐαγγελικῆς προπαρασκευῆς, ἐν ᾗ βίβλῳ Νικολάου ῥήτορος διάφοροι μῦθοι.

Μαξίμου τοῦ Πλανούδη, ἐπιστολαὶ θαυμασταὶ τὸν ἀριθμὸν ρκ'.

Τοῦ μεγάλου λογοθέτου Θεοδώρου τοῦ Μετοχίτου, λόγοι διάφοροι πανηγυρικοὶ, κάλλιστοι.

Μελετίου, θεολογικά, ἠθικά, καὶ κατὰ λατίνων διὰ στίχων πολιτικῶν· πολύστιχος βίβλος.

Θεοδώρου τοῦ Πανκρέτου, στίχοι ἰαμβικοὶ ͵γϡ', περὶ ἰατρικῶν ὑποθέσεων.

Μαρτύριον τοῦ ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου διὰ στίχων ἰαμβικῶν.

Μαρτύριον Θεοδώρου τοῦ Τύρωνος μεταφραθὲν διὰ στίχων ἰαμβικῶν παρὰ Μερκουρίου γραμματικοῦ.

Χρυσοστόμου λόγος εἰς τὸν εὐαγγελισμὸν παραφρασθεὶς διὰ στίχων ἰαμβικῶν.

Κανόνες ἰαμβικοὶ εἰς τὸν ἅγιον Βασίλειον καὶ Γρηγόριον καὶ Χρυσόστομον ἀνὰ μέρος.

Κωνσταντίνου Ροδίου, ἐκφράσεις τῶν ἐν Κωνσταντινουπό-

λει ναῶν καὶ οἰκοδομῶν, καὶ κιόνων καὶ κήπων, καὶ θεαμάτων, διὰ στίχων ἰαμβικῶν εἰς ὑπερβολὴν τεχνικῶν πρὸς τὸν Κωνσταντῖνον τὸν Πορφυρογέννητον· ἀρχή· κράτιστε Κωνσταντῖνε βλαστὲ πορφύρας.

Μανουὴλ τοῦ Φιλῆ ἐπιγράμματα εἰς διαφόρους ὑποθέσεις, διὰ στίχων πάνυ ὡραίων.

Τοῦ Ξανθοπούλου, εἰς βότρυν· ἀρχή· ὦ φαιδρὸν ἐντρύφημα τῆς ἀλουργίδος.

Ἐν δὲ τῇ μονῇ τοῦ Διονυσίου ταῦτα.

Τοῦ Εὐεργετηνοῦ τόμοι τρεῖς.

Νεοφύτου μοναχοῦ τοῦ Ἐγκλείστου ἑρμηνεία συνοπτικὴ τῶν ψαλμῶν θαυμαστή.

Γενναδίου καὶ Μάρκου Ἐφέσου βίβλος κατὰ λατίνων.

Μακαρίου Ἀγκύρας κατὰ λατίνων ἐν κεφαλαίοις ρκʹ. (αὕτη ἡ βίβλος ἐτυπώθη ἐν Γιασίῳ γραφὴν ἀνώνυμον σχοῦσα, ἐν τῇ ἐπιγραφομένῃ Καταλλαγῇ. Σημειωτέον δὲ, ὅτι ἐν τῇ τυπωθείσῃ λείπει κεφάλαιον ὁλόκληρον ἓν, ἐν ᾧ δείκνυται τὸν Κωνσταντινουπόλεως μόνον ἔχειν τὴν ἔκκλητον, λείπει δὲ καὶ ἕτερά τινα, ὅσα πρὸς τοῦτον φέρουσι τὸν σκοπόν· ἐν μέντοι τῇ παρούσῃ, κἀν τῇ ἐν τῷ πατριαρχείῳ τῶν Ἱεροσολύμων, εὑρίσκονται πάντα καὶ ὅλως ἀπαραμείωτα τὰ τοῦ συγγραφέως).

Γεωργίου Σχολαρίου κατὰ τῶν Πλήθωνος ἀποριῶν· ἀρχή: σκοποῦντί μοι, κράτιστε ἡγεμόνων.

Τοῦ αὐτοῦ, κατὰ λατίνων λόγοι διάφοροι.

Γρηγορίου Παλαμᾶ, κατὰ Βαρλαὰμ, ἐν ᾧ καὶ ὁ κατὰ τοῦ αὐτοῦ Βαρλαὰμ γεγονὼς τόμος, καὶ λόγοι κατὰ λατίνων.

Ἐπιστολαὶ καὶ ἐρωταποκρίσεις τοῦ Ζωναρᾶ.

Νείλου, κατὰ λατίνων. (ἐν ᾧ καὶ ὁ τόμος ὁ γεγονὼς κατὰ Ἀκινδύνου ἐν ἔτει ͵ςωνθʹ, ἔχων ἐπιγραφὴν τοῦ βασιλέως Κανταχουζηνοῦ).

Μητροφάνους Σμύρνης, ἑρμηνεία εἰς τὰς καθολικὰς ἐπιστολὰς τῶν ἁγίων Ἀποστόλων· βίβλος θαυμαστή.

Ἐν τῇ τοῦ Σίμωνος Πέτρᾳ.

Ἐν ἑνὶ μεγαλομεγέθει βιβλίῳ, τοῦ Παλαμᾶ λόγοι εἰς διαφόρους Κυριακὰς καὶ ἑορτὰς, καὶ κατὰ λατίνων λόγοι τρεῖς, καὶ ἡ γεγονυῖα διάλεξις ἐν τῷ παλατίῳ μετὰ τοῦ Γρηγορᾶ, καὶ κατὰ τῆς ψευδογραφίας τοῦ αὐτοῦ Γρηγορᾶ λόγοι τέσσαρες· καὶ περὶ τῆς ἠγασμένης τῷ συνοδικῷ τόμῳ ῥήσεως τοῦ μεγάλου Βασιλείου, καὶ μαρτυρίαι ἁγίων εἰς ὑποθέσεις δέκα ἓξ κατὰ Βαρλαάμ.

(Διὰ τὸ ἀπεῖναι τὸν αὐτῆς σκευοφύλακα τὰ λοιπὰ βιβλία οὐχ ἑώραταί μοι.)

Ἐν τῇ τοῦ Βατοπεδίου τὰ κάτωθεν.

Τὸ θεολογικὸν τοῦ Θωμᾶ ἐξελληνισθὲν, ἔχον ὑποθέσεις ριθʹ. ἀρχή: οὐ τελειοτέρων μόνον φροντίζειν προσήκει.

Ἰωάννου Δαμασκηνοῦ κεφάλ. νʹ. περὶ αἱρέσεων.

Ἰωάννου, σχόλια εἰς τὴν βίβλον τοῦ Κλίμακος.

Τὰ πρακτικὰ τῆς Δʹ. Συνόδου· ἀρχή· τῶν πραγμάτων ἁπάντων.

Νείλου μοναχοῦ, ἐπιστολαὶ διάφοροι.

Νικολάου Ἀνδίδων, λόγοι διάφοροι. Τοῦ Εὐεργετηνοῦ τόμος δʹ.

Γρηγορίου ἡγουμένου τῆς Ὀξείας, λόγοι διάφοροι κάλλιστοι.

Μακροβίου τῶν εἰς τὸν Σκιπίωνος ὄνειρον ἐξηγητικῶν βιβλία βʹ.

Νικήτα Στηθάτου, περὶ ψυχῆς· τοῦ αὐτοῦ, εἰς τὸν Παράδεισον θεωρία· τοῦ αὐτοῦ, ἐπιστολαί.

Γρηγορίου Τορνίκη πρὸς τὸν Ῥώμης περὶ ἑνώσεως, καὶ ὅτι μείζων ὁ Κωνσταντινουπόλεως τοῦ Ῥώμης.

Ἀδριανοῦ Βουλγαρίας κατὰ λατίνων.

Τοῦ Ἡρακλείας Νικήτα τοῦ Σερρῶν ἐλεγκτικὴ κατὰ τοῦ Νικαίας Φωτίου συναγωγὴ δι' ἐρωτήσεων, κατὰ λατίνων.

Σάκρα τοῦ Κωνσταντίνου Δόνῳ τῷ πάπᾳ.

Τοῦ Ἀσκοβασίλη κατὰ Μασσαλιωτῶν καὶ ἄλλων.

Βασιλείου Θεσσαλονίκης πρὸς Ἀδριανὸν πάπαν.

Νικήτα Παφλαγόνος περὶ τοῦ πότε ἐποίησεν ὁ Χριστὸς τὸ πάσχα.

Θεοδώρου Σμυρναίου κουροπαλάτου κατὰ λατίνων.

Γεωργίου Γαβριηλοπούλου λόγος ὡραῖος ἀνεπίγραφος κατὰ λατίνων.

Νικολάου Ὑδροῦντος μαρτυρίαι περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος.

Λέοντος τοῦ Σοφοῦ βασιλέως, ἐν ἑνὶ τόμῳ, λόγοι πανηγυρικοὶ κάλλιστοι λθ'.

Γεωργίου Σχολαρίου ἰδιόχειρον, ἐξήγησις εἰς τὸ τοῦ Θωμᾶ τοῦ Ἀκίνου περὶ τοῦ εἶναι καὶ τῆς οὐσίας.

Γενναδίου καὶ Ματθαίου τοῦ Καμαριώτου λόγοι κατὰ λατίνων, καὶ περὶ ἄλλων πολλῶν ὑποθέσεων ἐν ἑνὶ τόμῳ.

Μιχαὴλ κριτοῦ τοῦ Ἀτταλιώτου, πρόχειρον νόμων.

Συλλογὴ παροιμιῶν, καὶ τοῦ Γρηγορᾶ γραμματική· τοῦ Γαζῆ περὶ ἑκουσίου καὶ ἀκουσίου, καὶ Μοσχοπούλου, περὶ ἐνυπνίων.

Πέτρου Ἱσπανοῦ ἐπιτομὴ λογικῆς ἐξελληνισθεῖσα ὑπὸ Γενναδίου πατριάρχου· καὶ Γεωργίου Σχολαρίου, διάφοροι λόγοι· καὶ περὶ τῆς ἐν Φλωρεντίᾳ ψευδοσυνόδου, τοῦ αὐτοῦ· καὶ ἐπιστολαὶ τοῦ Κυδώνη διάφοροι θαυμασταί.

Ἀγαλλιανοῦ, ψόγος τοῦ ἀπὸ Κυζίκου Μητροφάνους πατριάρχου· καὶ τοῦ Ψελλοῦ περὶ δαιμόνων, καὶ τῶν παρὰ Χαλδαίοις δογμάτων.

Βίβλος παμμεγέθης ἰατρική.

Ἡ δογματικὴ Πανοπλία, ἐν ᾗ καὶ Ψελλοῦ λόγος κάλλιστος εἰς τὴν Σταύρωσιν.

Λόγοι δεκαέξ κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου· καὶ τόμος Ἁγιοριτικός, καὶ τόμος συνοδικὸς κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου, καὶ ἀναφορὰ τῶν ἀρχιερέων πρὸς Ἄνναν τὴν βασίλισσαν· καὶ τόμος κατὰ Ἀκινδύνου ἐν ἔτει ϛωνθ'.

Ἐν ἑνὶ βιβλίῳ, κανόνες εἰς Παλαμᾶν, καὶ ὁ βίος αὐτοῦ διεξοδικώτατα.

Ἰωσὴφ Βρυεννίου, λόγοι διάφοροι.

Δαβὶδ τοῦ φιλοσόφου, προλεγόμενα εἰς φιλοσοφίαν· καὶ Ψελλοῦ πρὸς Μιχαὴλ τὸν βασιλέα, κεφάλαια ρο' ζητημάτων.

Μητροφάνους μοναχοῦ, γραμματική.

Φωτίου ἐγκύκλιος ἐπιστολὴ πρὸς τοὺς πατριάρχας· ἀρχή· οὐκ ἦν ἄρα ὡς ἔοικε κόρος.

Τοῦ Καντακουζηνοῦ κατὰ Ἰσαὰκ τοῦ Ἀργυροῦ, καὶ πρὸς Παῦλον τὸν ἀρχιερέα.

Συμεὼν διακόνου, λογικὴ καὶ ἀριθμητική.

Πανδέκτης τῶν τῆς θείας γραφῆς δογμάτων ἐν κεφ. ρλη'.

Μελετίου, περὶ φύσεως ἀνθρώπου· Ματθαίου, κατὰ λατίνων, καὶ Νείλου κατὰ τῶν αὐτῶν πρόχειρον· Σύνοδος ἡ καταστήσασα Φώτιον· καὶ Νείλου, κατὰ τῶν λατινικῶν συλλογισμῶν.

Μαξίμου Ἁγιορίτου, κατὰ εἰκονομάχων καὶ Ἀγαρηνῶν.

Ἀννιτίου Μαλλίου Σεβηρίνου Βοετίου, περὶ παραμυθίας τῆς φιλοσοφίας μεταφρασθεῖσα εἰς τὴν ἑλληνίδα διάλεκτον παρὰ τοῦ Πλανούδη ἐν βιβλίοις δ'. καὶ σύνοψις ῥητορικῆς· καὶ Ἰγνατίου τοῦ Χορτασμένου, εἰς τὴν Ἀριστοτέλους λογικήν. Θωμᾶ, κατὰ Ἑλλήνων, καὶ ἀντίῤῥησις πρὸς αὐτὰ τοῦ Καβασίλα Νείλου.

Βίβλος, ἐν ᾗ διάφορα ἐπιγράμματα εἰς ἐκκλησιαστικὰς χρήσεις τοῦ Πισίδου καὶ ἄλλων, καὶ λόγος Ἰωάννου Διακόνου μαΐστορος κατὰ τῶν μὴ τιμώντων τὰ ἅγια λείψανα.

Ἀθηναίου, περὶ μηχανήματος, καὶ Βίτωνος, κατασκευὴ

πολεμικῶν ὀργάνων, καὶ Ἀπολλοδώρου, πολιορκητικά, καὶ Ἥρωνος Κτησιβίου, βελοποιητικά.

Μελετίου μοναχοῦ, περὶ φύσεως ἀνθρώπου ἰατρικὸν, καὶ περὶ διαχωρημάτων, καὶ Θεοφίλου, περὶ οὔρων, καὶ Ρούφου, ἐρωτήματα ἰατρικά.

Θεοδώρου βασιλέως Δούκα τοῦ Λασκάρεως, φυσικὴ κοινωνία ἐν λόγοις ϛ'. βίβλος καλλίστη, ἐν ᾗ καὶ ἡ τοῦ βασιλέως εἰκών, καὶ αἱ γεωμετρικαὶ ἀποδείξεις διὰ χρυσίου.

Κωνσταντίνου τοῦ Ἀσᾶν, βίβλος θαυμαστὴ περὶ διαφόρων ζητημάτων.

Μαξίμου, Νικολάου Ραβδᾶ, καὶ Μοσχοπούλου, περὶ ἀριθμητικῆς.

Συμεὼν τοῦ νέου θεολόγου, ὁμιλίαι νθ'.

Ἐν δὲ τῇ τῶν Ἰβήρων.

Βίβλος β' μεγέθους, ἐν ᾗ τοῦ Ἐφέσου καὶ Βαρλαὰμ, καὶ τοῦ Ρήτορος, καὶ Νικήτα Σεΐδου, καὶ Γενναδίου Βουλγαρίας, καὶ Ἰωσὴφ τοῦ Φιλάγρη, καὶ Ματθαίου κοιαίστωρος τοῦ Ἀγγέλου, καὶ Πανaρέτου, καὶ Νείλου Θεσσαλονίκης, καὶ Μιχαὴλ Ἀγχιάλου τοῦ πατριάρχου, κατὰ λατίνων.

Ἔτι δὲ λόγος προσφωνητικὸς εἰς τὸν ἅγιον Γεώργιον, ἀδήλου· καὶ Φωτίου, ἐπιστολαὶ πρὸς Ρωμαίους μετὰ τὴν ἑνωτικὴν σύνοδον δύο· καὶ Ἰωάννου Μόσχου, πρὸς τὰς Βησσαρίωνος ὑπὲρ Βέκκου κατὰ τοῦ Παλαμᾶ ἀντιλογίας· καὶ τοῦ Ἐφέσου, πρὸς τὰ πρῶτα καὶ δεύτερα τῶν εἰρημένων.

Μανουὴλ τοῦ Καλέκα, κατὰ τοῦ συνοδικοῦ τόμου λόγοι δύο· καὶ ὁμολογία τοῦ Βέκκου ὀρθόδοξος, καὶ τοῦ Πανaρέτου, κατὰ τῶν Βέκκου φλυαριῶν, καὶ τῶν παρ' αὐτῷ ῥητῶν σύμβασις ἐν κεφαλαίοις ιβ'. καὶ Βαρλαὰμ, πρὸς τοὺς πρέσβεις τοῦ Πάπα λόγοι ιβ'. καὶ Ἰωάννου διακόνου νομοφύλακος τοῦ Εὐγενικοῦ, κατὰ τοῦ ἐν Φλωρεντίᾳ τόμου, ὃ καὶ τετύπωται παρ' αὐτῆς.

Βίβλος ἑτέρα μεγέθους β', φύλλων 700, ἐν ᾗ Νικολάου

Μεθώνης κατὰ λατίνων, καὶ Θεοφάνους, κατὰ ἀζύμων. Γερμανοῦ Κωνσταντινουπόλεως, καὶ Ἰωάννου Μερκουλοπούλου Ἱεροσολύμων κατὰ ἀζύμων. Κυρίλλου μοναχοῦ τοῦ Πετρηνοῦ, καὶ Νικήτα Εὐΐδου, καὶ τοῦ Ἐφέσου, καὶ Γεωργίου Σχολαρίου, κατὰ λατίνων· καὶ ὅρος τῆς οἰκουμενικῆς συνόδου κατὰ τοῦ Φλωρεντινοῦ συλλόγου, καὶ τόμος κατὰ τῆς λατίνων αἱρέσεως ἐκτεθεὶς τῷ ,ςω' ἔτει, καθαιρῶν τὸν Βέκκον· καὶ Θεωριανοῦ μαΐστορος διάλεξις μετὰ Ἀρμενίων.

Βίβλος μεγέθους γ', ἔχουσα στίχους ἰαμβικοὺς (ἴσως τοῦ Πισίδου) εἰς τὴν ἑξαήμερον, εἰς τὸν ἀνθρώπινον βίον, εἰς τὴν ἀνάστασιν, εἰς Ἡράκλειον τὸν βασιλέα ἀκροάσεις τρεῖς, εἰς τὸν αὐτὸν ἀνελθόντα ἀπὸ Ἀφρικῆς, καὶ κατὰ Φωκᾶ τοῦ τυράννου, καὶ ἕτεροι δύο εἰς τὸν αὐτὸν Ἡράκλειον

Νικολάου Ὑδρούσης (sic) κατὰ λατίνων, γραικολατῖνον.

Πρῶτον τεῦχος τῶν ἐκλογῶν ἤγουν τῶν δέκα βιβλίων τῆς ἑξηκονταβίβλου, ἔχει φύλλα 200 πρώτου μήκους.

Βίβλος χρονικὴ ἀπὸ κτίσεως κόσμου μέχρις Ἀλεξίου τοῦ Κομνηνοῦ.

Βίβλος β' μήκους, φύλλων 1,200, ἐν ᾗ διάφορα, καὶ προσέτι ταῦτα· τοῦ Φιλῆ διὰ στίχων ἰαμβικῶν οἱ κδ'. οἶκοι· Γεωργίου Λεκαπηνοῦ, σχόλια εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον· ἐγκώμιον εἰς τὴν ἁγίαν Σοφίαν· σύνοψις ῥητορικῆς· μονῳδία ἐπὶ τῇ τελευτῇ τοῦ Ἐφέσου, συντεθεῖσα παρὰ τοῦ Σχολαρίου, καὶ ἐπιτύμβιον· Ματθαίου, κατὰ Ἰουδαίων λόγοι ε'. Νικήτα Στηθάτου κατὰ ἁγιοκατηγόρων.

Γενναδίου, λόγοι διάφοροι· Βησσαρίωνος, ἀπορίαι πρὸς Γεμιστόν, καὶ ἀποκρίσεις αὐτοῦ πρὸς αὐτάς· Γρηγορίου πατριάρχου, κατὰ λατίνων· Βαρλαάμ, κατὰ λατίνων λόγοι διάφοροι. τοῦ Ἐφέσου, κατὰ τοῦ καθαρτηρίου λόγοι· Μανουὴλ μεγάλου ἐκκλησιάρχου, ἀπόδειξις, ὅτι τιμιωτέρα ἡ Θεοτόκος τῶν Χερουβίμ. Φιλοθέου Κωνσταντινουπόλεως ῥητά τινα ἀπὸ τοῦ ε' λόγου

τοῦ κατὰ Γρηγορᾶ· τοῦ Κανταχουζηνοῦ, ὅτι ἄκτιστον τὸ ἐν Θαβὼρ φῶς· τοῦ Σχολαρίου, περὶ τοῦ πῶς διακρίνονται αἱ θεῖαι ἐνέργειαι λόγος εἷς· Ἰωάννου διακόνου τοῦ νομοφύλακος τοῦ Εὐγενικοῦ, μονῳδία ἐπὶ τῇ ἁλώσει τῆς Κωνσταντινουπόλεως· κανὼν εἰς τὸν ἅγιον Μάρκον τὸν Ἐφέσου τὸν ὁμολογητήν· ἐκλογαὶ εἰς φύλλα λ' ἐκ τῶν θεολογιῶν τοῦ Γενναδίου· Γρηγορᾶ, λόγος εἰς τὴν γέννησιν καὶ τὰ εἰσόδια τῆς Θεοτόκου· καὶ Γεμιστοῦ, περὶ ἀρετῶν λόγος.

Ἀστρονομικὴ τοῦ Καμαριώτου περὶ ἐπιχ. . . πλανητῶν καὶ ἐκλείψεως τῶν φωστήρων, καὶ τῆς εὑρέσεως τούτων.

Βίβλος καθ' ἡμῶν ὑπὲρ λατίνων, ἐν ᾗ τὸ προοίμιον ἔλειπε, τοῦ δὲ α' κεφαλαίου ἡ ἐπιγραφὴ τοιαύτη· ὅτι τρίτον ἀπὸ τοῦ πατρὸς τὸ πνεῦμα.

Βίβλος περιέχουσα κανόνας, καὶ ἐπιτάφιον ὕμνον, καὶ βίον διεξοδικόν, καὶ ἐγκώμιον εἰς τὸν ἅγιον Ἀθανάσιον Κωνσταντινουπόλεως.

Βίβλος α' μεγέθους, οὔτε ἀρχὴν ἔχουσα οὔτε τέλος· ἔχει δὲ πλεῖστα κατὰ Σευήρου καὶ Πύρρου, καὶ τόμους συνοδικούς, καὶ ἐπιγραφὰς ἀρχιερέων λατινικὰς καὶ ἑλληνικάς· οἶμαι πρακτικὰ εἶναι συνόδου τινός.

Βίβλος β' μεγέθους, κατὰ λατίνων, τοῦ τε Νείλου καὶ ἄλλων, καὶ τόμος συνοδικὸς κατὰ Προχόρου τοῦ Κυδώνη τοῦ Ἀκινδυνάτου, γεγονὼς ἔτει ϛωοη'.

Βίβλος α' μεγέθους ἐν ᾗ βίος τοῦ Κωνσταντινουπόλεως Ἰγνατίου διεξοδικὸς συγγραφεὶς παρὰ Δαβὶδ τοῦ Παφλαγόνος· καὶ ἐγκώμιον εἰς τὸν αὐτόν, Μιχαὴλ τοῦ Συγγέλλου· καὶ πρακτικὰ τῆς Νικολάου πάπα συνόδου· καὶ πρακτικὰ τῆς η'. ἐν Κωνσταντινουπόλει συνόδου· καὶ ἐπιστολὴ Νικηφόρου Κωνσταντινουπόλεως πρὸς Λέοντα πάπαν· καὶ Φωτίου, πρὸς τὸν πάπαν Νικόλαον ἐπιστολή· τοῦ αὐτοῦ, τῷ οἰκονόμῳ τῆς Θεουπόλεως, καὶ τῷ πάπᾳ Νικολάῳ, καὶ ὁμιλία ῥηθεῖσα ἀσθε-

νοῦντι· καὶ πρακτικὰ τῆς ὑπὸ Φωτίου συγκροτηθείσης συνόδου.

Παιανίου μετάφρασις τῆς Εὐτροπίου Ρωμαΐκῆς ἱστορίας, καὶ ἐπιτομὴ τῶν Δίωνος Ρωμαΐκῶν.

Ἔν τινι βίβλῳ γ΄ μεγέθους ἦσαν καὶ ταῦτα· λόγος Καλλίστου τοῦ Ξανθοπούλου πατριάρχου Κωνσταντινουπόλεως πρὸς Γώασαφ τὸν Ἔγκλειστον· καὶ Μανουὴλ τοῦ ῥήτορος λόγος ἐγκωμιαστικὸς εἰς Μάρκον τὸν Ἐφέσου, ἐν ᾧ καὶ κατὰ Γεμιστοῦ καὶ Βησσαρίωνος.

Τὰ πρακτικὰ τῆς γ΄ Συνόδου.

Δογματικὴ Πανοπλία, ἔχει τίτλους κδ΄, λήγει εἰς τὸν κατὰ Σαρακηνῶν.

Καλλίστου Μελενικίου, κατὰ τοῦ καθ' Ἑλλήνων βιβλίου Θωμᾶ τοῦ Ἀκίνου.

Βίβλος, ἐν ᾗ τοῦ Ἐφέσου καὶ ἄλλων κατὰ λατίνων, καὶ Γεωργίου τοῦ Σχολαρίου ὁμιλίαι διάφοροι.

Βίβλος β΄ μεγέθους, ἣν κατὰ Βαρλαὰμ ἔγραψε Γαβριὴλ ὁ Μονότροπος.

Μανουὴλ Κρήτης, ἐξήγησις τῶν ἔργων καὶ ἡμερῶν τοῦ Ἡσιόδου.

Βίβλος β΄ μεγέθους, ἐν ᾗ ἐπιστολαὶ 90 τοῦ ἐκ Κύπρου Γρηγορίου Κωνσταντινουπόλεως, καὶ τοῦ Πλανούδη ἐπιστολαὶ ρκα΄, καὶ τοῦ σοφοῦ Θεοδώρου τοῦ Ποταμίου ἐπιστολαὶ κ΄.

Βίβλος α΄. μεγέθους, ἐν ᾗ ἀπορίαι καὶ λύσεις θειογραφικαί· ἔχει φύλλα 250.

Τακτικὰ δύο, τὸ μὲν Ἀνδρονίκου τοῦ Παιολολόγου, ὅπως δεῖ διάγειν τοὺς ἐν τῷ ναῷ τοῦ ἁγίου Δημητρίου μοναχούς· τὸ δὲ τοῦ Στρουμπίτζης.

Νικήτα διακόνου τοῦ διδασκάλου, συναγωγὴ ἐξηγήσεων διαφόρων πατέρων εἰς τὸ κατὰ Λουκᾶν.

Καλλίστου τοῦ Ἀντιληκούδη, κεφάλαια ριε΄.

Digitized by Google

Θεοφίλου, ἀποτελεσματικὰ, ἀστρονομικὰ, περὶ πολέμων ἐκβάσεως· ἔστι δὲ ἐν τῇ τοῦ Ἰώβ βίβλῳ.

Φιλοθέου πατριάρχου Κωνσταντινουπόλεως, ὁμιλίαι καὶ πανηγυρικοὶ λόγοι διάφοροι, καὶ ἐπιστολαί, καὶ βίος Ἰσιδώρου τοῦ πατριάρχου Κωνστατινουπόλεως· καὶ περὶ τοῦ ἐν Θαβωρίῳ φωτὸς λόγοι τρεῖς· καὶ ἱστορία τῆς γεγονυίας παρὰ λατίνων πολιορκίας ἐν Ἡρακλείᾳ ἐπὶ Ἰωάννην τὸν Κανταχουζηνόν· ἔστι δ' ἡ βίβλος ἡμίφλεκτος· τὰ μέντοι σωζόμενα πάνυ ὀρθῶς ἐγράφησαν, ὡς δοκεῖ, παρ' ἀνδρὸς ἐπιμελοῦς.

(Σημ. ὅτι τὰ ἀνωτέρω σημειωθέντα τὸ μέχρι τοῦδε οὐκ ἐτυπώθησαν· διὸ καὶ διὰ χειρὸς εἰσὶ γεγραμμένα).

Ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Ἀθανασίου ἐν τῷ Ἄθωνι.

Ἡ δογματικὴ πανοπλία.

Λόγοι ις' κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου. Ἁγιορίτικος τόμος· τόμος ἕτερος κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου, ἀναφορὰν τῶν ἀρχιερέων πρὸς Ἄνναν τὸν βασιλέαν (sic).

Κανὼν καὶ βίος τοῦ Παλαμᾶ.

Πανδέκτης τῶν τῆς θείας γραφῆς δογμάτων ἐν κεφαλαίοις ρλη'.

Ἰβήρων.

Ἰωάννου Μόσχου, πρὸς τὰς Βησσαρίωνος ὑπὲρ Βέκκου κατὰ τοῦ Παλαμᾶ ἀντιλογίας.

Νικολάου Ὑδρούσης (sic) κατὰ λατίνων, γραικολατῖνον δευτέρου μεγέθους χειρόγραφον.

Μονῳδία ἐπὶ τῇ τελευτῇ Μάρκου τοῦ Ἐφέσου συντεθεῖσα παρὰ Σχολαρίου· ἀρχή· φεῦ νῦν, ὦ παρόντες.

Ἐπιτάφιος εἰς τὸν ἅγιον Νεῖλον τὸν Θεσσαλον(ίκης).

Βατοπεδίου.

Κανὼν εἰς τὸν ἅγιον Μάρκον τὸν Ἐφέσου.

Μανουὴλ τοῦ ῥήτορος, ἐγκώμιον εἰς Μάρκον τὸν Ἐφέσου· ἀρχή· ἐπειδὴ κατά γε τῶν ἄλλων.

Τοῦ βασιλέως Ἰωάννου τοῦ Καντακουζηνοῦ, ἀντιρρητικὸς λόγος κατὰ Προχόρου τοῦ Ἀκινδυνάτου. Κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου τόμοι διάφοροι εὑρισκόμενοι ἐν τῷ ἁγίῳ Ὄρει· ὁ α΄ ἄρχεται· οὔτε τὴν κατὰ τῆς ἐκκλησίας τοῦ κοινοῦ πολεμίου μανίαν· ὁ β΄ ἐγένετο ἐπὶ Ἰωάννου πατριάρχου, (καὶ) ἄρχεται· ἐπαινετὸς ἀληθῶς ὁ εἰπὼν τὴν ταπείνωσιν· ὁ γ΄ ἁγιοριτικὸς ἄρχεται· τὰ μὲν ἀρτίως καθωμιλημένα· ὁ δ΄ κατὰ Προχόρου μοναχοῦ τοῦ Κυδώνη, ἄρχεται· οὐδὲν τῆς ὑπερηφανίας χεῖρον (1).

(1) Ἕπεται κατάλογος τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς Βιέννης γνωστῶν χειρογράφων

Ζ.

ΚΑΤΑΛΟΓΟΣ
ΧΕΙΡΟΓΡΑΦΩΝ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΜΕΤΟΧΙΟΥ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ.

Digitized by Google

(1) Ἀριθμὸς τῆς ἐν τῇ βιβλιοθήκῃ καταγραφῆς τοῦ χειρογράφου.

Digitized by Google

Digitized by Google

Digitized by Google

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

A01 1467862

Digitized by Google

Digitized by Google

Digitized by Google